1 ἔφη O 37 **2** ἀὴρ P 150v **2 f** Pl ἀὴρ χεῖται ἁπαλαῖς ἡλίου ἀκτῖσιν ἀνακιρνάμενος **2** γὰρ < P **3** . ωτὸς O | κοῦφος O **4** ἡσύχως < P | . . . κύτατον O **5** ῥέον über d. Lin. P | . . οίει O **6** . . . ντα O **7** διάφ(ορα) unleserl. O | πληθύοντα P **8** τῶν unleserl. O | ἀπεωρουμένων P **9** ἐμπν(όοις) unleserl. O: εὐπνόοις M Al Jh | κατεστεμμένοι (κατεστρμμένοι?) w. e. sch. auch O (κατεστρομμένοι M), κατεστρωμμένοι Al Cb, κατεστρωμένοι Jh **9 f** προσέβαλλεν B **10** γὰρ] δὲ Jh | ἄγνος < P **11** ὑφ᾽ ὃ P **11 f** Pl μαλ᾽ ἀμφιλαφής τε καὶ ὑψηλή, τοῦ τε ἄγνου τὸ ὕψος κ. σύσκιον πάγκαλον **12** εὐσύσκιον O **13** . . ταγώγιον O | ὦ μακ. καταγώγιον P **15** ἀληθῶς Al Jh: ? O | προμηθεῖς O P, προμηθῇ Pl | τε < P **16** καὶ v. 2. Hd. üb. d. Lin. P **17** τὸ unleserl. O | Pl τὸ μετὰ τοῦτο | εἰσελθοῦσαν < P **18 f** καλιπάρθενοι P (nicht B) **19** ἀνηρότους P wie S. 31, 8: ἀκηράτους O Jh **20** ἅλι . O **21** ἤδη] δὴ P

λόγον ἑκάστην ὑμῶν ἐγκωμιαστικὸν περὶ παρθενίας εἰπεῖν. καταρχέτω δὲ Μάρκελλα, ἐπειδὴ καὶ πρώτη ἀνάκειται καὶ ἔστιν ἅμα πρεσβυτέρα. τὴν μέντοι καλῶς ἀγωνισαμένην, αἰσχυνοίμην ἂν ἐμαυτήν, ἐὰν μὴ ποιήσαιμι ζηλωτήν, τοῖς ἀμιάντοις τῆς σοφίας ἀναδήσασα πετά|λοις. 10

Λόγος α΄.

Μάρκελλα.

I. Τὴν μὲν οὖν Μάρκελλαν ἐντεῦθεν, ὡς οἶμαι, ἀρξαμένην εὐθέως ἔλεγεν εἰπεῖν ὅτι Μεγάλη τίς ἐστιν ὑπερφυῶς καὶ θαυμαστὴ καὶ ἔνδοξος ἡ παρθενία, καὶ εἰ χρὴ φανερῶς εἰπεῖν ἑπομένην ταῖς γραφαῖς, τὸ οὖθαρ τῆς ἐκκλησίας καὶ τὸ ἄνθος καὶ ἡ ἀπαρχὴ αὐτῆς τοῦτο τὸ ἄριστον καὶ κάλλιστον ἐπιτήδευμα μόνον τυγχάνει. καὶ διὰ τοῦτο καὶ ὁ κύριος εἰς τὴν βασιλείαν εἰσελάσαι τῶν οὐρανῶν τοὺς ἀποπαρθενεύσαντας ἐκείνους σφᾶς αὐτοὺς ἐπαγγέλλεται, ἔνθα περὶ διαφορᾶς εὐνουχισμῶν ἐν εὐαγγελίοις παρεγγυᾷ. σπάνιον γὰρ πάνυ καὶ δυσεπίτευκτον | ἀνθρώποις ἁγνεία, καὶ ὅσῳ κορυφαιότατον καὶ μεγαλο- 11
πρεπές, τοσούτῳ καὶ τοὺς κινδύνους μείζονας ἔχον. δεῖται οὖν ἐρρωμένων καὶ γενναίων φύσεων, αἵτινες ἀθρόως τὸ ῥεῦμα μετοχετεύσασαι τῆς ἡδυπαθείας ἄνω μετέωρον ἀπευθύνουσι τὸ ὄχημα τῆς ψυχῆς, μὴ ἀπολήγουσαι τοῦ σκοποῦ, ἔστ᾽ ἂν ὑπερπηδήσασαι κούφως τὸν κόσμον

1 Plato Symp. 177 D — **8** Plato Symp. 178 A — **13** Mt. 19, 12 — **19** Plato Phaedr. 246 D — **20** Symp. S. 70, 5

1 ff *λόγον* P 151: Pl *ἕκαστον ἡμῶν λόγον εἰπεῖν ἔπαινον . . . ἄρχειν δὲ Φαῖδρον πρῶτον, ἐπειδὴ καὶ πρῶτος κατάκειται καὶ ἔστιν ἅμα πατὴρ τοῦ λόγου* | *ἐγκ. περὶ* < P **3** *. . ωνισαμένην* O **4** *ποιησαίμην* P | *. . λωτὴν* O **6 f** *Μαρκέλλα. λόγος ᾱ΄* nach *εἰπεῖν* Z. 9 P Al: < O **8** *Τὴν μὲν* unleserl. O | *μὲν* < M Al **8 f** Pl *ἀρξάμενον ἐνθένδε ποθὲν λέγειν ὅτι μέγας . . καὶ θαυμαστὸς* **9** *ὡς ἔλεγεν* M Al **10** *παρθ. καὶ εἰ* undeutl. O | *φανερ(ῶς)* unleserl. O | *τ. ἁγίαις γραφαῖς* Po Cb Jh **10** *γραφαῖς — ἄνθος* Z. 11 unleserl. O **11** *ἐκκλ.*] *ἀφθαρσίας* M Al Jh | *αὐτῆς*] *αὐτὸ* P **11 f** *τοῦτο (τὸ ἄρ)ιστον* unleserl. O | *τοῦτο* < M Al **12** *καὶ κάλλ.* O 37v | *κ. διὰ ταῦτα* Al Jh **13** *καὶ* < P | *εἰσελάσαι* < P **14** *ἐκείνους* < P Jh **15** *πάνυ*] *σφόδρα* P **17** *καὶ* vor *τοὺς* unleserl. O **17 f** *ἐρομένων* B **18** *καὶ γενναίων* unleserl. O **18 f** *τὸ ῥ. μετ. τῆς ἡδυπαθείας*] *τῆς ἡδυπ. τὸ ῥεῦμα* P Jh: *ὑπερπτάμεναι* nach *ῥεῦμα* + Po Cb Jh **19** *(ἡδυ)παθείας* unleserl. O | *ἄνω* undeutl. O | Pl *ἄνω μετεωρίζουσα* **20** *εὖτ᾽ ἂν* P

ὀξυτάτῳ διανοίας τάχει, καὶ ἐπὶ τὴν οὐρανίαν ἀληθῶς ἁψῖδα στα-
θεῖσαι, αὐτὴν εἰλικρινῶς θεάσωνται τὴν ἀφθαρσίαν, ἀπὸ τῶν ἀμιάν-
των τοῦ παντοκράτορος ἀναπηδῶσαν κόλπων. τοῦτο τὸ πόμα γεννᾶν
οὐκ ἐχώρησε γῆ· μόνος αὐτὸ πηγάζειν οἶδεν ὁ οὐρανός. παρθενίαν
γὰρ βαίνειν μὲν ἐπὶ γῆς, ἐπιψαύειν δὲ τῶν οὐρανῶν ἡγητέον· ἧς δὴ
ἐφιέμενοι καὶ | πρὸς μόνον τὸ τέλος αὐτῆς ἀφορῶντές τινες, ἀνίπτοις 12
ποσὶν ἀτελεῖς ὑπὸ βαναυσίας προσελθόντες, ἐκ μέσης ἀνέκαμψαν τῆς
ὁδοῦ, οὐδὲν ἄξιον φρόνημα τοῦ ἐπιτηδεύματος ἐπανῃρημένοι. οὐ γὰρ
μόνον ἄφθορα τὰ σώματα τηρεῖσθαι δεῖ, ὥσπερ οὐδὲ τοὺς ναοὺς
κρείττονας ἀποφαίνεσθαι τῶν ἀγαλμάτων, ἀλλὰ τὰς ψυχὰς ἀγάλματα
τῶν σωμάτων οὔσας θεραπεύεσθαι χρὴ κοσμουμένας δικαιοσύνῃ. θερα-
πεύονται δὲ καὶ ἀποσμήχονται τότε μᾶλλον, ὁπόταν ἀόκνως κατα-
κούειν τῶν θείων ἁμιλλώμεναι λόγων μὴ ἀπολήγωσι πρὶν αὐτοῦ
ἐφάψασθαι ὅ ἐστιν ἀληθές, ἐπὶ σοφῶν ἀφικνούμεναι θύρας. ὥσπερ
γὰρ ἅλατι τῶν κρεῶν οἱ ἰχῶρες | ἐκτήκονται καὶ αἱ σηπεδόνες καὶ 13
πάντα τὰ φθοροποιά, τὸν αὐτὸν δὴ τρόπον καὶ τῆς παρθένου αἱ
ἄλογοι πᾶσαι τοῖς μαθήμασιν ἀποστύφονται τοῦ σώματος ἐπιθυμίαι.
ἀνάγκη γὰρ τὴν μὴ πασσομένην δίκην ἅλατος τοῦ Χριστοῦ ταῖς
φωναῖς ψυχὴν ἐπόζειν καὶ σκώληκας ποιεῖν, ὥσπερ ἀμέλει »ἐπώζεσαν
καὶ ἐσάπησαν οἱ μώλωπές μου« μετὰ δακρύων ἐξομολογούμενος ὁ
Δαυὶδ ἐν τοῖς ὄρεσιν ἔκραζεν ὁ βασιλεύς, ὅτι μὴ ἀπέστυψεν ἁλίσας
τοῖς σωφρονισμοῖς ἑαυτόν, ἀλλὰ ῥαθυμήσας εἰς οἶστρον ὑπεσύρη καὶ

1 Plato Phaedr. 250 E. 247 B C — **2** Plato Symp. 211 E — **5** Plato Pol. VI, 495 D — **9** Symp. 5, 4. 9, 4. 11, 1 — **10** Plato Symp. 216 E. Pol. III, 410 C. Phaed. 114 E — **13** Plato Pol. VI, 490 A — **14** Sir. 6, 36. Plato Phaedr. 245 A — **15** Symp. 4, 4 — **17** Symp. 9, 4 — **19** Psal. 37, 6

1 *οὐράνιον* P Jh: *οὐρανίαν ἁψῖδα* auch Pl | *ἁψίδα* O P, *ἀψίδα* B **1f** *σταθει* . . . O **2** *θεάσ.* P 151v **3** *ἀναπηδῶσαν* P: *ἀναπιδύουσαν* O, *ἀναπηδύουσαν* M Al, *ἀποπηδῶσαν* Cb **4** *ἐχώρη$^{\kappa}$σε* O, *ἐχώρη$^{\sigma}$κε* M | *ὁ* vor *οὐρ.* < O **5** *οὐρανίων* P **5ff** Pl *οὗ δὴ ἐφιέμενοι πολλοὶ ἀτελεῖς . . διὰ τὰς βαναυσίας τυγχάνουσιν* | *ἧς διεφιέμενοι* P (nicht B) **7** *προσυπελθόντες* B | *τῆς* vor *ὁδοῦ* + O **10f** Pl Phaed. *κοσμήσας τὴν ψυχὴν . . δικαιοσύνῃ* **13** *τῶν θείων* < P **13f** Pl *ἁμιλλᾶσθαι . . καὶ . . οὐκ . . ἀπολήγοι . ., πρὶν αὐτοῦ ὃ ἔστιν . . ἐφάψασθαι* **15** *(ση)πεδόνες* unleserl. O **16** *(παρθ)ένου αἱ* unleserl. O: *παρθενίας* M Al **17** *τοῦ σώμ.* unleserl. O **18** *(δ)ίκην ἅλατος* unleserl. O **19** *ψυ(χὴν)* unleserl. O | *. πόζειν* O | *(σκώ)ληκας ποιεῖν ὥσπερ* unleserl. O | *ποιεῖν*] *γεννᾶν* M Al Jh | *ἐπώζεσαν* unleserl. O **20** *καὶ ἐσάπ.* O 38 | *οἱ μώλ.* P 152 **21** *ὄρεσι* (*βάρεσι* empfiehlt Cb) *κέκραγεν* O **22** *εἰς ὕστερον* P, *εἰσύστερον* B

ἐξώξεσε μοιχείαν. ταύτῃ πᾶν δῶρον ἐν τῷ Λευϊτικῷ, ἐὰν μὴ πρῶτον
ἅλατι ἁλισθῇ, ἀπαγορεύεται εἰς ὁλοκάρπωμα | προσφέρεσθαι κυρίῳ 14
τῷ θεῷ. ἅλας γὰρ ἡμῖν τὸ δηκτικὸν ⟨καὶ⟩ πρὸς ὠφέλειαν ἀποστῦφον ἡ
πνευματικὴ πᾶσα τῶν γραφῶν ἐδόθη μελέτη, ἧς δὴ χωρὶς ἀδύνατον
τῷ παντοκράτορι διὰ τοῦ λόγου προσενεχθῆναι ψυχήν· »ὑμεῖς« γάρ
»ἐστε τὸ ἅλας τῆς γῆς« ὁ κύριος τοῖς ἀποστόλοις ἔφη. χρὴ οὖν
τὴν παρθένον ἀεὶ τῶν καλῶν ἐρᾶν καὶ τοῖς πρωτεύουσιν εἰς σοφίαν
ἐμπρέπειν, καὶ μηδὲν ῥᾴθυμον μηδὲ μαλθακὸν ἔχειν, ἀλλὰ ἀριστεύειν
καὶ ἄξια τῆς παρθενίας φρονεῖν, ἀποσμήχουσαν τῷ λόγῳ τοὺς ἰχῶρας
ἀεὶ τῆς ἡδυπαθείας, μή πως λαθοῦσα βραχεῖα σηπεδὼν γεννήσῃ τὸν
σκώληκα τῆς ἀκολασίας· »ἡ« γάρ »ἄγαμος μεριμνᾷ τὰ τοῦ κυ|ρίου, 15
πῶς ἀρέσει τῷ κυρίῳ, ἵνα ᾖ ἁγία καὶ σώματι καὶ πνεύματι«, φησὶν
ὁ μακάριος Παῦλος. πολλαὶ δὲ πάρεργον ἡγούμεναι τὴν ἀκρόασιν
νομίζουσι χαρίζεσθαι μεγάλα, ἐὰν κἂν τὸ βραχὺ παράσχωσι τὰς ἀκοάς·
ἃς ἐκκριτέον· μικρολόγῳ γὰρ φύσει καὶ ταπεινῇ καὶ ἐπιμορφαζομένῃ
σοφίαν οὐ χρὴ μαθημάτων θείων κοινωνεῖν. ἢ γὰρ οὐ γελοῖον ἐκεί-
ναις ἀδολεσχεῖν, αἵτινες ἐπὶ μὲν τοῖς μικροῦ ἀξίοις πάντα ποιεῖν
συντείνονται, ὅπως ἀκριβέστατα ἕξουσι τὰ τελεσιουργούμενα, ἐπὶ δὲ
τῶν ἀναγκαίων, δι' ὧν μᾶλλον αὐτὸς ὁ τῆς σωφροσύνης ἔρως αὔξε-
ται, μὴ μεγίστας ἡγεῖσθαι τὰς ἀ|κριβείας; 16

II. Μεγάλη γὰρ ἀληθῶς ὑπερβολῇ τὸ τῆς παρθενίας ἀνθρώποις ἀπ' οὐρανῶν κατεπέμφθη φυτόν, καὶ διὰ τοῦτο ταῖς πρώταις οὐκ ἀπεκαλύφθη γενεαῖς. ἔτι γὰρ ὁ ἄνθρωπος ὀλιγοστὸς ἦν, καὶ ἐχρῆν εἰς πλῆθος πρῶτον αὐτὸν αὐξήσαντα τελειωθῆναι. διὸ δὴ καὶ τὰς σφετέρας ἀδελφὰς οἱ παλαιοὶ λαμβάνοντες γυναῖκας οὐδὲν ἠσχημόνουν,

1 Lev. 2, 13 — **5** Mt. 5, 13 — **10** De sang. 6 — **11** I Kor. 7, 34 — **15** Plato Polit. 303 B — Plato Pol. VI, 486 A. Meth. Symp. S. 50, 10 — **16** Plato Pol. VI, 504 D E — **22** Symp. 10, 2 ff — **23** vgl. S. 10, 12 — **24** Gen. 1, 28

1 ἐν unleserl. O | πρῶτον < O Jh **2** φέρεσθαι P **3** γὰρ] δὲ Po Cb Jh ἀποστύφον HSS **4** ἧς undeutl. O | χωρὶς] αὐτῆς + P **5** (προσ-εν)εχθῆναι unleserl. O **6** ἔφη vor τοῖς Po Cb Jh: < P **8** ἀλλ' Jh **10** μή-πον P **12** ἀρέσῃ Jh | ἦ φησιν O **15** ἐκκριτέον auch Pl **16** σοφία O (Cb) | ἢ P **16 ff** Pl ἢ οὐ γελοῖον ἐπὶ μὲν ἄλλοις σμικροῦ ἀξίοις πᾶν ποιεῖν συντεινομένους, ὅπως ὅτι ἀκριβέστατα ἕξει, τῶν δὲ μεγίστων μὴ μεγίστας ἀξιοῦν εἶναι καὶ τὰς ἀκριβείας; **17** αἵτινες P 152ᵛ | τοῦ μικροῦ ἀξίου P **18** ἕξωσι B | τελεσιουργημένα P (nicht B) | ἐπὶ unleserl. O **19** αὐταῖς O Ausgg. **21** μεγάλη . . ὑπερβολὴ B | ἀληθ . . O **24** ἐκ πλήθους P | αὐτὸν vor εἰς P Jh | δὴ unleserl. O **25** (λαμβάνον)τες u. (οὐ)δὲν unleserl. O | ἠσχημ.] ἦν ἀπρεπὲς M Al **25 f** ἠσχημ. μέ(χρι) unleserl. O

μέχρι νόμος ἐλθὼν διεστείλατο καὶ τὸ πρότερον δοκοῦν εἶναι καλὸν
ἀπαγορεύσας ἁμαρτίαν ἀπεφήνατο, »ἐπικατάρατον« καλῶν »τὸν ἀπο-
καλύπτοντα τὴν ἀσχημοσύνην τῆς ἀδελφῆς αὐτοῦ«, τοῦ θεοῦ κατὰ
καιρὸν καὶ καιρὸν τὴν ἁρμόζουσαν ἡμῶν τῷ γένει σπουδαίως προσ-
φέροντος βοήθειαν, | ὥσπερ δὴ καὶ οἱ πατέρες τοῖς υἱοῖς. οὐ γὰρ 17
εὐθέως ἄνωθεν ἐπιστατοῦσι τοὺς παιδαγωγούς, ἀλλὰ τὴν παιδικὴν
ἡλικίαν ἐάσαντες ἀθύρεσθαι μοσχαρίων δίκην, πρῶτον εἰς διδασκάλων
συμψελλιζόντων ἀποστέλλουσιν, ἔστ' ἂν ἀποβαλόντες τὴν μειρακιώδη
τρίχα τοῦ νοῦ εἰς τὴν τῶν μειζόνων μαθημάτων ἄσκησιν παραπεμ-
φθῶσι κἀκεῖθεν αὖθις εἰς τὴν τῶν ἔτι μειζόνων. ταύτῃ γὰρ καὶ τὸν
θεὸν καὶ πατέρα τῶν ὅλων ἡγητέον προσηνέχθαι τοῖς πρὸ ἡμῶν.
ἔτι γὰρ ὁ κόσμος ἀνθρώπων ἀπλήρωτος ὢν ὡς νήπιος ἦν, καὶ ἐχρῆν
αὐτὸν εἰς πλῆθος πρότερον ἐκ τούτων ἀνδρωθέντα πληθυνθῆναι.
ἀλλ' ὅτε λοιπὸν ἀπὸ περάτων ἐπὶ πέρατα κατῳκίσθη, τῆς ἀνθρω-
πότητος εἰς ἄπειρον κεχυμένης, οὐκέτι τοῖς αὐτοῖς | ἐπιμένειν τὸν 18
ἄνθρωπον ἐπέτρεπεν ὁ θεός, σκοπῶν ὅπως ἀπὸ τῶνδε εἰς τάδε
μεταβαίνοντες πλησιαίτερον προκόπτωσιν ἔρχεσθαι τῶν οὐρανῶν,
μέχρις ἂν εἰς αὐτὸ τὸ μέγιστον μάθημα καὶ κορυφαιότατον τὴν παρ-
θενίαν φθάσαντες τελειωθῶσιν, ἀπὸ τῆς ἀδελφομιξίας ὁδεύσαντες πρῶ-
τον εἰς τὸ ὀθνείας ἐπάγεσθαι γαμετάς, κἀκεῖθεν εἰς τὸ μηκέτι πολλαῖς
ἐπιβαίνειν τετράποδος νόμῳ, καθάπερ εἰς ὀχείαν γεγονότας, κἀν-
τεῦθεν εἰς τὸ μὴ μοιχοὺς γεγονέναι, καὶ αὖ πάλιν εἰς σωφροσύνην,
καὶ ἀπὸ σωφροσύνης εἰς παρθενίαν, ἔνθα μελετήσαντες τῆς σαρκὸς
ὑπερφρονεῖν εἰς τὸν τῆς ἀφθαρσίας εὔδιον ἀφόβως ὁρμίζονται χῶρον.

2 Lev. 18, 9. 20, 17 — **7** De cibis 7, 6. Plato Prot. 325 D — **8** Symp. 9, 4. Plato Alkib. I, 120 B — **12** Gen. 1, 28. I Kor. 13, 11. De autex. 18, 7 u. zu De res. I, 36, 2 — **16** Plato Symp. 211 BC — **21** Plato Phaedr. 250 E — **23** Plato Phaed. 67 E

1 *πρ.* Wd: *πρῶτον* M Al, unleserl. O: < P | *δοκοῦν* O 38v **4** *καὶ καιρὸν* < Cb Jh, aber vgl. II, 1 S. 15, 7 | *σπουδαῖαν* B **6** *ἀλλὰ* unleserl. O **7** *δίκ..* O | *εἴς* O | *διδάσκαλον* P: *διδασκάλων* auch Pl **8** *συμψελλίζοντας* P | (*ἀπο-στέλλ*)*ουσι*(*ν*) unleserl. O **8f** Pl *τὴν ἀνδραποδώδη τρίχα* **9** *νοῦ* O: *νοὸς* P | *τ. ἔτι μειζόνων* B | *μαθημάτων* < M Al Jh, Auslassungszeichen u. etwas a. Rand O; *ἄσκησις τ. θείων μαθημάτων* Symp. 9, 4 **10** *τῶν* unleserl. O **11** *προ-σηνέ|χθαι* P 153: *προηνέχθαι* B **12** *ὡς* < P **15f** *ἐπέτρεπε τὸν ἄνθρω-πον* P **18** *μέγιστον* undeutl. O **18f** *τῆς παρθενίας* B Jh **21** *τετραπόδων* O Jh: Pl *τετράποδος νόμον βαίνειν ἐπιχειρεῖ* **21f** *κἀντεῦθεν — γεγονέναι* < P **23** *ἀμελήσαντες* P **24** (*ἀφ*)*θαρ*(*σίας*) undeutl. O: *παρθενίας* P (durch den Zusammenhang ausgeschl.) | *ἐνορμίζονται* P Jh

III. *Εἰ* δέ τις ὡς ἀμάρτυρον τῶν γρα|φῶν αἰτιάσασθαι τολμήσει 19
τὸν λόγον, φέρε δὴ παραθέντες καὶ τὰ τῶν προφητῶν ἀληθέστερα
μᾶλλον ἀποδείξωμεν τὰ προειρημένα. ὁ γοῦν Ἀβραὰμ πρῶτος ἐν
διαθήκῃ τὴν περιτομὴν λαβὼν οὐδὲν ἕτερον αἰνίσσεσθαι δοκεῖ, τὸ οἰ-
κεῖον περιτεμνόμενος τῆς σαρκὸς αὐτοῦ μέλος, ἢ τοῦτο, τὸ μηκέτι
εἰς τὴν ἐκ τοῦ αὐτοῦ αἵματος σάρκα δημιουργηθεῖσαν παιδοσπορεῖν,
ἀπὸ τῆς ἰδίας ἕκαστον διδάσκων ἀδελφῆς οἷα σαρκὸς ἀποτέμνειν τὴν
κατὰ συνουσίαν ἡδονήν. ὥστε τὸ πλησιάζειν καὶ ὁμεύνοις χρῆσθαι
ταῖς σφῶν ἀδελφαῖς ἀπὸ τῶν τοῦ Ἀβραὰμ πέπαυται καιρῶν· τὸ δὲ
πλειόνων συναλλαγαῖς ἁρμόζεσθαι γυναικῶν ἀπὸ τῶν προφητικῶν
ἀναιρεῖται | χρόνων. »ὀπίσω« γάρ »τῶν ἐπιθυμιῶν σου« φησί »μὴ πορευ- 20
θῇς, καὶ ἀπὸ τῶν ὀρέξεών σου κωλύου«· »οἶνος γὰρ καὶ γυναῖκες
ἀποστήσουσι συνετούς«. καὶ ἐν ἑτέρῳ· »ἡ πηγή σου τοῦ ὕδατος ἔστω
σοι ἰδία, καὶ συνευφραίνου μετὰ γυναικὸς τῆς ἐκ νεότητός σου«, δη-
λονότι παραιτούμενος ἤδη τὰς πολλάς. ὁ δὲ Ἱερεμίας »ἵππους θηλυ-
μανεῖς« ἀναφανδὸν τοὺς εἰς διαφόρους μαργῶντας γυναῖκας καλεῖ·
»πολύγονον« γάρ φησιν »ἀσεβῶν πλῆθος οὐ χρησιμεύσει, καὶ ἐκ νόθων
μοσχευμάτων οὐ δώσει ῥίζαν εἰς βάθος«. ἀλλὰ γάρ, ἵνα μὴ μακρη-
γορῶμεν ἐπὶ πολὺ τὰς προφητικὰς ἀναλεγόμενοι φωνάς, φέρε δὴ
συστήσωμεν πάλιν ὅπως | διαδέχεται τὴν ἐπὶ μιᾷ γυναικὶ συναλλαγὴν 21
ἡ σωφροσύνη, μέχρις ἂν ἐκλύσῃ τελείως τὴν ἐκ τοῦ ἔθους ἐπὶ τὴν
συνουσίαν καταφοράν, πρὸς ὀλίγον ἀφαιρουμένη τὰς τῆς σαρκὸς ἡδυ-

1 De resurr. I, 42, 1. 56, 3. Vgl. Symp. 8, 4. 10, 2 — **3** Gen. 17, 10 — **11** Sir. 18, 30 — **12** Sir. 19, 2 — **13** Prov. 5, 18 — **15** Jerem. 5, 8 — **17** Weish. Sal. 4, 3

3—8 Phot. Bibl. 237, S. 308a, 8—14

1 *ὡς* undeutl. O | *τολμήσοι* P Jh **2** *(φ)έρε* unleserl. O | *καὶ* unleserl. O **3** *(ἀπ)οδείξ(ωμεν)* unleserl. O, *ἀποδείξομεν* Al | *ὁ γοῦν — ἡδονήν* Z. 8 Ph S. 308a, 8 **4** *τὴν περιτ(ομὴν)* unleserl. O | *οὐδὲν* unleserl. O | *αἰνίττεσθαι* Ph **4f** *ὀχεῖον* empfiehlt Po **5** *περιτέμν. τῆς* unleserl. O (*περιστελλόμενος* M) | *ἀποτεμνόμενος* Ph | *ἑαυτοῦ* w. e. sch. O (M Al) | *μέλος — 6 δημιουργηθεῖσαν* (außer *ἢ τοῦτο τὸ*) unleserl. O, von *εἰς — σάρκα* (außer *ἐκ τοῦ αὐτοῦ*) auch anders bei Al **6** *εἰς τὴν*] *τὰ* M Al | *αὐτοῦ — δημ.* v. 2. Hd. in M | *αἵμ. σ.*] *σπέρματος* M Al | *δημιουργηθέντα* M Al: P 153v | *παιδοσπορεῖν* O 39: *παιδοσπορίαν ἐπιτελεῖν* Ph **8** *ἡδονήν*] es endet Ph | *(πλησι)άζειν* unleserl. O **11** *ἀνήρηται* P Jh | *γάρ φησι* P (nicht B) | *σου τῶν ἐπιθυμιῶν* B Jh | *φησι* < P Jh **13** *σου* < P **14** *ἰδία*] *ἡδεῖα* P | *σου* undeutl. O **15** *ἤδη* + O **15f** *(θηλυμαν)εῖς* unleserl. O **16** *μαργαίνοντας* P **17** *πλῆθος* O Jh: *γένος* P **21** *ἐκλ. τελ.*] *ἐκ λυσιτελείας* B **22** *τῆς σαρκὸς τὰς* P

παθείας. αὐτίκα γοῦν εἰσάγεταί τις ἐμφανῶς ἤδη λοιπὸν παραιτού-
μενος τουτονὶ τὸν περισπασμόν, »κύριε« λέγων »πάτερ καὶ δέσποτα
τῆς ζωῆς μου, μὴ ἐγκαταλίπῃς με ἐν βουλῇ αὐτῶν· μετεωρισμὸν
ὀφθαλμῶν ἄφελε ἀπ᾽ ἐμοῦ· καρδίας ὄρεξις καὶ συνουσιασμὸς μὴ κατα-
λαβέτωσάν με«. καὶ ἐν τῇ παναρέτῳ δὲ Σοφίᾳ γυμνῶς ἤδη τοὺς
ἀκροατὰς εἰς ἐγκράτειαν ἐφελκόμενον καὶ σωφροσύνην τὸ πνεῦμα τὸ
ἅγιον τοιαῦτα μελῳδεῖ, »κρεῖσσον ἀτεκνία μετ᾽ ἀρετῆς« | κεκραγός· 22
»ἀθανασία γάρ ἐστιν ἐν μνήμῃ αὐτῆς, ὅτι καὶ παρὰ θεῷ γινώσκεται
καὶ παρὰ ἀνθρώποις, παροῦσάν τε τιμῶσιν αὐτὴν καὶ ποθοῦσιν ἀπελ-
θοῦσαν, καὶ ἐν τῷ αἰῶνι στεφανηφοροῦσα πομπεύει, τὸν τῶν ἀμιάν-
των ἄθλων ἀγῶνα νικήσασα«.

IV. *Περὶ* μὲν οὖν τῶν καιρῶν τῆς ἀνθρωπότητος, ὅπως ἀρξαμένη
ἀπὸ τῆς ἀδελφομιξίας ὥδευσεν ἐπὶ τὴν ἐγκράτειαν, εἴρηται· περὶ δὲ
τῆς παρθενίας λείπεται. ὅσον οὖν δυνατόν, πειρατέον φράσαι. καὶ
πρῶτον ἐξεταστέον, δι᾽ ἣν αἰτίαν πολλῶν προφητῶν καὶ δικαίων
πολλὰ καὶ καλὰ διδαξάντων καὶ ἐργασαμένων παρθενίαν οὐδεὶς οὔτε
ἐνεκωμίασεν | οὔτε εἵλετο. μόνῳ γὰρ ἄρα ἐφυλάσσετο τοῦτο πρε- 23
σβεῦσαι τὸ μάθημα τῷ κυρίῳ, ἐπεὶ καὶ μόνος παρελθὼν ἄνθρωπον
ἐδίδαξε χωρεῖν εἰς θεόν. »ἔπρεπε γὰρ« τῷ ἀρχιερεῖ καὶ ἀρχιπροφήτῃ
καὶ ἀρχαγγέλῳ τούτῳ καὶ ἀρχιπαρθένῳ προσαγορευθῆναι. τὸ δὲ
παλαιὸν οὐδέπω τέλειος ὁ ἄνθρωπος ἦν, καὶ διὰ τοῦτο τὸ τέλειον
οὐδέπω χωρῆσαι, τὴν παρθενίαν, ἴσχυεν. ἔτι γὰρ ἔχρῃζε, »κατ᾽ εἰκόνα«
θεοῦ γεγονώς, καὶ τὸ »καθ᾽ ὁμοίωσιν« ἀπολαβεῖν· ὅπερ τελεσιουργῆσαι
καταπεμφθεὶς ὁ λόγος εἰς τὸν κόσμον, τὴν ἡμετέραν μορφὴν πρό-

2 Sir. 23, 1. 4—6 — **7** Weish. Sal. 4, 1. 2 — **12** Plato Symp. 196 D — **13** Symp. S. 42, 1 ff — **15** Plato Symp. 179 C. 177 C — **19** Hebr. 2, 10; vgl. Orig. Jerem. homil. S. 10, 17 f — **22** Gen. 1, 26 — **23** Iren. Adv. haer. III 18, 1 — **24** Phil. 2, 7

20 vgl. Greg. Nyss. De virg. 2

2 *τοῦτον* B | *λέγων* P 154 **3** *μή με ἐγκαταλ.* P LXX cod. 54 | *βουλῇ*] *ζωῇ* P **4** *ὀρέξεις* P LXX cod. 106. 253 **5** *γυμνοὺς* O P **7** *τοιαῦτα* undeutl. O | *μετὰ* P **8** *ἐστιν ἐν* undeutl. O **10** *στεφανη(φορ.)* unleserl. O **13** *τῆς* vor *ἀδελφ.* unleserl. O | *ὥδευεν* B **13 ff** Pl *εἴρηται· περὶ δὲ σοφίας λείπεται. ὅσον οὖν δυνατόν, πειρατέον μὴ ἐλλείπειν. καὶ πρῶτον* | *δὲ* — **14** *ὅσον* unleserl. oder undeutl. O **14** *τῆς* < Po Cb Jh, auch Pl, schwerl. < P, da in V **14** *φράσαι* — **15** *αἰτίαν* unleserl. O | *φᾶναι* M, *φάναι* Al **15** *ἐξετ.* — *αἰτίαν* < M | *αἰτίαν*] + *πολλῶν πατριαρχῶν καὶ* (v. 2. Hd.) M Al Jh **15 f** Pl *πολλῶν πολλὰ καὶ καλὰ ἐργασαμένων* **16** *πολλὰ* O 39v **17** *ἄρα* < P **18** *ἐπὶ καὶ* B | *παρελθὼν ἄνθρωπον* P, vgl. I, 5 S. 13, 13: *ἀπ᾽ ἀνθρώπων* O **21** *ὁ* < P | *τοῦτο* P 154v | *τὸ* < P **23** *ἀπολαβεῖν* wohl auch O | *τελεσιουργῆσαι* < P **24 f** *προτέρως* P

τερον ἀνέλαβε πολλοῖς ἁμαρτήμασι κατεστιγμένην, ἵνα δὴ τὴν θείαν
ἡμεῖς, δι᾽ οὓς αὐτὸς ἐφό|ρεσε, πάλιν χωρῆσαι δυνηθῶμεν. καθ᾽ 24
ὁμοίωσιν γὰρ ἀκριβωθῆναι τότε πάρεστι θεοῦ, ὁπότε δὴ τοὺς αὐτοὺς
αὐτῷ χαρακτῆρας τῆς κατὰ ἄνθρωπον πολιτείας ζωγράφων δίκην
ἐπιστημόνων ἐν ἑαυτοῖς ⟨ὥσπερ⟩ σανίσιν ἐντυπωσάμενοι ἀσινεῖς κατ-
έχωμεν, ἣν αὐτὸς ἐφανέρωσε μαθητεύοντες τρίβον. ταύτῃ γὰρ
ᾑρετίσατο τὴν ἀνθρωπίνην ἐνδύσασθαι σάρκα θεὸς ὤν, ὅπως ὥσπερ
ἐν πίνακι θεῖον ἐκτύπωμα βίου βλέποντες ἔχωμεν καὶ ἡμεῖς τὸν γρά-
ψαντα μιμεῖσθαι. οὐ γὰρ ἕτερα φρονῶν ἕτερα ἐποίει· οὐδὲ μὴν ἕτερα
νομίζων εἶναι τὰ καλὰ ἐδίδασκεν ἕτερα· ἀλλ᾽ ἅπερ ἦν ἀληθῶς ὠφέ-
λιμα καὶ καλά, ταῦτα καὶ ἐδίδασκε καὶ ἐποίει.

V. Τί οὖν ὁ κύριος, ἡ ἀλή|θεια, τὸ φῶς, εἰς τὸν κόσμον ἐπραγμα- 25
τεύσατο κατελθών; ἄφθορον ἐφύλαξεν ἐν παρθενίᾳ τὴν σάρκα κοσμή-
σας. καὶ ἡμεῖς ἄρα, εἰ μέλλοιμεν »καθ᾽ ὁμοίωσιν« ἔσεσθαι θεοῦ, τοῦ
Χριστοῦ φιλοτιμώμεθα τὴν παρθενίαν τιμᾶν· ὁμοίωσις γὰρ θεῷ
φθορᾶς ἀποφυγή. ὅτι δὲ καὶ ἀρχιπάρθενος, ὃν τρόπον καὶ ἀρχι-
ποιμὴν καὶ ἀρχιπροφήτης, γέγονεν ὁ λόγος ἐνανθρωπήσας τῆς ἐκκλη-
σίας, καὶ ὁ χριστόληπτος ἡμῖν παρίστησιν ἐν βίβλῳ τῆς Ἀποκαλύψεως
Ἰωάννης λέγων »καὶ εἶδον, καὶ ἰδοὺ τὸ ἀρνίον ἑστὼς ἐπὶ τὸ ὄρος
Σιών, καὶ μετ᾽ αὐτοῦ ἑκατὸν τεσσαράκοντα τέσσαρες χιλιάδες ἔχουσαι
τὸ ὄνομα αὐτοῦ καὶ τὸ ὄνομα τοῦ πατρὸς | αὐτοῦ γεγραμμένον ἐπὶ 26

1 vgl. Plato Gorg. 524 E — **4** Plato Pol. VI, 500 E — **7** Plato Pol. VI, 501 A — **10** vgl. De resurr. II, 18, 8 — **12** Joh. 14, 6. 3, 19. 8, 12 — **14** Gen. 1, 26 — **15** Plato Theaet. 176 B — **19** Apok. Joh. 14, 1—4

7 vgl. Athan. De incarn. 16, 5

1 Pl *διαμεμαστιγωμένην* **2** *δι᾽ ἧς* P **3f** Pl *οἱ τῷ θείῳ παραδείγματι χρώμενοι ζωγράφοι* | *αὐτοὺς αὐτῷ*] *αὐτοῦ* P Jh **4** *πολιτείαν* B **5** *ἐπιστιμόνων* B | *ὥσπερ* + Po Cb Jh | *σανίσιν* < O: sollte es in P aus dem *ἀσινεῖς* entstanden sein? | *ἐντυποσάμενοι* B: *ἐκτυπ.* P Jh | *ἀσινεῖς* < P **6** *ταύτην* P **7** *ἡρετήσατο* P (nicht B) | *ἀνθρωπίνην* undeutl. O **8** *ἐντύπωμα* B | *κ. ἡμεῖς* < P **10** *ἕτερα ἐδίδασκεν* P | (*ἀληθ*)*ῶς* unleserl. O **11** *καὶ* vor *ἐδίδ.* < P **12** *οὖν* unleserl. O | *εἰς τὸν κόσμον* < Cb Jh **13** *κατελθών* PMAl, unleserl. O: *παρελθὼν* B viell. O **14** *ἔσεσθαι* undeutl. O **14f** *τοῦ Χρ.*] *καὶ Χρ.* Cb Jh **15** *Χριστοῦ* unleserl. O | *φιλοτιμούμεθα* P | *τὴν* < P | (*ὁμοί*)*ωσις* unleserl. O **16** *φθορᾶς* P 155 | *ἀρχιποιμ* . . O **17** *ἐνανθρ. γέγ. ὁ λόγος* P | (*ἐνανθ*)*ρωπήσας τῆς* unleserl. O **18** *ὁ χριστόλη*(*πτος*) unleserl. O | (*παρ*)*ί*(*στ*)*ησι*(*ν ἐν*) — *τῆς Ἀπο*(*καλ.*) unleserl. O | *παρέστησεν* Al Jh | *βιβλίῳ* Aussg. **19** *Ἰωάννης — ὄρος* unleserl. O | *τὸ* < M Al | *ἑστὸς* M Al **20** *καὶ μετ᾽* O 40 | *ἑκατὸν καὶ* P | *τέσσαρες* < B

τῶν μετώπων αὐτῶν. καὶ ἤκουσα φωνὴν ἐκ τοῦ οὐρανοῦ ὥς
φωνὴν ὑδάτων πολλῶν καὶ ὡς φωνὴν βροντῆς μεγάλης· καὶ ἡ φωνὴ
ἣν ἤκουσα, ὡς φωνὴ κιθαρῳδῶν κιθαριζόντων ἐν ταῖς κιθάραις αὐ-
τῶν. καὶ ᾄδουσι ᾠδὴν καινὴν ἐνώπιον τοῦ θρόνου καὶ ἐνώπιον τῶν
τεσσάρων ζῴων καὶ τῶν πρεσβυτέρων· καὶ οὐδεὶς ἠδύνατο μαθεῖν
τὴν ᾠδήν, εἰ μὴ αἱ ἑκατὸν τεσσαράκοντα τέσσαρες χιλιάδες, οἱ ἠγο-
ρασμένοι ἀπὸ τῆς γῆς. οὗτοί εἰσιν, οἳ μετὰ γυναικῶν οὐκ ἐμο-
λύνθησαν· παρθένοι γάρ εἰσιν οὗτοι οἱ ἀκολουθήσαντες τῷ ἀρνίῳ
ὅπου ἂν ὑπάγῃ«, τοῦ χοροῦ τῶν παρθένων ἐξάρχοντα δεικνύων τὸν
κύριον. ἐπίστησον δὲ πρὸς τούτοις, ὅπως τὸ ἀξίωμα τῆς παρθενίας
μέγιστον παρὰ τῷ | θεῷ. »οὗτοι ἠγοράσθησαν ἀπὸ τῶν ἀνθρώπων 27
ἀπαρχὴ τῷ θεῷ καὶ τῷ ἀρνίῳ, καὶ ἐν τῷ στόματι αὐτῶν οὐχ εὑρέθη
ψεῦδος· ἄμωμοί εἰσιν· ἀκολουθοῦσι« φησί »τῷ ἀρνίῳ ὅπου ἂν ὑπάγῃ«.
σαφῶς ἡμᾶς καὶ ἐντεῦθεν διδάσκειν βούλεται, ὅτι ἐν ἀριθμῷ τοσούτῳ,
τουτέστιν ἑκατὸν τεσσαράκοντα καὶ τέσσαρσι χιλιάσιν, ἀπάνωθεν τὸ
πλῆθος περιώριστο τῶν παρθένων, τῶν ἄλλων ἁγίων εἰς πλῆθος
ἀόριστον ὀχλιζομένων. τί γὰρ παρεγγυᾷ καὶ περὶ τῶν λοιπῶν δια-
λεγόμενος, προσεκτέον· »καὶ εἶδον ἀπὸ πάσης γλώττης καὶ φυλῆς
καὶ παντὸς ἔθνους πλῆθος πολύ, ὃ ἀριθμῆσαι αὐτὸ οὐδεὶς ἠδύνατο«.
οὐκοῦν συνέστηκεν, ὡς ἔφην, ἐπὶ μὲν τῶν ἄλλων ἁγί|ων αὐτὸν πλη- 28
θὺν ἄφατον εἰσάγειν, ἐπὶ δὲ τῶν ἐν παρθενίᾳ βραχύτατον ἀριθμόν,
ὡς πρὸς σύγκρισιν τῶν εἰς ἀναρίθμητον πλῆθος συντελούντων.

Οὗτος, ὦ Ἀρετή, ὁ παρ' ἐμοῦ σοι περὶ παρθενίας, ἔφη, λόγος· εἰ δέ τι παρέλιπον, ἀναπληρούτω διαδεξαμένη με Θεοφίλα.

11 Apok. Joh. 14, 4. 5. 4 — **18** Apok. Joh. 7, 9. — **23** Plato Symp. 197 E. 188 E

1 *ὥσπερ* O: *ὡς* P Jh NT **3** *ὡς* < P | *κιθαρωδῶν*] *ἣν* P (nicht B) **4** *ὠιδὴν καινὴν* P NT: *κ. ὠδὴν* O **5** *καὶ πρεσβυτέρων* P **7** *οὗτοί εἰσιν* O: *οὗτοι γάρ εἰσιν* P **8** vor *οἱ* + *εἰσιν* Jh **8** *οἱ ἀκολουθ.* O: *ἀκολουθοῦσι* wie Z. 13 P **9** *ὑπάγοι*, a. Rand *γη* B **10** *ὅπως* O: *πῶς* P **11** *τῷ* < O | *ἀπὸ τ. ἀνθρώπων* O Jh: *παρὰ τ. ἐθνῶν* P **12** *καὶ ἐν* P 155v **13** *γάρ εἰσι· καὶ ἀκ.* Po Cb Jh **14** *κἀντεῦθεν* Jh | *ὅτι*] *οὐ γὰρ* O **15** *ἕκατον καὶ* P | *τέτρασι* HSS | *ἐπάνωθεν* O **17** *καὶ* vor *περὶ* < O **18** *γλώσσης* P **19** *ὃ* < P **20 f** *(π)ληθύ(ν)* unleserl. O **22** *πρὸς*] *ὥσπερ* B, ab. a. Rand *ὡς πρὸς* | *πρὸς σύγ* unleserl. O | *πλῆθος* < O **23 f** Pl Symp. 197 E *οὗτος, ἔφη, ὁ παρ' ἐμοῦ λόγος, ὦ Φαῖδρε.* 188 E *ἀλλ' εἴ τι ἐξέλιπον, σὸν ἔργον, ὦ Ἀριστ., ἀναπληρῶσαι* **23** *ὁ πα(ρ')* unleserl. O | *περὶ* < P **24** *ἀποπληρούτω* O | *. . . . ξαμ . . .* O: *διαδεχομένη* P | *με?* O (ab. M Al)

Λόγος β'.

Θεοφίλα.

I. *Εἰπεῖν οὖν ἔφη τὴν Θεοφίλαν, ὅτι Δοκεῖ μοι ἀναγκαῖον εἶναι,
ἐπειδὴ καλῶς ἡ Μάρκελλα ὁρμήσασα ἐπὶ τὸν λόγον οὐχ ἱκανῶς
ἐπλήρωσεν, ἐμὲ πειρᾶσθαι τέλος ἐπιθεῖναι τῷ λόγῳ. τὸ μὲν γὰρ
εἰς παρθενίαν ἐκ προβάσεως προκόψαι τὸν ἄνθρωπον, τοῦ θεοῦ
παρορμήσαντος αὐτὸν κατὰ και|ρὸν καὶ καιρόν, δοκεῖ μοι καλῶς* 29
*διελέσθαι, τὸ δὲ μηκέτι χρῆναι λέγειν τοὐντεῦθεν τεκνογονεῖν οὐ
καλῶς. ἐγὼ γὰρ καθεωρακέναι μοι δοκῶ σαφῶς ἀπὸ τῶν γραφῶν
ὅτι παρθενίας ἐλθούσης ὁ λόγος οὐκ ἀνεῖλε πάντῃ τὴν τεκνογονίαν.
οὐ γὰρ ἐπειδὴ τῶν ἄστρων ἡ σελήνη μείζων ἐστί, παρὰ τοῦτο τῶν
ἄλλων ἀστέρων τὸ φῶς ἀναιρεῖται. ἀρξώμεθα δὲ ἀπὸ τῆς Γενέσεως,
ἵνα δὴ καὶ πρεσβεύωμεν μᾶλλον τὴν γραφήν. ἡ γὰρ ἀπόφασις
τοῦ θεοῦ καὶ τὸ διάταγμα τὸ ἐπὶ τῆς παιδοποιίας ὁμολογουμένως
μέχρι καὶ νῦν συμπληροῦται, πλάσσοντος τὸν ἄνθρωπον ἔτι τοῦ δη-
μιουργοῦ. τοῦτο γὰρ καὶ παντὶ καταφανές, ὡς ἄρα τὸν κόσμον
ἀκμὴν ἐργάζεται ζωγραφῶν ὁ | θεός, ὥσπερ δὴ καὶ ὁ κύριος ἐδίδαξεν,* 30
*»ἕως ἄρτι ὁ πατήρ μου ἐργάζεται« λέγων. ἀλλ' ὁπόταν οἱ ποταμοὶ
ἤδη λωφήσωσιν εἰς τὸ τῆς θαλάσσης ἐμβάλλοντες ἀγγεῖον, καὶ τὸ
φῶς τελείως χωρισθῇ τοῦ σκότους (νῦν γὰρ ἔτι διαχωρίζεται) καὶ
τοὺς καρποὺς μετὰ τῶν ἑρπετῶν καὶ τετραπόδων ἀναδιδόναι παύ-
σηται λοιπὸν ἡ ξηρά, καὶ ὁ προωρισμένος τῶν ἀνθρώπων ἀριθμὸς*

3 Plato Symp. 185 Ef — **13** Gen. 1, 28 — **17** De creatis 6. Plato Tim. 28f — **18** Joh. 5, 17 — Gen. 1, 9. 4. 11. 24

9—12 Phot. Bibl. 237 S. 308a, 15—19

1f *Θεοφίλα λόγος Β'ος* P: < O **3ff** Pl *Εἰπεῖν δὴ τὸν Ἐρυξ.· Δοκεῖ τοίνυν μοι ἀναγκαῖον εἶναι, ἐπειδὴ Πανσ. ὁρμήσας ἐπὶ τὸν λόγον καλῶς οὐχ ἱκανῶς ἀπετέλεσε, δεῖν ἐμὲ πειρᾶσθαι τέλος ἐπιθεῖναι τῷ λόγῳ. τὸ μὲν γὰρ . . δοκεῖ μοι καλῶς διελέσθαι . . . καθεωρακέναι μοι δοκῶ ἐκ τῆς . . ἄρξομαι δὲ ἀπὸ τῆς . ., ἵνα καὶ πρεσβεύωμεν τὴν τέχνην* **3** *(Θεο)φίλ(αν) ὅτι* (?) unleserl. O | *ὅτι*] *Οὐκοῦν* M Al Jh **4** *(ὁρ)μήσασα ἐπὶ* unleserl. O (*περὶ*, übergeschr. *ἐπὶ* M) **5** *(πειρ)ᾶσθαι — τῷ* unleserl. O | *πειρ.*] *δεῖ* + M Al, *δεῖν* + Jh Pl | *τέλος* < (M?) Al | *προσεπιθεῖναι* (2. Hd. in Lücke) M Al **6** *ἐκ* O 40v | *προσβάσεως* O | *τοῦ* < P **7** *παρορ|μήσ.* P 156 | *καιρ. καὶ καιρὸν*] vgl. ob. S. 10, 3f **8** *τὸ ἐντεῦθεν* P **9** *ἐγὼ — ἀναιρεῖται* Z. 12 Ph **10** *τὴν* < Ph | *(τεκν)ογ(ον)ίαν* undeutl. O **11** *ἀστέρων* P Jh **12** *τῆς* < O **14** *τεκνοποιίας* B Jh **16** *παντὶ* Jh nach Pl Tim. 53 C. Symp. 187 A und Meth. Symp. 105: *πάντῃ* HSS **18** *ἐργ. ὁ πατήρ μου* P **19** *ἤδη λωφήσωσιν* O Jh: *πληρώσωσιν* viell. richtig P | *ἐμβάλλ.* O: *εἰσβάλλοντες* P Jh **21** *ἀναδ. δ.* O **21f** *παύσεται* P M: *ηται* unleserl. O

ἀναπληρωθῇ· τότε δὴ λοιπὸν καὶ τῆς παιδοποιίας ἀφεκτέον. νῦν
γὰρ εἰς τὴν εἰκόνα τοῦ θεοῦ τὸν ἄνθρωπον ἀνάγκη συνεργεῖν, ἔτι
συνεστῶτος τοῦ κόσμου καὶ τεκταινομένου. »αὐξάνεσθε« γὰρ ἐλέχθη
»καὶ πληθύνεσθε«. καὶ οὐ χρὴ τὸ διάταγμα βδελύττεσθαι τοῦ δη-
μιουργοῦ, | ἐξ οὗ δὴ καὶ αὐταὶ γεγόναμεν. ἀρχὴ γὰρ γενέσεως ἀν- 31
θρώπων ἡ τοῦ σπέρματος εἰς τὰς αὔλακας τῆς μήτρας γίνεται κατα-
βολή, ὅπως τὸ ἐκ τῶν ὀστέων ὀστοῦν καὶ ἡ ἐκ τῆς σαρκὸς σὰρξ
ἕτερος ἄνθρωπος ἀοράτῳ ληφθέντα δυνάμει πάλιν ὑπὸ τοῦ αὐτοῦ
τεχνίτου δημιουργηθῶσι. ταύτῃ γὰρ ἐκείνην ἡγητέον πληροῦσθαι
τὴν φωνήν »τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστέων μου καὶ σὰρξ ἐκ τῆς
σαρκός μου«.

II. Τοῦτο γὰρ ἴσως ἠνίσσετο καὶ ἡ κατὰ τὸν ὕπνον ἔκστασις
ἐπιβληθεῖσα τῷ πρωτοπλάστῳ, προδιατυπουμένη τὴν ἐπὶ τῆς φιλο-
τησίας θέλξιν τοῦ ἀνδρός, ὁπότε διψήσας τέκνων ἐξίσταται ταῖς
παιδογόνοις ἐκθηλυνόμενος καθ᾽ ὕπνον ἡδοναῖς, ἵνα πάλιν τι ἀπὸ
τῶν ὀστῶν αὐτοῦ καὶ τῆς σαρκὸς ἀποσπασθὲν | ἕτερος ἄνθρωπος, 32
ὡς ἔφην, ἀναπληρωθῇ. ἐκταρασσομένης γὰρ τῆς ἁρμονίας τῶν σω-
μάτων ἐν τοῖς κατὰ τὴν συνουσίαν ἐρεθισμοῖς, ὡς οἱ τετελεσμένοι
τὴν γαμήλιον ἡμᾶς διδάσκουσι τελετήν, πᾶν τὸ μυελῶδες τοῦ αἵματος
καὶ γονιμώτατον, ὅπερ ἐστὶν ὑγρὸν ὀστοῦν, ἐκ πάντων ἐπαθροιζό-
μενον τῶν μελῶν, ἀφροποιῆσαν καὶ θρομβωθὲν διὰ τῶν παιδογόνων
ὀργάνων εἰς τὴν ἔμψυχον τῆς θηλείας ἐξέσσυται γῆν. εἰκότως ἄρα

2 Gen. 1, 27 — **3** Gen. 1, 28 — **7** Symp. 3, 1 — **7. 10** Gen. 2, 23 — **12** Gen. 2, 21 — **14** Symp. 2, 5 — **16** Demokrit Fr. 32 Diels — **17** De lepra 5, 2

18—20 Theophan. Keram. PGr. 132, 385BC

1 *δὴ* < P | *τὸ τῆς* P | *ἐφεκτέον* P, *ε* übergeschr. O | *νῦν* — **2** *(τ)ὴν* unleserl. O **2** *τοῦ* P 156v **3** *τος τοῦ κόσμου* unleserl. O | *αὐξάνεσθαι* P | *ἐλέχθη* O: *ἔφη* P **4** *οὐ χρὴ* unleserl. O | *βδελύσσεσθαι* P Jh **5** *αὐτοὶ* HSS **6** *(σπέρμα)τος εἰς τὰς αὐ(λ.)* unleserl. O | *τοὺς αὔλακας* P **7f** Symp. 3, 1 *τὸ ἀπὸ τῶν ὀστέων ὀστοῦν ἄνθρωπος ἕτερος ληφθέν* **7** *(ὀστ)οῦν καὶ* unleserl. O **8** *ληφθέντα — τοῦ* undeutlich O **9** *ταύτῃ γὰρ ἐκεί(νην)* unleserl. O | *δὲ πληρ,* M: *δὴ πληρ.* Al, wohl auch O **10** *νῦν — καὶ* unleserl. O **11** *σαρκὸς — ὕπνον* Z. 12 unleserl. O **12** *ἴσως ἠνίσσ. καὶ*] *δείκνυσιν* M Al | *κατὰ*] *μετὰ* M Al Jh | *ἔκστασις* O 41 **13f** *φιλοτισίας* P (nicht B) **14** *τέκνων*] *ν* scheint ausradiert in P **15** *θηλυνόμενος* P | *καὶ* vor *καθ᾽* + O | *πάλιν τι*] *τι τῶν* O: *πάλιν* P **18** *τὴν* < Cb Jh (schwerl. P, da in V) **18ff** *οἱ γὰρ πρὸς τὴν λυσσώδη μίξιν ἐρεθισμοὶ ἐξ αὐτοῦ τοῦ σώματος πᾶν τὸ γόνιμον τοῦ αἵματος καὶ μυελῶδες ἐξοίσουσι* (*ἐκσείουσι* Jh) Theoph. **20** *ἐστὶν* wohl auch O **20f** *ἀθροιζόμενον* P **21** *(ἀφρο)ποίησαν* undeutl. O (*ἀφροποιεῖ* De lepra) | *θρομ|βωθὲν* P 157 **22** *ἐξέσσυται*] *ἐξύεται* P: *ἐξύσσεται* O, *ἐξέσσυται* auch Demokr.

ἕνεκεν τούτου καταλιπεῖν λέλεκται »τὸν πατέρα καὶ τὴν μητέρα«, τότε πάντων ἀθρόως ἀμνημονήσας, ὅτε φιλοστόργοις ἑνούμενος τῇ γυναικὶ συμπλοκαῖς κάτοχος ἐπιθυμίας γίνεται γεννητικῆς, παρέχων ἀφαιρεῖσθαι τῷ θείῳ τὴν πλευ|ρὰν δημιουργῷ, ὅπως ἐξ υἱοῦ δὴ καὶ 33 αὐτὸς ὁ πατὴρ πάλιν ἐκφανῇ. οὐκοῦν εἰσέτι πλάσσοντος καὶ νῦν δὴ τὸν ἄνθρωπον τοῦ θεοῦ, πῶς οὐ τολμηρὸν τὸ βδελύσσεσθαι τὴν παιδουργίαν, ἣν αὐτὸς οὐκ ἐπαισχύνεται ταῖς ἀμιάντοις ὁ παντοκράτωρ ἐργαζόμενος χερσί; »πρὸ τοῦ« γάρ »με πλάσαι σε ἐν κοιλίᾳ μητρός, ἐπίσταμαί σε« τῷ Ἱερεμίᾳ φησί· τῷ δὲ Ἰὼβ »μὴ σὺ λαβὼν πηλὸν ἔπλασας ζῷον καὶ λαλητὸν αὐτὸ ἔθου« ἔφη »ἐπὶ τῆς γῆς;« καὶ ὁ Ἰὼβ δὲ πρὸς αὐτὸν εὐκτικῶς φέρεται λέγων τό »αἱ χεῖρές σου ἐποίησάν με καὶ ἔπλασάν με«. πῶς δὲ οὐκ ἄτοπον τὸ ἀπαγορεύεσθαι γάμων συναλλαγάς, προσδοκωμένων ἔτι καὶ μεθ᾽ ἡμᾶς ἔσεσθαι μαρτύρων καὶ τῶν ἀντιτασσομένων τῷ πονηρῷ, δι᾽ οὓς δὴ καὶ τὰς ἡ|μέρας ὁ 34 λόγος ἐπηγγείλατο κολοβωθήσεσθαι; εἰ γὰρ φαῦλον, ὡς ἔφης, ἀπεντεῦθεν νενόμισται τῷ θεῷ τὸ παιδοσπορεῖν, δι᾽ ἣν αἰτίαν οἱ παρὰ δόγμα φυόμενοι καὶ τὴν βουλὴν τὴν θείαν εὐάρεστοι δυνήσονται παραστῆναι τῷ θεῷ; ἀνάγκη γὰρ εἶναι κίβδηλον, ἀλλὰ μὴ θεοφιλὲς τὸ τεχθέν, εἰ παρὰ τὴν γνώμην καὶ τὸ διάταγμα δίκην παραχαράγματος πλάσσεται τῆς δυνάμεως, ἵνα δὴ καὶ ἀνθρώπους δύνασθαι δῶμεν ἀνθρωποπλαστεῖν;

III. *Καὶ ἡ Μάρκελλα* ὑπολαβοῦσα, Ὦ Θεοφίλα, μέγα σφάλμα, ἔφη, καὶ ἐναντίον οἷς εἶπας ἀναφαίνεται, καὶ οἴει λεληθέναι παρωσαμένη τηλικοῦτον νέφος; ἥκει γὰρ ἐκεῖνος ὁ λόγος, ὃν ἴσως |

1 Gen. 2, 24 — **3** Gen. 2, 21 — **8** Jerem. 1, 5 — **9** Hiob 38, 14 — **10** Hiob 10, 8 — **14** vgl. Ephes. 6, 13. 16. Jak. 4, 7 — Mt. 24, 22 — **24** Plato Gorg. 521 E

2 *ὅτε*] *ὁ δὲ* P **3** *γίνε(ται)* unleserl. O, *γένηται* M Al **4** *τ. πλ. δημ.*] *τὴν δημιουργίαν* P **5** *ὁ* < O | *ἐκφανῇ* O: *ἐφάνη* P | *. κοῦν* O | *εἰσέτι καὶ* mit übergeschriebenem *καὶ* vor *νῦν* P (nicht B) **6** *τὸ* < P **8 f** *μητρὸς* < P LXX **9** *φησί* < P **10** *ἔθου* O LXX: *ἐποίησας* P | *. φη* O **11** *δὲ* < Jh | *(χεῖρ)ές σου ἐποί(ησάν)* unleserl. O **12** *τὸ* < P | *(ἀπαγο)ρεύεσθαι γ(άμ.)* unleserl. O **13 f** *ἔσ. μαρτ. καὶ* unleserl. O | *μάρτυρας* M Al **14 f** *ἡμ. ὁ λόγ. ἐπηγγείλ(ατο)* unleserl. O | *ὁ λόγος* < M Al **15** *ἐπειγγείλατο* M | *κολωβωθήσεσθαι* B | *(ἔ)φης — νενόμ(ισται)* Z. 16 unleserl. O **16** *τὸ* < O | *οἱ — θείαν* Z. 17 unleserl. O **16 f** *π. τὸ δόγμα γινόμενοι* M Al **17** *τὴν* vor *βουλὴν* < M | *(δυνήσον)ται — εἶναι* Z. 18 unleserl. O **18** *πάλιν παραστ.* M Al | *ἀνάγκη γὰρ* P 157v: *ἢ πῶς οὐκ ἀνάγκη* M Al Jh | *θεοφιλές* P, *θεοφιλῆς* B: *θεοφυὲς* M Al Jh: unleserl. O **19** *τὸ τεχθέν* O 41v: *τὸ λεχθὲν* P **20** *ἀνθρώποις* P **23** *οἴῃ* B **24 f** Pl *ὁ αὐτὸς δέ μοι ἥκει λόγος, ὅνπερ . . ἔλεγον* **24** *ἐκεῖνος* undeutl. O

ἀπαιτῶν σέ τις, ὦ σοφωτάτη, λέξει· Περὶ τῶν ἐκ μοιχείας ἀνόμως 35
φυομένων τί φῄς; ἔδωκας γὰρ εἰσελθεῖν εἰς τὸν κόσμον ἀμήχανον
εἶναι καὶ ἀδύνατον, μὴ χειραγωγηθέντα τῷ θελήματι τῆς μεγαλο-
σύνης, κατασκευασθέντος αὐτοῦ τοῦ σκηνώματος πρὸς τοῦ θεοῦ. καὶ
ἵνα μὴ καταφύγῃς ὥσπερ εἰς τειχίον, ἐχέγγυον προχειριζομένη τὴν
λέγουσαν γραφὴν »τέκνα δὲ μοιχῶν ἀτελεσφόρητα«, ἀποκρούσεταί σε
πράως εἰπὼν ὅτι· Καὶ μὴν τελεσφόροις πολλαχῶς ὠδῖσιν ὥριμον
καρπὸν τοὺς ἐκ παρανόμων συλληφθέντας ὧδε συναλλαγῶν ὁρῶμεν
φυομένους. εἰ δ' αὖ πάλιν σοφιζομένη φαίης· Ὦ οὗ|τος, ἐγὼ τὸ ἀτε- 36
λεσφόρητον ἐπὶ τῶν μὴ τελειουμένων ἡγοῦμαι τάσσεσθαι τῇ χριστο-
διδάκτῳ δικαιοσύνῃ, λελέξεται· Καὶ μήν, ὦ μακαρία, πλεῖστοι τεχθέν-
τες ἐξ ἀδίκου σπορᾶς οὐδὲν ἧσσον οὐ μόνον τῇ ποίμνῃ συναγελάζεσθαι
καταξιοῦνται τῶν ἀδελφῶν, ἀλλὰ καὶ προκαθηγεῖσθαι τούτων
κληροῦνται πολλαχῶς. οὐκοῦν ὄντος φανεροῦ καὶ πάντων ἱστορούν-
των καὶ τὰ ἐκ μοιχείας φυόμενα τελεσιουργεῖσθαι, οὐ χρὴ νομίζειν
συλλήψεων πέρι καὶ τοκετῶν τὸ πνεῦμα πεπροφητευκέναι, ἀλλ' ἴσως
περὶ τῶν τὴν ἀλήθειαν μοιχωμένων, οἵτινες κλεψισόφοις νοθεύοντες
δόγμασι τὰς γραφὰς ἀτελεσφόρητον γεννῶσι σοφίαν, τῇ θεοσεβείᾳ

4 vgl. Plato Axioch. 366 A — **5** Plato Pol. VI, 496 D — **6** Weish. Sal. 3, 16

6—16 u. **17—S. 19, 1** Phot. Bibl. 237 S. 308a, 21. 24ff. 21ff

1 *ὡς σοφωτάτην* P: Pl *ὦ σοφωτάτη* | *περὶ* undeutl. O | *μοιχίας* B **3** *μὴ* unleserl. O | *χορηγηθέντα* B **3f** *μεγαλωσύνης* B: *δυνάμεως* viell. richtig O **4** (*κατασκ*)*ευασθέντος* unleserl. O | *αὐτῷ* O **5** *ὥσπερ* < O | *τειχίον* unleserl. O: verb. mit *ἐχέγγυον* HSS | Pl *ὑπὸ τειχίον ἀποστάς* **6** *τέκνα — τὴν πλάνην* S. 19, 1, bzw. *κυρίου* S. 19, 4 bei Ph | *δὲ* < P *ἀποκρούσ. — ἴσως* Z. 16] *ἄλλως γὰρ νοηθῆναι οὐκ ἐγχωρεῖ. οὔτε γὰρ ἐπὶ τοῦ μὴ τίκτεσθαι τὰ ἐκ μοιχείας τέκνα καὶ εἰς φῶς αἰσθητὸν ἄγεσθαι δύναται νοεῖσθαι* (*νοεῖσθ. δύν.* B), *ὅτι πολλοὶ οὐ μόνον ἐτέχθησαν, ἀλλὰ καὶ τετόκασιν ἐκ μοιχείας τεχθέντες· οὔτε ἐπὶ τοῦ πνευματικῶς καὶ θείως τελεσφορηθῆναι, πολλῶν γὰρ μοιχῶν τέκνα πλήρη* (*πλήρεις* A) *ἐγένοντο* (*πλήρης ἐγένετο* B) *ἁγίου πνεύματος* Ph Z. 25ff **7** *Καὶ μὴν*] *μὲν καὶ* P **9** *ὡς οὕτως* O **10** *μὴ* < Jh **11** *λέξεται* P **11f** *τεχθέντες* P 158 **12** *ἧττον* P, *ἶσον* B | (*συν*)*αγε*(*λάζεσθαι*) undeutl. O **13** *καταξ.* Kl: *καθαριθμοῦνται* O P | (*προκαθηγ*)*εῖσθαι* unleserl. O, *καθ.* Jh | *τούτων* unleserl. O **14** *πληροῦνται* P **14f** *ἱστορ*(*ούντ*)*ων* unleserl. O **15** (*νομίζ*)*ειν* unleserl. O **16** *περὶ συλλήψεων* P | *τόκων* P (auch S. 28, 1) | *πεπρ. — ἴσως* unleserl. O | *ἀλλὰ* P **17** *μοιχομένων* Ph: + *φησὶν εἰρῆσθαι* Ph | (*οἵτ*)*ινες — νοθεύοντες* unleserl. O **17f** *κλεψ. . . δογμ.*] *κλεψίσοφοι* Ph **18** *δόγμασι* < Ph | *γεννῶσι — θεοσεβείᾳ* unleserl. O | *θεοσεβία* M Al

συγκιρνῶντες τὴν πλάνην. διὸ καὶ ταύ|της σου τῆς προφάσεως ἐξη- 37
ρημένης ἴθι δή, εἰ καὶ τὰ ἐκ μοιχείας εὐδοκοῦντος, ἀπόκριναι, γεννῶν-
ται τοῦ θεοῦ. ἔφης γὰρ εἶναι ἀδύνατον ἀνθρώπου τελεσφορηθῆναι
γονήν, μὴ μορφώσαντος αὐτὴν καὶ ἐμψυχώσαντος τοῦ κυρίου.
IV. *Καὶ ἡ Θεοφίλα ὑπὸ γενναίου ὥσπερ ληφθεῖσα τῶν μέσων ἀν-*
ταγωνιστοῦ ἐσκοτοδινίασε, καὶ μάλα μόλις ἀναπνεύσασα ἔφη· Ἐρωτᾷς
ἐρώτημα διὰ παραδείγματος. ὦ μακαρία, χρῇζον ἀποδειχθῆναι, ἵν' ἔτι
μᾶλλον ἴδῃς ὡς διὰ πάντων ἡ ποιητικὴ δύναμις διοικοῦσα τοῦ θεοῦ
πλέον εἰς τὴν τῶν ἀνθρώπων γένεσιν αὐτουργεῖ, αὔξουσα τὰ εἰς
γόνιμον φυτευόμενα γῆν. οὐ γὰρ τὸ σπειρόμενον αἰτιατέον, ἀλ|λὰ 38
τὸν εἰς ἀλλοτρίαν ἄρουραν κλεψιγάμοις εὐναῖς, οἷα μισθωτὸν ὀλίγης
ἡδονῆς, τὴν ἰδίαν ἀναισχύντως πιπράσκοντα σποράν. ἀπείκασον γὰρ
τοιούτῳ τινὶ τὴν ἡμετέραν γέννεσιν εἰς τὸν βίον, οἷον οἴκῳ παρα-
κειμένην ἔχοντι τὴν εἴσοδον ὄρεσιν ὑψηλοῖς· διήκειν δὲ τὸν οἶκον
ἐπὶ πολὺ κάτω μέχρι μακρὰν τῆς εἰσόδου, ἔχοντα πολλὰς ὀπὰς ἐκ
τῶν ὀπίσω καὶ περιφερῆ κατὰ τοῦτο τὸ μέρος γεγονότα.

2 Plato Gorg. 452 D — **5** Plato Prot. 339 E — **6** Symp. II, 5. De res. I, 27, 1 — Plato Pol. VI, 487 E — **8** De creatis 9 — **10** Plato Tim. 87 B; vgl. Meth. Symp. 228 Al — Plato Tim. 91 D — **12** Plato Pol. VII, 514 A B

1 *συγκηρνῶντες* B (*συγκερνῶντες* V), *συγκρίνοντες* Ph | *διὸ — ἐξῃρημένης* < Ph: unleserl. O | *διὸ δὴ καὶ* M Al | *σου* < M Al **2** *ἴθι — κυρίου* Z. 4] *ὅτι ἀπορεῖ λέγων, εἰ παρὰ θεοῦ δίδονται αἱ ψυχαί, ἀλλ' οὐ παρὰ τοῦ πατρὸς τοῖς τικτομένοις, πῶς δίδωσι καὶ τοῖς ἐκ μοιχείας τικτομένοις; εἰ γὰρ δίδωσι, συνεργεῖν ἂν δόξειεν τοῖς μοιχευομένοις· εἰ γὰρ μὴ ἔδωκε τὴν ψυχήν, οὐκ ἂν ἐτίκτοντο* Ph. Ph schließt *λύει δὲ τὴν ἀπορίαν διὰ πλειόνων καὶ σαφῶν παραδειγμάτων* | (*εὐδοκ*)*οῦντες — ἔ*(*φης*) Z. 3 unleserl. O **3** *ἀδύνατον — μορφώσαντος* Z. 4 unleserl. O | *τελεσφορουμένην* M Al **4** *μορφῶσαι . . ἐμψυχῶσαι* M Al | *καὶ*] *ἢ* O | (*ἐμψυχ*)*ώσαντος — ὥσπερ* Z. 5 außer (*ὑ*)*πὸ γεννα*(*ίου*) unleserl. O | *ψυχώσαντος* P Jh | *τὸν κύριον* M Al **5** *Καὶ ἡ Θ.*] *ἡ δὲ* M Al Jh | *ὥσπερ ἀπὸ γενναίου* M Al; *ὥσπερ* vor *ὑπὸ* wohl auch O | *ληφθεῖσα* O 42 **6** *ἐσκοτοδεινίασεν* P (nicht B) | *μάλα μόγις* Pl z. B. Pol. I, 342 C. De res. I, 27, 1 *μόλις* u. *μόγις* bezeugt | *πρὶν ἀναπνεῦσαι* Pl Euthyd. 276 C. **6 ff** Pl *ἐρωτᾷς . . ἐρώτημα δεόμενον ἀποκρίσεως δι' εἰκόνος λεγομένης . . ἄκουε δ' οὖν τῆς εἰκόνος, ἵν' ἔτι μᾶλλον ἴδῃς ὡς* **8** *ἴδῃς* Jh Pl: *εἰδῇς* O P | *διοικοῦσα* O: *διήκουσα* P Jh **10** *αἰτιᾶται* M Al: ? O: vgl. S. 20, 22 **10 f** Pl Tim. 91 D *ὡς εἰς ἄρουραν τὴν μήτραν . . κατασπείραντες* **12 f** Pl *ἀπείκασον τοιούτῳ πάθει τὴν ἡμετέραν φύσιν . .· ἰδὲ γὰρ . . οἷον ἐν καταγείῳ οἰκήσει . . τὴν εἴσοδον ἐχούσῃ μακράν . . Ὁρῶ, ἔφη* | (*ἀπεικα*)*σον* undeutl. O **13** *γέννεσιν* O: *γένεσιν* P | (*οἴ*)*κῳ* unleserl. O **13 f** *παρακειμένῳ* P **14** *δὲ*] *τε* P **15** *μέχρις* B | *μακρὰν*] *ἄκρων* P

Ἀπεικάζω, ἔφη ἡ Μάρκελλα.

Οὐκοῦν ὑπόλαβε ἔνδον καθεζόμενον ἐργάζεσθαι πλάστην πολλοὺς ἀνδριάντας· τούτῳ δ' αὖ τὴν ὕλην τοῦ πηλοῦ διὰ τῶν ὀπῶν ἔξωθεν νόησον ὑπὸ πολλῶν ἀνθρώπων ἀνενδεῶς χορηγεῖσθαι, οὐδενὸς αὐτῶν ὁρῶντος τὸν τεχνίτην. δὸς δὲ κεκαλύφθαι τὸν οἶκον ὁμίχλῃ καὶ νεφέ|λαις καὶ μηδὲν αὐτοῖς ἔξωθεν εἶναι καταφανὲς ἢ μόνας τὰς ὀπάς. 39

Δεδόσθω, ἔφη, καὶ τοῦτο.

Ἔχειν τε ἕκαστον αὐτῶν τῶν συμπονούντων εἰς τὴν τοῦ πηλοῦ συγκομιδὴν ἀπονενεμημένην αὐτῷ μίαν ὀπήν, εἰς ἣν μόνην αὐτὸν φέροντα τὴν ἰδίαν ὕλην ἀποτίθεσθαι, μὴ ἁπτόμενον ἑτέρας. εἰ δ' αὖ περιέργως ἀνοιγνύναι τὴν ἑτέρῳ κεκληρωμένην ἐπιχειροίη, πῦρ αὐτῷ καὶ μάστιγας ἀπειλητέον. † οὐκοῦν τὸ μετὰ ταῦτα λοιπὸν δὴ θεώρησον, ἔσωθεν τὸν πλάστην περιερχόμενον τὰς ὀπὰς καὶ τὸν εὑρισκόμενον ἐν ἑκάστῃ πηλὸν κατ' ἰδίαν λαμβάνοντα πλάττειν, καὶ μηνῶν περιόδοις ἀποπλάσαντα πά|λιν ἀποδιδόναι τοῖς ἔξω 40 διὰ τῆς αὐτῆς τὸν πλάστην ὀπῆς, ἔχοντα τοιαύτην ἐντολήν, πάντα τὸν δυνάμενον δημιουργηθῆναι πηλὸν ἀδιαφόρως ἐργάζεσθαι, κἂν εἰς ἀλλοτρίαν ὑπό τινος εἰσοχετεύηται κακοτρόπως ὀπήν (οὐδὲν γὰρ ἠδικηκέναι τὴν ὕλην· διὸ ὡς ἀναιτίαν μὲν δὴ χρῆναι πλάττεσθαι καὶ μορφοῦσθαι), τὸν δὲ παρὰ τὸ διάταγμα καὶ τὴν ἐντολὴν εἰς ἀλλοτρίαν αὐτὴν ἀποτιθέμενον ὀπήν, τοῦτον ὡς ἀλάστορά τε καὶ παραβάτην τιμωρεῖσθαι. οὐ γὰρ τὸν πηλὸν αἰτιατέον, ἀλλ' ἐκεῖνον τὸν παρὰ τὸ ὅσιον τοῦτο πεποιηκότα· ἀκρασίας γὰρ χάριν εἰς ἀλλοτρίαν ἀποκομίσας ὀπὴν ἀπέθετο λαθραίως ἢ βίᾳ.

Ἀληθέστατα λέγεις.

18 vgl. De autex. 15, 7

3 *τοῦ πηλοῦ* < P **4** *αὐτὸν* B Jh **5** *δὸς γὰρ* P **8** *τε*] *δὲ* P Jh | *ξυμπονούντων* O **9** (*ἀπονενε*)*μ*(*ημέν*)*ην αὐ*(*τῶ*) unleserl. O | *χρὴ* vor *μόν.* + Cb Jh | *μόνον* P **11** *ἀνοιγνύναι* Jh: *ἀνεωγνύναι* O P (a. Rd., im Text *ἀνεώγνυνται*) **12** *ἀπειλητε ἀπειλητεον καὶ* . . (*γὰρ* + M Al, unleserl. O, < P) O: *ἀπειλητέον* (?). *Καὶ μάλα* (etwa; dann *Οὐκοῦν*) vermutet mit Recht Kl | *τὰ μετὰ* B Jh **13** *δὴ* < P | *ἔσωθεν*] *ἔνδοθεν* Jh | *περιερχό*|*μενον* P 159 **14** *ἐν* < O | *π . λον* O | *ἰδίαν λαμβ*(*άνοντα*) unleserl. O **15** *ἀποπλάσσοντα* P | (*ἀποδ*)*ιδόναι τοῖς* unleserl. O **16** (*ἐν*)*το*(*λὴν*) — *δυνάμενον* Z. 17 unleserl. O **17** *πηλὸν δημιουργηθῆναι* P | *διαφόρως* P (nicht B) | *κἂν* — *ὑπὸ* Z. 18 unleserl. O | *κἂν* M Al (w. e. sch. auch O) Cb Jh: *εἰ καὶ* P **18** *ἀλλότρια* B | *κακοτρόπως ὀχεύηται ὑπό τινος* B | *ὀχεύηται* P **19** *ἠδικηκέναι* — *ὡς* unleserl. O | *διὸ ὡς*] *δοκεῖ τὴν καταβληθεῖσαν* M Al | *ἀναιτίαν*] . . *αυτὴν* O | *δὴ* < O | (*πλάττ*)*εσθαι* unleserl. O **19 f** *καὶ μορφ.* O 42v **21** *τοῦτον* < Cb Jh **22** ob. S. 19, 10 | *ἢ* Kl: *τῇ* O P

V. Οὐκοῦν λοιπὸν δὴ και|ρὸς τούτων ἤδη προδιηνυσμένων ταύ- 41
την σε πᾶσαν προσάπτειν, ὦ σοφωτάτη, τὴν εἰκόνα τοῖς ἤδη ἔμπρο-
σθεν εἰρημένοις, τὸν μὲν οἶκον ἀφομοιοῦσαν τῇ ἀοράτῳ τῆς γενέσεως
ἡμῶν φύσει, τὴν δὲ προσκειμένην εἴσοδον τοῖς ὄρεσι τῇ ἀπὸ τῶν
οὐρανῶν εἰς τὰ σώματα καταβάσει καὶ παραπομπῇ τῶν ψυχῶν, τὰς
δὲ ὀπὰς τῷ θηλυκῷ καὶ γυναικείῳ γένει, τὸν δὲ πλάστην τῇ ποιητικῇ
δυνάμει τοῦ θεοῦ, ἥτις ἐπικαλύμματι τῆς γενέσεως ἡμῶν ὡς ἔφην
τῇ φύσει χρωμένη ἔνδον ἡμᾶς ἀοράτως ἀνθρωποπλαστεῖ, τὰ ἐνδύ-
ματα ταῖς ψυχαῖς ἐργαζομένη. τοὺς δὲ κομίζοντας τὴν ὕλην τοῦ
πηλοῦ τῷ ἀνδρείῳ καὶ ἀρρενικῷ παραβλητέον, ὁπότε διψήσαντες
τέκνων εἰς τοὺς κατὰ φύσιν τῆς θηλείας φερόμενοι πόρους ἐγκατα-
βάλλουσι τὴν σποράν, | ὥσπερ κἀκεῖ τὸν πηλὸν εἰς τὰς ὀπάς. θείας 42
γάρ, ὡς ἔπος εἰπεῖν, μοίρας τῆς δημιουργικῆς τὸ σπέρμα μεταλαμβά-
νον οὐκ αὐτὸ αἴτιον νομιστέον εἶναι τῶν τῆς ἀκολασίας ὑπεκκαυμά-
των. ἡ μὲν γὰρ τέχνη τὴν ὑποκειμένην ὕλην ἀεὶ τεκταίνεται· οὐδὲν
γὰρ αὐτό τι καθ᾽ ἑαυτὸ τῶν πραγμάτων ἡγητέον εἶναι κακόν, ἀλλὰ

1 Plato Pol. VII, 517 A B — **5** Plato Pol. X, 614 D — **6** Symp. II, 4 S. 19, 8 — **8** Plato Gorg. 523 D — **10** Symp. II, 2 S. 16, 14 — **12** Plato Symp. 206 C — **15** Plato Symp. 180 E f — **16** De autex. 15

15—S. 22, 6 SS Parall. S. 198 Holl

1 *δὴ λοιπὸν* P | *καιρὸς* tilgt Jh | *ἤδη* < P | *προηνυσμένων* P **1ff** Pl *ταύτην τοίνυν . . τὴν εἰκόνα, ὦ φίλε Γλ., προσαπτέον ἅπασαν τοῖς ἔμπροσθεν λεγομένοις, τὴν μὲν . ., τὸ δέ* **2** *ὡς σοφωτάτην* P **3** *οἶκον* undeutl. O **4** *δὲ προσκ.* unleserl. O | *προκειμένην* Al **5** Pl *καταβαίνειν ἑτέρας ἐκ τοῦ οὐρανοῦ* | *καὶ* undeutl. O | *ψυχῶν*] in O hier in kleiner Schrift eine Verteidigung des Verfassers gegen Häresie, abgedruckt bei Al 393 **6** *γυναικείῳ καὶ* (*θηλυκῷ* unleserl.) O; *γυν. τε καὶ θηλυκῷ* M Al | *γένει* unleserl. O | *ποιητικὴ* P 159v **7** *τοῦ θεοῦ — (γεν)έσεως* unleserl. O | *ἐπικαλύμματι*] *αἰτία* M Al | *ὡς ἔφην* < B **8** *χρωμένη — ἀοράτως* unleserl. O | *χρωμένης* M Al | *ἔνδον ἡμ. ἀορ.*] *ἐστὶ. αὕτη δὲ ἴσως* M Al | *ἀνθρωπ.* O 43 **8f** *ἐνδ.*] *ἀμφιέσματα* Pl **9** *τοὺς δὲ* unleserl. O **10** *ἀρρ. παραβλ.* unleserl. O | *ἀρρενωπῷ* M Al **11** *κατὰ φ* unleserl. O | (*θηλ*)*είας φερ.* (*πόρ*)*ους* unleserl. O, auch kein Raum für *φερ.*; *φερ.* < M Al | *φερομένους* P **12** (*τ*)*ὰς — θεί*(*ας*) unleserl. O **13** (*σπ*)*έρμα* unleserl. O **14** (*ἀ*)*κολασίας* unleserl. O **15** (*ἄ*)*ει* (*τε*)*κταί-ν*(*εται*) unleserl. O | *οὐδὲν — δημιουργὸν* S. 22, 6 in C (C 234r f. u. R 222r). Lemma *τοῦ ἁγίου Μεθοδίου ἐκ τοῦ περὶ συμποσίων* **15ff** Pl *πᾶσα γὰρ πρᾶξις . . αὐτὴ ἐφ᾽ ἑαυτῆς πραττομένη οὔτε καλὴ οὔτε αἰσχρά, . . ἀλλ᾽ ἐν τῇ πράξει . . τοιοῦτον ἀπέβη· καλῶς μὲν γὰρ πραττόμενον καὶ ὀρθῶς καλὸν γίγνεται, μὴ ὀρθῶς δὲ αἰσχρόν* **15** *οὐδὲ* P **16** *γὰρ αὐτό τι* < C | *πραγμ.*] *πραττομένων* C | (*ἡγητ*)*έον* unleserl. O

παρὰ τὴν πρᾶξιν τῶν χρωμένων τοιοῦτο γίνεσθαι. κοσμίως μὲν γὰρ πραττόμενον καὶ σωφρόνως κόσμιον ἀπέβη, αἰσχρῶς δὲ καὶ ἀσχημόνως αἰσχρόν. τί γὰρ ἠδίκησε σίδηρος γεωργικῆς χάριν καὶ τεχνῶν εὑρεθεὶς τοὺς εἰς ἀλληλοφόνους θήξαντας αὐτὸν μάχας; τί δὲ χρυσὸς ἢ ἄργυρος ἢ χαλκὸς καὶ συλλήβδην ἡ εὐέργαστος | πᾶσα γῆ τοὺς 43 πλημμελοῦντας ἀχαρίστως εἰς τὸν σφέτερον δημιουργὸν ἐν τῷ προστρέπεσθαι τὰ ἀπ᾿ αὐτῶν ποικιλλόμενα βρέτη; κἂν γὰρ ἀπὸ κλεψιμαίων τῇ ὑφαντικῇ παρέχοιτό τις ἔρια τέχνῃ, πρὸς ἓν μόνον ἀποβλέπουσα τοῦτο ἡ τέχνη δημιουργεῖ τὴν ὑποκειμένην ὕλην, εἰ δέξεται τὴν κατασκευήν, οὐδὲν ἀποβαλλομένη τῶν ἑαυτῇ χρησίμων, ἐπεὶ μηδὲ αἴτιόν ἐστιν ἐνταῦθα τὸ κλαπέν, ἄψυχον ὄν. διὸ δὴ αὐτὸ μὲν ἐργαστέον καὶ κοσμητέον, τὸν δὲ ὑφελόμενον ἀδίκῳ φωρᾷ τιμωρητέον. ἀτὰρ δὴ καὶ τοὺς δηλήμονας τῶν γάμων καὶ διαρρήκτας τῆς εὐαρμοστίας τοῦ βίου, τῶν χορδῶν φλεγμαίνοντας οἴστρῳ καὶ τὴν ὄρεξιν εἰς | μοιχείαν ἐκκαλουμένους, αὐτοὺς μὲν βασανιστέον καὶ τιμωρητέον· 44 ἀπ᾿ ἀλλοτρίων γὰρ κήπων τὰς παιδογόνους λυμαίνονται κλέπτοντες συμπλοκάς· τὴν δὲ σποράν, ὥσπερ δὴ κἀκεῖ τὰ ἔρια, μορφωτέον καὶ ἐμψυχωτέον.

VI. *Καὶ τί χρὴ παραδείγμασι τοσούτοις καταχρωμένην μηκύνειν*

19 Plato Polit. 277 D. Menex. 244 D

13 f Theophan. Ker. hom. 45, PGr 133, 841 B — **19—S. 24, 1** SS. Parall. S. 199 f Holl

1 (τοιο)ῦτο (γ)ί(νεσθαι) unleserl. O | τοιοῦτο C (τοιοῦτον Cr): τοιῶσδε P: τοιουτῶδες M Al Jh | μὲν] οὖν Cr | γὰρ < C **2** πλαττόμενον O | ἀπ . βη O | αἰσ(χρῶς) undeutl. O **3** ἠδίκησεν Cc | (γεωρ)γικῆς χάριν undeutl. O | γεωργῶν Al: γεοργικῆς B **4** αὐτὸν θήξαντες B Al (αὐτ. θήξ. αὐτόν M, ab. Punkte u. d. l. αὐτ.) | χρ(υσὸς) unleserl. O **5** ἅπασα P Jh **6** σφετέρων Cr | δημιουργὸν] es endet C **6 f** προτρέπεσθαι O P, παρατρέπεσθαι Cb **7** πηλικωμένα P | βρέφη P | **8** nach ἔρια Rasur in P **9** . ημιουργεῖ O **10** μηδὲν Jh **11** α . τιόν O **12** κοσμη(τέον) unleserl. O | φορᾶ P **13** τ. δηλήμ. — βίου Z. 14] οἱ γάμων ἀλλοτρίων δηλήμονες κ. διαρρῆκται τῆς ἁρμοστίας τοῦ βίου Theophan. | δηλήμονας undeutl. O | τῶν < O | γά(μων) unleserl. O: νόμων M Al **14** τ. β., τ. χορδῶν φλ. Interpunktion Wd's | φλεγμα . . οντας O | οἴστρω undeutlich O **15** κ. (τιμωρ)ητέο(ν) undeutl. O **16** λυμαίνοντας B | κλ(έπτο)ντες unleserl. O **17** κἀκεῖ] καὶ P | ορ u. καὶ unleserl. O **18** ψυχωτέον P, ψυχοτέον B **19** Καὶ — ἰδέας S. 23, 13 in C nach K (Vat. 1553) 24v f, bzw. O A Lc, Lemma in K τοῦ ἁγίου Μεθοδίου ἐκ τῶν περὶ ἁγνείας συμποσίων; in O A Lc τοῦ ἁγίου Μεθοδίου περὶ ἀναστάσεως, π. ἀν. tatsächl. zum Folgenden gehörend | χρὴ] δεῖ Al Jh | καταχρώμενον C: κεχρημένην Cb | μηκύνειν — ἂν S. 23, 1 unleserl. O

τὸν λόγον; οὐδὲ γὰρ ἂν οὕτως ἐν ὀλίγῳ χρόνῳ τοσοῦτον ἄνευ θείας
κομιδῆς ἔργον ἐξήνυσε φύσις. τίς γὰρ ὀστέων ἔπηξεν ἄπηκτον οὐσίαν;
τίς δὲ ξυνέδησεν ἐπιτείνεσθαι νεύροις καὶ ἀνίεσθαι περὶ τὰς ἁρμογὰς
καμπτόμενα τὰ μέλη; ἢ τίς θεὸς ἐξύμωσε χυμὸν δεύσας αἵματι καὶ
μαλθακὴν ἐκ χοὸς σάρκα ἢ μόνος ὁ ἀριστοτέχνας, τὴν λογικωτάτην
εἰκόνα καὶ ἔμψυχον | τὸν ἄνθρωπον, ἡμᾶς, ἑαυτοῦ τεκταινόμενος καὶ 45
κηροπλαστῶν ἐξ ὑγρῶν καὶ βραχυτάτων σπερμάτων ἐν μήτρᾳ; τίς
γάρ ἐστιν ὁ προμηθούμενος μὴ συμπνίγεσθαι τῷ ὑγρῷ καὶ τῇ συνοχῇ
τῶν ἀγγείων ἐπικλυζόμενον ἔσω τὸ ἔμβρυον; ἢ τίς ὁ μετὰ τὸ λοχευ-
θῆναι καὶ εἰς φῶς ἀνελθεῖν εἰς μέγεθος καὶ κάλλος καὶ ῥώμην ἐξ
ἀσθενοῦς καὶ βραχέος μεταβάλλων, εἰ μὴ αὐτὸς οὗτος ὁ ἀριστοτέχνας,
ὡς ἔφην, θεός, τῇ ποιητικῇ δυνάμει τῷ Χριστῷ μετασχηματίζων καὶ
μεταζωγραφῶν τὰς ἰδέας; ὅθεν δὴ καὶ τημελούχοις ἀγγέλοις, κἂν ἐκ
μοιχείας ὦσι, τὰ ἀποτικτόμενα παραδίδοσθαι παρειλήφαμεν ἐν θεο-
πνεύστοις γράμμασιν. εἰ γὰρ παρὰ τὴν γνώμην ἐγίνοντο καὶ τὸν
θεσμὸν τῆς μακαρίας ἐκείνης φύσεως τοῦ θεοῦ, πῶς | ἀγγέλοις ταῦτα 46

1 De res. II, 20, 6 — **13** Apok. Petri in Klem. Al. Eklog. 48

1 *οὐ γὰρ* C | *τοσοῦτον* < C | *ἄνευ θείας*] *εὐθείας* P (in V *ἀν* übergeschr.) B: *ἔξω θείας* Po Cb Jh **2** *κομηδῆς* C | *ἔργον ἐξ.* (*φύ*)*σις* unleserl. O | *ἐξέ-νυσεν* C | *ἔπηξεν ἄπηκτον* PB: *ἄπηκτον ἔπηξεν* O: *ἐξῆπτεν ἄτηκτον* C: *ἄτηκτον ἔπηξεν* Jh | **3** *δὲ* < P | *συνέδησεν* C | *ἐπιτ.—ἀνίεσθαι* unleserl. O | *νεύ-ροις ἐπιτ.* M Al Jh | *ἀνίεσθαι*] *ζευγνυνύεσθαι* M (2. Hd.) Al **4** (*καμπ*)*τόμενα* — *αἵματι* unleserl. O | *ἢ τίς — σάρκα* Z. 5] *τίς δ' ὑπονόμους κατεσκεύασε τῷ αἵματι καὶ μαλακὴν ἀρτηρίαν τῷ πνεύματι* M (ab. *τίς δ' — τῷ* u. *ἀρτ. τ. πνεύμ.* v. 2. Hd.) Al: vor *ἢ τίς — σάρκα* schalten dies ein Cb Jh | *ἢ* < C | *θεὸς*] *ὃς* C: *ἄλλος* Cb | *ἐξύμωσεν* C | *ἔχυμον* C: *χυμοὺς* Jh | *αἵμ. δεύσας* C **5** *μα-λακην* O: *μαλθ. ἡμῖν* C | *ἐ*(*κ χ*)*οὸς σάρκα* unleserl. O | *ἢ μόνος* O 43 | *ἢ* < C | *ὁ ἀρι*(*στοτ*)*έχνας* unleserl. O | *ἀριστο|τέχνας* P 160v: *ἀριστοτέχνης* Al Jh **5f** *λογ. εἰκόνα καὶ* unleserl. O **5** *λογικοτάτην* B **6** *ἑαυτῷ* P **8** *τὸ ὑγρὸν* B **8f** *καὶ τῇ συνοχ*(*ῇ τῶν ἀ*)*γγείων ἐ* unleserl. O **8** *καὶ*] *ἐν* M Al Jh | *συνοχεῖ* M **9** *ὁ μετὰ τὸ λοχευ* unleserl. O | *ὁ* + C M Al Jh **10** *ῥώμην ἐ* unleserl. O **11** *ἀριστοτέχνης* Al Jh: unleserl. O **12** *τῷ χρηστῷ* C, *τοῦ χριστοῦ* P | *καὶ* unleserl. O **13** *ζωγραφῶν* M Al (nicht O) | *ἰδέας*] es endet C; ab. sofort wieder bis *ῥαστώνης* S. 24, 1 Holl S. 199f aus C Bl. 63r (Cc) und R Bl. 61v (Cr). Lemma in Cc *τοῦ ἁγίου Μεθοδίου ἐκ τοῦ*(?) *περὶ ἁγνείας συμποσίων*, in Cr *Μεθοδίου ἐκ τοῦ περὶ ἁγνείας συμποσίου* | *ἀ . . ἐλοις* O | *κἂν — ἀποτικτ.* Z. 14 < C **14** (*παρειλήφ*)*αμεν* unleserl. O **15** *ἐγένοντο* O, *ἐγίνετο* C (*ἐγένετο* Cr) **16** (*θ*)*εσμὸν* unleserl. O

παρεδίδοτο τραφησόμενα μετὰ πολλῆς ἀναπαύσεως καὶ ῥᾳστώνης; πῶς δὲ καὶ κατηγορήσοντα σφῶν αὐτῶν τοὺς γονεῖς εὐπαρρησιάστως εἰς τὸ δικαστήριον ἐκίκλησκον τοῦ Χριστοῦ, »σὺ οὐκ ἐφθόνησας ἡμῖν, ὦ κύριε, τὸ κοινόν« λέγοντα »τοῦτο φῶς· οὗτοι δὲ εἰς θάνατον ἡμᾶς ἐξέθεντο, καταφρονήσαντες τῆς σῆς ἐντολῆς;« »ἐκ« γάρ »ἀνόμων« φησίν »ὕπνων τέκνα γεννώμενα μάρτυρές εἰσι πονηρίας κατὰ γονέων ἐν ἐξετασμῷ«.

VII. *Καὶ τάχα μὲν οὖν δὴ χώραν ἕξει πιθανολογῶν τις ἐν οὐ κριτικοῖς καὶ φρονίμοις ἀνδράσι, τὸν χιτῶνα τῆς ψυχῆς τὸν σάρκινον τοῦτον ὑπὸ ἀνθρώπων φυτευόμενον αὐτοματὶ μορφοῦσθαι παρὰ τὴν ἀπόφασιν τοῦ θεοῦ· οὐ μὴν ἤδη καὶ τῆς ψυχῆς τὴν | οὐσίαν μετὰ τοῦ 47
θνητοῦ σπείρεσθαι διδάσκων πιστευθήσεται σώματος. τὸ γὰρ ἀθάνατον καὶ ἀγήρων μόνος ὁ παντοκράτωρ ἐμφυσᾷ, ᾗ καὶ μόνος τῶν ἀοράτων ἐστὶ καὶ ἀνωλέθρων ποιητής. »ἐνεφύσησε« γάρ »εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς, καὶ ἐγένετο« φησίν »ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν.« ἀμέλει τοὺς χειροτέχνας τούτους αἰτιώμενος ὁ λόγος, ἐπὶ λύμῃ τῶν ἀνθρώπων τὰ ἀνδροείκελα κατασκευάζοντας ἀγάλματα, οὐκ αἰσθανομένους τὸν ἴδιον ποιητήν, ἐν τῇ παναρέτῳ Σοφίᾳ φησί· »σποδὸς ἡ καρδία αὐτῶν, καὶ γῆς εὐτελεστέρα ἡ ἐλπὶς αὐτῶν, πηλοῦ τε ἀτιμότερος ὁ βίος αὐτῶν, ὅτι ἠγνόησαν | τὸν πλάσαντα αὐτοὺς 48
καὶ τὸν ἐμπνεύσαντα αὐτοῖς ψυχὴν ἐνεργοῦσαν καὶ ἐμφυσήσαντα αὐτοῖς πνεῦμα ζωτικόν.« οὕτως ἐστὶ πάντων ἀνθρώπων ποιητὴς ὁ θεός.

5 Weish. Sal. 4, 6 — 14 Gen. 2, 7 — 19 Weish. Sal. 15, 10. 11

1 *παραδίδοται* C: (*παρεδίδο*)*το* unleserl. O, *παρεδίδος* M Al | *ῥαστ.*] es endet C 2 *πῶς*] *ὡς* mit Rasur vor *ω* P | *δὲ* < P | *κατηγορήσοντας* P (ς üb. Rasur in P) 3 *ἐκίκλησκον* < P 4 *ἡμᾶς εἰς θάν.* P 5 *τῆς* < BV (wohl auch P) 7 nach *ἐξ.* + *πιθανῶν λόγων* O Jh: + *αὐτῶν* LXX 8 *δὴ* < B | *χώραν* P 161 | *πιθανολόγων* P, *πειθανῶν λόγων* B 8f *οὐκ ἐν κριτικ.* Al; im Text auch M, ab. corr. a. Rd. 10 *ὑπ'* B | (*μορφ*)*οῦσθαι* unleserl. O 11 *ἤδη* < P | *ἀθάνατον* vor *οὐσίαν* + Jh 12 *θνητοῦ*] *ἐνθανάτου* P | *σπείρασθαι* P (nicht B) 13 *ἀγήρω* O | *ᾗ*] *ἡμῖν* P | *τῶν* unleserl. O 14 (*ἀορά*)*των* unleserl. O 14f *εἰς τὸ πρόσωπον* unleserl. O 15 *πνοὴν* unleserl. O 15f (*ψυχ*)*ὴν ζῶ*(*σαν*) unleserl. O 16 (*χειρο*)*τέχνας* unleserl. O | *αἰτιώμενοι* B | *ὁ λόγος* < P 17 *τῶν* — *ἀνδροεί*(*κελα*) undeutl. O 18 (*αἰσθ*)*αν.* — *τῇ* unleserl. O | *αἰσθόμενα* P: *δὲ* + M Al Jh 19 *σποδὸς ἡ* — *ἡ* (außer *γῆς εὐ*) unleserl. O | (*πηλ*)*οῦ* — *ἠγνόησαν* Z. 20 unleserl. O | *πῆλον εὐτελέστερον* (*εὐτελεστέρα* M) *ἡ ζωὴ αὐτῶν* M Al 20 *ὅτι*] *ἔτι* M | *πλάσαντα*] *ποιήσαντα* P | *καὶ τὸν* M Al | *τὸν* O 44 21 *ἐμφυτεύσαντα* P | *αὐτοῖς* < O 22 *οὕτως* corrig. aus *οὗτος* (so Jh) od. umgek. O, *οὕτω* B | *ἐστὶ* < P | *ὁ θεός ἐστι ποιητὴς* P

διὸ καὶ »πάντας ἀνθρώπους« κατὰ τὸν ἀπόστολον »σῴζεσθαι βούλεται καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν«. — καὶ ἐπειδὴ τοῦτο μόλις ἔσχε τέλος, λοιπὸν δὴ τὰ μετὰ ταῦτα λεκτέον. ὁπόταν γάρ τις τὴν θεωρίαν τῶν κατὰ τὸν ἄνθρωπον συμβαινόντων κατὰ φύσιν ἀκριβῶς ἐκμάθῃ, εἴσεται μὴ βδελύσσεσθαι παιδοποιίαν, ἐπαινεῖν δὲ καὶ προτιμᾶν ἁγνείαν. οὐδὲ γάρ, ἐπειδὴ τῶν ἄλλων ἐστὶν ἡδύτερον καὶ προσηνέστερον τὸ μέλι, τὰ λοιπὰ δὴ ταύτῃ προσῆκε νομίζεσθαι πικρά, ὁπόσα δὴ τῇ ἐμ|φύτῳ γλυκασίᾳ κεκέρασται τῶν ἀκροδρύων. καὶ 49
τούτων μὲν ἐχέγγυον μάρτυρα παρέξομαι τὸν Παῦλον »ὥστε καὶ ὁ γαμίζων« λέγοντα »τὴν ἑαυτοῦ παρθένον καλῶς ποιεῖ, καὶ ὁ μὴ γαμίζων κρεῖσσον ποιεῖ«. οὐ γὰρ δὴ τῇ τοῦ κρείττονος καὶ γλυκυτέρου παραθέσει τὸ ἕτερον ἀνεῖλεν ἀπαγορεύσας ὁ λόγος, ἀλλ' ἑκάστῳ τὸ οἰκεῖον καὶ λυσιτελὲς ἀπονέμων διαθεσμοθετεῖ. τοῖς μὲν γὰρ οὐδέπω συνεχώρησε παρθενίας τυχεῖν, τοὺς δὲ καὶ οὐκέτι βούλεται χραίνεσθαι φοινισσομένους ἐρεθισμοῖς, ἀλλὰ μελετᾶν ἀπεντεῦθεν ἤδη καὶ φαντάζεσθαι τὴν ἰσάγγελον μεταστοιχείωσιν τῶν σωμάτων, ἔνθα »οὔτε γαμοῦσιν οὔτε γαμίσκονται«, κατὰ τοὺς ἀψευδεῖς τοῦ κυρίου | χρησμούς· ἐπεὶ μηδὲ πᾶσιν ὁ ἀμόλυντος καὶ παρεκτικὸς τῆς 50
βασιλείας τῶν οὐρανῶν εὐνουχισμὸς ἐμπιστεύεται, ἀλλὰ μόνοις ἐκείνοις δηλονότι τοῖς καὶ δυναμένοις τὸ ἀειθαλὲς ἄνθος καὶ ἄχραντον τῆς παρθενίας τηρῆσαι. ἀνθηροτάτῳ γὰρ ἀπεικάζεσθαι καὶ ποικιλωτάτῳ λειμῶνι λόγος ἔχει προφητικὸς τὴν ἐκκλησίαν, οὐ μόνον τοῖς

1 I Tim. 2, 4 — **2** Symp. S. 33, 19. 42, 3 u. 182 Al — **8** Symp. 2, 3. 3, 5 — **9** I Kor. 7, 38 — **16** Mt. 22, 30 — **19** Mt. 19, 11f

6f Phot. Bibl. 237 S. 308a, 19f

2 *ἐπίγνωσιν* undeutl. O **3** *τέλος ἔσχεν* (*ἔσχε* B) P **4** *τῶν*] *αὐτῶν*, mit Punkt unt. *α*? O | *τὸν* < P | *ἄνθρωπον σν* unleserl. O | *κατὰ φύσιν*?: < O | *κατὰ* P 161v **5** *βδελ. μὲν* P | (*π*)*αιδο*(*ποιίαν*) unleserl. O **6** *ἐπειδὴ — πικρά* Z. 7 Ph S. 308a, 1ff | *ἡδύτερόν ἐστιν* Jh **6f** *γλυκύτερον τὸ μέλι καὶ ἡδύτερον* Ph **7** *δὴ — πικρά*] *πικρὰ καὶ ἀνήδονα νομιστέον* Ph | *προσήκει* Jh | *νομ. προσῆκε* B **8** *τῆς ἐμφυτοῖς γλυκασίας* P, *τοῖς ἐν φυτοῖς γλυκασίας* B | *ἀ*(*κροδ.*) unleserl. O **9** *ἐχ.*] *βέβαιον* + P **10** *λέγοντα* < P | *παρθένον ἑαυτοῦ* O **11** *δὴ* < O | *τῇ* < P **13** *ἀπονέμειν* B Jh **14** *συνεχώρηκε* O | *καὶ* < B Jh **16** *. σάγγελον* O **17** *κατὰ* unleserl. O **18** *ἐπὶ* B | *μὴ πᾶσιν* P | *ὁ* < O | *ἀμόλυντος* O: *ὁμαλὸς* viell. richtig P **19** *βασιλείας* wohl auch O **19f** *. κείνοις* O **20** *ἄνθος* < P **20f** (*ἄχραντο*)*ν τῆς* unleserl. O **21** *παρ . . νίας* O **21f** *καὶ ποικιλ. λειμῶνι ἀπεικάζεσθαι* B **22** *λόγ. ἔχει* unleserl. O | *προφ.* P 162 **22f** *τοῖς τῆς* < P

τῆς ἁγνείας πεποικιλμένην καὶ κατεστεμμένην ἄνθεσιν, ἀλλὰ καὶ τοῖς τῆς τεκνογονίας καὶ τοῖς τῆς ἐγκρατείας. »ἐν κροσσωτοῖς« γάρ »χρυσοῖς πεποικιλμένη« »ἐκ δεξιῶν ἡ βασίλισσα« παρίσταται τοῦ νυμφίου.

Ταῦτά σοι κατὰ δύναμιν κἀγὼ τὴν ἐμαυτῆς, ὦ Ἀρετή, εἰς τὸν ὑπὲρ τῆς ἁγνείας συμβάλλομαι λόγον.

Εἰπούσης δὲ ταῦτα τῆς Θεοφίλας θόρυβον | ἡδὺν ἐκ πασῶν ἡ 51
Θεοπάτρα ἔφη γεγονέναι τῶν παρθένων ἐπαινουσῶν τὸν λόγον. ὡς δὲ ἡσύχασαν, σιωπῆς ἐπὶ πολὺ γεγενημένης ἀναστῆναι τὴν Θάλειαν· ταύτῃ γὰρ ἐκ τρίτου ἐπετέτραπτο μετὰ τὴν Θεοφίλαν ἀγωνίζεσθαι.

Λόγος γ'.

Θάλεια.

I. Ὑπολαβοῦσα οὖν ἐντεῦθεν, ὡς οἶμαι, ἤδη καὶ αὐτή, Σύ μοι δοκεῖς, ὦ Θεοφίλα, ἔφη, καὶ τῇ πράξει καὶ τῷ λόγῳ πασῶν κρατιστεύειν καὶ σοφίας τὰ δεύτερα φέρεσθαι οὐδενός. οὐ γὰρ ἔστιν ὅστις αἰτιάσεται σου τὸν λόγον, οὐδ' εἰ παντάπασι φιλόνεικος εἴη καὶ ἀντιλογικός. πλὴν ἐκεῖνό με μόνον τῶν ἄλλων ὀρθῶς εἰρημένων, ὦ

2 Psal. 44, 14. 10 — 4 Plato Symp. 185 C — 6 Plato Symp. 198 A — 12 Plato Symp. 176 D — 15 Plato Gorg. 515 B

1 ἀποποικιλμένην P (nicht B) | (κα)ὶ κατεστε(μμένην unleserl. O: < P 2 τῆς vor τεκν. < O | τεκνογονείας B 2 f (κροσσωτ)οῖς γὰρ χρυσο(ῖς) πεπο(ικιλ)μένη ἐκ unleserl. O 2 γὰρ] καὶ M Al 3 πεποικιλμένοις P: πεποικιλμένην B | ἐκ] ἀπὸ M Al Jh 4 f Pl ταῦτά σοι, . . ὦ Φ., . . συμβάλλομαι 4 Ταῦτα . . κατὰ unleserl. O | τὴν] τὸν P | εἰς τὸν < B 5 περὶ Jh | ἁγνείας (συμβάλλο)μαι unleserl. O | ἁγνείας Kl: ἀληθείας P M Ausgg. | συμβαλλομένον M 6 Pl εἰπόντος δὲ τοῦ Ἀγ. πάντας ἔφη . . ἀναθορυβῆσαι τοὺς παρόντας | (Εἰ)πούσης δὲ ταῦτα unleserl. O | θεοφίλης O | θόρυβον — ἐπαινουσῶν Z. 7 unleserl. O | ἡδὺν] γένεσθαι M (2. Hd.) Al Jh 7 ἔφη — παρθένων] ἐκ πασῶν, ἔφη ἡ Θεοπάτρα τῶν παρθένων συμβέβηκε M Al: ἔφη ἡ Θ. ἐκ πασῶν τ. παρθένων Jh | ἐπαιν.] παραπεμπουσῶν M Al Jh | ὡς O 44v 8 ἡσυχάσασαν O, ἡσύχασεν B | γενομένης P Jh 9 τριῶν O: τρίτων Pl Gorg. 500 A 10 f Θαλεία. Λόγος Γος P nach αὐτή; in O eine Lücke nach αὐτή 12 Pl φάναι ὑπολαβόντα Φ. | . πολαβοῦσα O | ἤδη a. Rd. in B, im Text Zeichen des Fehlens | Σύ μοι] Ἐμοὶ P, E in Rasur in P 13 ἔφη < B 15 αἰτιάσαιτό O | Pl φιλόνεικος εἶ 15 f (ἀντιλο)γικός unleserl. O | ἀντιλεκτικὸς M Al: Pl Theaet. 197 A εἰ . . ἦ ἀντιλογικός 16 f με . . ταρ. τε κ. ἀνιᾶν] vgl. Pl Phaed. 103 C. Gorg. 485 B

μακαρία, δοκεῖ ταράττειν τε καὶ ἀνιᾶν, ἀναλογιζομένην ὡς | οὐκ ἂν 52
ὁ πνευματικώτατος καὶ σοφὸς ἀνήρ, τὸν Παῦλον λέγω, ματαίως ἀνέφερεν »εἰς Χριστὸν καὶ τὴν ἐκκλησίαν« τὴν σύνερξιν τοῦ πρωτοπλάστου καὶ τῆς γυναικός, εἰ μηδὲν ὑψηλότερον ἐφαντάζετο τῶν ῥητῶν καὶ τῆς ἱστορίας ἡ γραφή. εἰ γὰρ ὅλως εἰς τὸν περὶ συνελεύσεως ἀνδρός τε καὶ γυναικὸς δεῖ παραλαμβάνεσθαι τύπον ψιλῶς τὴν γραφήν, τίνος δὴ χάριν ὁ ἀπόστολος τούτων ἐπιμνησθεὶς καὶ εἰς τὴν τοῦ πνεύματος ἡμᾶς, ὡς οἶμαι, χειραγωγῶν ὁδόν, »εἰς Χριστὸν καὶ τὴν ἐκκλησίαν« ἀναφέρων ἀλληγορεῖ τὰ κατὰ τὴν Εὔαν καὶ τὸν Ἀδάμ; ἡ μὲν γὰρ λέξις τῆς Γενέσεως οὕτω φησί· »καὶ εἶπεν ὁ Ἀδάμ·
τοῦτο | νῦν ὀστοῦν ἐκ τῶν ὀστέων μου καὶ σὰρξ ἐκ τῆς σαρκός μου· 53
αὕτη κληθήσεται γυνή, ὅτι ἐκ τοῦ ἀνδρὸς αὐτῆς ἐλήφθη. ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα καὶ προσκολληθήσεται τῇ γυναικὶ αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν«. ὁ δὲ ἀπόστολος εἰς αὐτὴν δὴ ταύτην ἐπισκεπτόμενος τὴν περικοπὴν οὐκέτι κατὰ τὸ κείμενον αὐτήν, ὡς ἔφην, αἰσθητῶς ἐπὶ συνέρξεως βούλεται παραλαμβάνεσθαι γυναικός τε καὶ ἀνδρός, ὥσπερ δὴ καὶ σύ. σὺ γὰρ φυσικώτερον ἐπεργαζομένη τὸν λόγον συλ-

3 Ephes. 5, 32 — **10** Gen. 2, 23. 24 — **16** vgl. S. 18, 16

8 Phot. Bibl. 237 S. 308a, 37ff

3 *σύνερξιν* PJh wie Z. 17, vgl. Pl Tim. 18 D *εἰς τὴν τῶν γάμων σύνερξιν*: *σύζευξιν* O **4** *μὴ δὲ* B | (*ὑψηλ*)*ότερον* unleserl. O **5** *εἰ* P 162v **6** *τύπον* Al: *τόπον* OP **8** *ὡς* + O | *εἰς Χρ.* — *εἰς τ. ἐκκλησίαν* S. 28, 11f auszugsw. bei Ph *ὅτι τὰ ἐν τῇ Γενέσει φερόμενα, οἷον τὸ »τοῦτο οὖν ὀστοῦν ἐκ τῶν ὀστῶν μου καὶ σὰρξ ἐκ τῶν σαρκῶν μου· αὕτη κληθήσεται γυνή, ὅτι ἐκ τοῦ ἀνδρὸς αὐτῆς ἐλήφθη· ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα καὶ προσκολληθήσεται τῇ γυναικὶ αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν«, ταῦτα οὖν οὐ κατὰ τὸ γράμμα φησὶ δεῖν μόνον νοεῖσθαι, ἀλλὰ καὶ πνευματικῶς εἰς Χριστὸν καὶ εἰς τὴν ἐκκλησίαν. καί φησιν ὅτι καὶ ὁ θεῖος Παῦλος μετὰ τὴν τῶν ῥητῶν τούτων ἔκθεσιν λέγει, »τὸ μυστήριον τοῦτο μέγα ἐστί, λέγω δὲ ἐγὼ εἰς Χριστὸν καὶ εἰς τὴν ἐκκλησίαν«. ἀλλὰ καὶ τὸ »αὐξάνεσθε* usw. (s. u. zu S. 38, 15) **9** *τὴν ἐκκλ.*] *εἰς ἐκκλ.* Jh | (*ἀνα*)*φέρων* undeutl. O **10** *οὕτως φησίν* P **11** *νῦν*] *οὖν* Ph s. o. | *ὀστῶν* OB **12** (*αὐ*)*τῆς* unleserl. O (undeutl. M) **13** *αὐτοῦ . . αὐτοῦ* Ph Jh **14** *αὐτοῦ* nach *μητέρα* + P: < O Ph LXX | *γυν. αὐτοῦ*] *ἰδίᾳ* O **15** *ὁ δὲ* ausgelöscht O **16** *κατὰ τὸ* ausgelöscht O **17** *γυν. τε καὶ ἀνδρός* < P **18** *ἐπεξεργαζομένη* M Al Jh, vgl. S. 29, 5; (*ἐπεξ*)*εργα* unleserl. O

λήψεων πέρι καὶ τοκετῶν ἔδωκας ἀποφαίνεσθαι μόνον τὴν γραφήν·
ἵνα γὰρ τὸ ἀπὸ τῶν ὀστέων ὀστοῦν ἄνθρωπος ἕτερος ληφθὲν γεν-
νηθῇ, ταύτῃ συνεῖναι τὰ ζῷα σπαργῶντα καὶ ὠδίνοντα δένδρων δίκην
ἐν | ὥρᾳ τοῦ κυεῖν. ἐκεῖνος δὲ πνευματικώτερον εἰς τὸν Χριστὸν 54
ἀναλαμβάνεσθαι τὸν λόγον διδάσκων οὕτως ἔφη· »ὁ ἀγαπῶν τὴν
ἑαυτοῦ γυναῖκα ἑαυτὸν ἀγαπᾷ. οὐδεὶς γάρ ποτε τὴν ἑαυτοῦ σάρκα
ἐμίσησεν, ἀλλ' ἐκτρέφει καὶ θάλπει αὐτήν, καθὼς καὶ ὁ Χριστὸς τὴν
ἐκκλησίαν, ὅτι μέλη ἐσμὲν τοῦ σώματος αὐτοῦ. ἀντὶ τούτου κατα-
λείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα καὶ προσκολλη-
θήσεται τῇ γυναικὶ αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν. τὸ
μυστήριον τοῦτο μέγα ἐστίν· ἐγὼ δὲ λέγω εἰς Χριστὸν καὶ τὴν ἐκ-
κλησίαν.«

II. Μὴ κινείτω δέ σε, εἰ περὶ ἑτέρων διαλεγόμενος εἰς ἕτερα
μεταπηδᾷ, ὥστε νομίζειν ἀναμιγνύναι καὶ παρεμβάλλειν αὐτὸν ἀνό-
μοια τοῖς προκειμένοις, παρεκβαίνοντα τοῦ σκέμματος, ὥσπερ δὴ καὶ 55
νῦν. τὸν περὶ τῆς ἁγνείας γὰρ ἐθελήσας, ὡς εἰκός, μεμελημένως
αὐτῷ κρατυνθῆναι λόγον, προδιορθοῦται πρότερον τὴν ἐπιχείρησιν,
τῷ λειοτέρῳ τῆς φράσεως ἀρχόμενος τύπῳ. ὁ γάρ τοι χαρακτὴρ
αὐτῷ τῶν λόγων, ποικιλώτατος ὢν καὶ κατὰ παραύξησιν ἐξειργα-
σμένος, ἄρχεται μὲν ἐπιπολαιότερον, προχεῖται δὲ εἰς τὸ ὑψηλότερον
καὶ μεγαλοπρεπές· εἶτ' αὖθις εἰς βαθύτητα μεταβάλλων ὁτὲ μὲν εἰς
τὸ ἁπλούστερον καὶ ἀφελές, ὁτὲ δὲ εἰς τὸ δεινότερον καταλήγει καὶ
λεπτόν, οὐδὲν ἀλλότριον ἐπεισάγων τῶν κεφαλαίων ταῖς ἐξαλλαγαῖς,
ἀλλὰ πάντα κατά τινα θαυ|μαστὴν οἰκειότητα συμπεριγράφων εἰς ἓν 56

3 Plato Symp. 206 D — **5** Ephes. 5, 28—32

1 *τόκων* P (wie S. 18, 16) | *ἔδωκας* undeutl. O | *μόνον ἀποφ.* P Jh | *ἀποφ(αίνεσθαι)* unleserl. O **2** *ἀνθρώπου* M Al: undeutl. O | *ἕτερος (ληφ)θὲν* unleserl. O **3** Pl *τῷ κυοῦντί τε κ. ἤδη σπαργῶντι* | *σπάργοντα* P | *καὶ ὠδίνοντα* undeutl. O: < Al Jh | *δέ(νδρων)* unleserl. O: *δρῶν* P: *δρυῶν* Cb | Pl Tim. 91 C *οἷον ἀπὸ δένδρων* **4** *ἐν ὥ(ρᾳ)* unleserl. O | *κυεῖν*] *ποιεῖν* P | *δὲ* unleserl. O | *τὸν* + P **5** *(ἀνα)λαμβάν.* unleserl. O: *ἀναπέμψας* M Al Jh | *διδάσκων* < P **6** *ἑα(υτοῦ)* — *ἀγαπᾷ* unleserl. O | *γυναῖκα* P 163 | *οὐδεὶς* O 45 **7** *αὐτήν* + O **9** *τ. πατ. κ. τ. μητέρα αὐτοῦ* P **10** *τῇ* < O | *αὐτοῦ* < O **11f** *εἰς τὴν ἐκκλ.* B Jh **13** *Μὴ*] st. *M* leerer Raum in P **14** *ἀπεπήδα* P | *(ἀναμιγν)ύναι* unleserl. O **14f** *ἑαυτὸν ἀνόμοιον* P **16** *τὸν* < P | *μεμελημένως ἔχει* Pl nur Prot. 344 B; vgl. unt. S. 80, 13; über den Gebrauch dieser Adv. bei Meth. vgl. Jahn Meth. platon. Nota 136 **18** *τῷ* < O **19f** *ἐξεργασάμενος* P **23** *κεφαλαίων* undeutl. O **24** *συμπερι|γράφων* P 163v

τὸ προκείμενον αὐτῷ σκέμμα τῆς ὑποθέσεως ἀπεργάζεται. ἀνδρειότερον γὰρ ἀνακαλύψαι τὸν νοῦν τῶν κατὰ τὸν ἀπόστολον ἐπιχειρημάτων, οὐδὲν τῶν ἔμπροσθεν εἰρημένων ἀποκρουομένην. ἱκανῶς γὰρ κἀκεῖνά μοι διεξεληλυθέναι καὶ λαμπρῶς δοκεῖς, ἀκινδυνότερον, ὦ Θεοφίλα, τὰ ῥήματα τῆς γραφῆς, ὡς εἶχεν, ἐπεξεργασαμένη. σφαλερὸν γὰρ πάντη καταφρονεῖν τῶν κειμένων, ὡς εἴρηται, μάλιστα τῆς Γενέσεως, ἔνθα ἀποφάσεις ἀπαράλλακτοι φέρονται τοῦ θεοῦ εἰς τὴν σύστασιν τοῦ παντός, αἷς ἡρμοσμένως εἰσέτι καὶ νῦν κάλλιστα κατὰ μέτρον τέλειον ἀπευθύνεται τελείως ὁ κόσμος, ἔστ᾽ ἂν αὐτὸν πάλιν αὐτὸς ὁ δια κοσμήσας νομοθέτης ἀναστοιχειῶσαι βουληθεὶς 57
ἑτέρῳ διατάγματι τοὺς πρώτους τῆς φύσεως ἀναλύσῃ θεσμούς. ἀλλ᾽ ἐπειδὴ οὐ χρὴ ἀνεξέλεγκτον καὶ ὥσπερ ἐξ ἡμισείας χωλὴν τὴν ἀπόδειξιν τοῦ λόγου καταλεῖψαι, φέρε δὴ καὶ τὴν κατ᾽ ἀναγωγὴν αὐτῷ συζυγίαν ἀποδῶμεν ἡμεῖς βαθύτερον ἐπισκεψάμεναι τὴν γραφήν. οὐ γὰρ ⟨τοῦ Παύλου⟩ καταφρονητέον τοῦ ὑπεραναβαίνοντος τὸ ῥητὸν καὶ εἰς τὸν Χριστὸν αὐτὸ συντείνειν καὶ εἰς τὴν ἐκκλησίαν ἀποφηναμένου.

III. Καὶ πρῶτον ἐξεταστέον — εἰκὸς γὰρ ἀντιπροσθεῖναί τινας ἄλλοτε ἄλλως —, πῶς ὁ Ἀδὰμ ἀπεικάζεσθαι δύναται τῷ υἱῷ τοῦ θεοῦ, ἐν τῷ παραπτώματι τῆς παραβάσεως εὑρεθεὶς καὶ ἀκούσας τό »γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ«. πῶς δὲ καὶ »πρωτότοκος πάσης τῆς 58
κτίσεως« νομισθήσεται ὁ μετὰ τὴν γῆν καὶ τὸ στερέωμα πηλοπλαστούμενος; πῶς δὲ καὶ τὸ »ξύλον τῆς ζωῆς« αὐτὸς εἶναι συγχωρηθήσεται ὁ ἐκβαλλόμενος διὰ τὴν παράβασιν, »ἵνα μὴ πάλιν ἐκτείνας τὴν

10 vgl. Plato Phaedr. 246 E — **12** vgl. S. 57, 1 — **21** Gen. 3, 19 — Kol. 1, 15 — **23** Apok. Joh. 2, 7 — **24** Gen. 3, 22

1 *ἀποθέσεως* Jh **1 f** *ἀνδριέστερον γὰρ* P, *ἀνδρειέστερον γὰρ* B: *χρὴ οὖν με ἀκριβέστερον* Po Cb Jh **3** *ἀνακρουομένην* Cb Jh **4** *κἀκεῖνο* viell. richtig O | *δοκεῖν* P | *ἀκινδυνώτερον* P (nicht B) **5** *ἀπεργασαμένη* O, vgl. Z. 1 **7** *ἔνθα* verbessert? P **8** *σύ ... σιν* O | *ἡρμοσμένος* P | *κάλλ(ιστα)* unleserl. O **9** *μέτρον* M Al Jh: *μέρος* O P | *τέλεον* P Jh | *ἀπευ . ύνεται* O **10** *αὐτὸς (ὁ) διακ(οσμή)σας νο(μο)θέτ(ης)* unleserl. O **11** *διδάγματι* O | *τού(ς) πρώτο(υς)* unleserl. O | *φύσεως* undeutl. O | *θεσμούς* unleserl. O: *δεσμούς* M Al **12** *ἐπεὶ* P Jh | *(ὥσ)περ ἐξ ἡμι(σείας)* unleserl. O **13** *κατ᾽ ἀναγω(γὴν)* unleserl. O: *κατὰ ἀν.* M Al | *αὐτῇ* B Jh **14** *(ἐπισκε)ψάμεναι — καταφρονητέον* Z. 15 unleserl. O | *ἐπισκεψάμενοι* Al | *τὴν γραφήν* < M Al **15** + *τοῦ Παύλου* M Ausgg. | *τὸ ῥητὸν* O 45v **16** *αὐτὸν* B | *εἰς* vor *τὴν* + O **18** *εἰκὸς — ἄλλως* Z. 19 < Jh | *εἰκὸς* P 164 | *γὰρ* + O **19** *πῶς* + O: *εἰ* Po Cb Jh | *ὁ* < Jh **21** *τῆς* < P **22** *νομ.*] *εὑρεθήσεται* viell. richtig P | *καὶ* nach *γῆν* undeutl. O **23** *(αὐτ)ὸς* unleserl. O **24** *ὁ* < P

χεῖρα καὶ φαγὼν ἀπ᾽ αὐτοῦ ζήσεται εἰς τὸν αἰῶνα«; τὸ γὰρ ἀπεικαζόμενον ἐκείνῳ οὗ ἐστιν ἀπεικασία ὁμοιοῦσθαι [αὐτῷ] καὶ παραβάλλεσθαι κατὰ πολλὰ χρή, ἀλλὰ μὴ ἐκ τῶν ἐναντίων καὶ ἀνοικείων τὴν σύστασιν ἔχειν. οὐ γὰρ ἂν τὸ ἄνισον τῷ ἀρτίῳ ἢ τὴν ἁρμονίαν τῇ ἀναρμοστίᾳ τις ἐξισάσαι τολμῶν ὡς ἔμφρων ἀποδεχθήσεται, ἀλλὰ τὸ ἴσον τῷ φύσει ἴσῳ, κἂν ἐξ ὀλίγου ἴσον ᾖ, καὶ τὸ λευκὸν τῷ φύσει λευκῷ, κἂν αὐτὸ βραχύτατον καὶ με|τρίως φαντάζοιτο τὴν λευκό- 59
τητα ἐκείνου, δι᾽ ἣν δὴ καὶ αὐτὸ λέγεται λευκόν. ἴσον δὲ καὶ ἁρμόνιον καὶ λαμπρὸν τὸ ἀναμάρτητον εἶναι καὶ ἀδιάφθορον ἀνενδοιάστως παντί που σαφὲς τὴν σοφίαν, ἀνάρτιον δὲ καὶ ἀναρμόνιον τὸ θνητὸν καὶ ἁμαρτωλὸν καὶ διὰ κατάγνωσιν ἐκβληθὲν καὶ ὑπὸ καταδίκην ἐληλυθός.

IV. Τὰ μὲν οὖν δὴ πρὸς τῶν πολλῶν ἀντισφαιριζόμενα σχεδὸν εἶναι τοιαῦτα δὴ νομίζω, ὅσοι δὴ μὴ θέλουσιν εἰς Χριστὸν ἀναφέρεσθαι τὸν πρῶτον ἄνθρωπον, καταφρονοῦντες τῆς συνέσεως, ὡς εἰκός, Παύλου. φέρε γὰρ ἡμεῖς ἐπισκεψώμεθα, πῶς ὀρθοδόξως ἀνήγαγε τὸν Ἀδὰμ εἰς τὸν Χριστόν, οὐ μόνον αὐτὸν τύπον ἡγούμενος εἶναι καὶ εἰκόνα, | ἀλλὰ καὶ αὐτὸ τοῦτο Χριστὸν καὶ αὐτὸν γεγονέναι 60
διὰ τὸ τὸν πρὸ αἰώνων εἰς αὐτὸν ἐγκατασκῆψαι λόγον. ἥρμοζε γὰρ τὸ πρωτόγονον τοῦ θεοῦ καὶ πρῶτον βλάστημα καὶ μονογενὲς τὴν σοφίαν τῷ πρωτοπλάστῳ καὶ πρώτῳ καὶ πρωτογόνῳ τῶν ἀνθρώπων ἀνθρώπῳ κερασθεῖσαν ἐνηνθρωπηκέναι. τοῦτο γὰρ εἶναι τὸν

16 Plato Prot. 330 B — **20** Plato Symp. 208 B; vgl. Prov. 8, 22. 23. Joh. 1, 18

1 *ζήσηται* P **2** *ἐκεῖνο* P | *ἀπεικασία* P, a. Rd. in B, wohl auch O (d. Endung abgekürzt); vgl. S. 35, 5 u. De lepra 6, 7: *ἀπείκασμα* B (im Text) M Ausgg. | *ὡμοιῶσθαι* O P | *αὐτῷ* < Po Cb Jh: *αὐτὸ*? Kl **3** *ἀνοικ.* auch O **5** (*ἀναρμοσ*)*τία* unleserl. O | *ἐξισάσαι* O Ausgg.: *ἐπισάζειν* viell. richtig P | *ἀποδ.* O Ausgg., *ἀποδειχθήσεται* viell. richtig P **6** *ἐξ ὁμολόγου* O, ab. a. Rd. corrigiert in *ἐξ ὀλίγου* (ebenso M 1. Hd.) **7** *βραχ.*] + *ᾖ* O (Jh) **9** *ἀνενδυάστως* P **11** *ἀπὸ καταδίκης* B **13** *Τὰ*] P 164ᵛ | *ἀντισφαιρ . ζόμενα* O: *ἀντισφετεριζόμενα* P **16** (*Παύλ*)*ου* unleserl. O | Pl *φέρε δὴ . . σκεψώμεθα ποῖον* **17** *τύπον αὐτὸν* Jh **18** *εἶναι* < P | (*ἀ*)*λ*(*λ*)*ὰ* unleserl. O | *αὐτῷ τούτῳ* P **19** *ἐ*(*γκατασκῆ*)*ψαι* unleserl. O | *ἥρμωσε* P **20** *τοῦ* < O | Pl *τὸ αὐτοῦ ἀποβλάστημα* | (*μονογεν*)*ὲς* undeutl. O **21** *τῇ προτοπλ.* B | *κ. πρωτο*(*γό*)*νῳ τ.* unleserl. O **22** *ἀνθρώπῳ* < O | *. ερασθεῖσαν* O | (*ἐνην*)*θρωπεκέναι.* (*τοῦτο γὰρ*) — *ἄνθρωπον* S. 31, 1 unleserl. O | *ἐνηνθρωπικέναι* P

Χριστόν, ἄνθρωπον ἀκράτῳ θεότητι καὶ τελείᾳ πεπληρωμένον καὶ θεὸν ἐν ἀνθρώπῳ κεχωρημένον· ἦν γὰρ πρεπωδέστατον τὸν πρεσβύτατον τῶν αἰώνων καὶ πρῶτον τῶν ἀρχαγγέλων, ἀνθρώποις μέλλοντα συνομιλεῖν, εἰς τὸν πρεσβύτατον καὶ πρῶτον τῆς ἀνθρωπότητος ἄνθρωπον εἰσοικισθῆναι τὸν Ἀδάμ. ταύτῃ γὰρ ἀναζωγραφῶν τὰ ἐξ ὑπαρ|χῆς καὶ ἀναπλάσσων αὖθις ἐκ παρθένου καὶ πνεύματος 61
τεκταίνεται τὸν αὐτόν, ἐπειδὴ καὶ κατ᾽ ἀρχάς, οὔσης παρθένου τῆς γῆς ἔτι καὶ ἀνηρότου, λαβὼν χοῦν τὸ λογικώτατον ἐπλάσατο ζῷον ἀπ᾽ αὐτῆς ὁ θεὸς ἄνευ σπορᾶς.

V. *Καί* μοι ἐχέγγυος μάρτυς καὶ σαφὴς ὁ προφήτης Ἱερεμίας παρίτω, »καὶ κατέβην εἰς τὸν οἶκον τοῦ κεραμέως« λέγων »καὶ ἰδοὺ αὐτὸς ἐποίει ἔργον ἐπὶ τῶν λίθων. καὶ διέπεσε τὸ ἀγγεῖον, ὃ αὐτὸς ἐποίει ἐν ταῖς χερσὶν αὐτοῦ. καὶ πάλιν ἐποίησεν αὐτὸ ἀγγεῖον ἕτερον, καθὼς ἤρεσεν ἐνώπιον αὐτοῦ τοῦ ποιῆσαι«. ἔτι γὰρ πηλουργούμενον τὸν Ἀδάμ, ὡς ἔστιν εἰπεῖν, καὶ τηκτὸν ὄντα καὶ ὑδαρῆ, καὶ μηδέπω φθάσαντα δίκην ὀστράκου τῇ ἀφθαρσίᾳ κραταιωθῆναι καὶ | ἀποπετρωθῆναι, ὕδωρ ὥσπερ καταλειβομένη καὶ καταστάζουσα διέλυ- 62
σεν αὐτὸν ἡ ἁμαρτία. διὸ δὴ πάλιν ἄνωθεν ἀναδεύων καὶ πηλοπλαστῶν τὸν αὐτὸν »εἰς τιμήν« ὁ θεός, ἐν τῇ παρθενικῇ κραταιώσας πρῶτον καὶ πήξας μήτρᾳ καὶ συνενώσας καὶ συγκεράσας τῷ λόγῳ, ἄτηκτον καὶ ἄθραυστον ἐξήγαγεν εἰς τὸν βίον, ἵνα μὴ πάλιν τοῖς τῆς φθορᾶς ἔξωθεν ἐπικλυσθεὶς ῥεύμασιν τηκεδόνα γεννήσας διαπέσῃ. —

6 Luk. 1, 35 — **7** Iren. Adv. haer. III, 21, 10 — **8** Gen. 2, 7 — **10** Symp. 2, 2. 7 S. 18, 5. 25, 9 — De res. I, 43, 5. Jerem. 18, 3. 4 — **18** De res. I, 44, 1. Hipp. In Dan. IV, 11, 5. De antichr. 26 — **19** II Tim. 2, 20. 21

1 *ἄνθρωπον* < M Al | *ἐν* vor *ἀκράτῳ* + M Ausgg. | *ἀκράσθω* w. e. sch. O (nicht M Al) | *θεότητι καὶ* undeutl. O **2** *θεὸν — πρεπωδ.* unleserl. O | *θεὸν — γὰρ*] *τὸν ἐν κάλλει* M Al **3** *καὶ τὸν πρ.* M Al | *τὸν πρ.* O 46 **4f** *τῆς ἀνθρ. ἄνθρ.*] *τῶν ἀνθρώπων* P Jh **7** *οὔσης — ἀνηρότου* Z. 8 < P **10** *ἱ|ερεμ.* P 165 (bis *διὸ δὴ* Z. 18, sowie einige Worte hernach, erneuert; war mit e. Flüssigkeit begossen) **11** *παρήτω* O Po Cb: *παρείτω* P **12** *ἐπὶ τὸν λίθον* P Al **13** *ἐποίει* O: *ἐποίησεν* P **13f** *ἀγγ. ἀστεῖον* P: *ἀστεῖον ἀγγ.* B **14** *καθὰ* B V, *καθὼ?* P | *τοῦ* < P **15** *καὶ τ. — ὑδαρῆ* < P, aber in P (u. B) halbe Zeile leer **16** *μήπω* O **16f** *κ. ἀποπετρ.*] *κ. ἀποπαγιωθῆναι* P: < B: *κ. παγιωθῆναι* Jh **17** *καταλαβομένη κ. κατασκήψασα* P **18** *πάλιν ἄν. ἀναδεύων*] leerer Raum in B, v. 2. Hd. in V; gehört nicht zu dem in P Erneuerten **19** *τὸν* < P **22** *ἔξωθεν* < B | *τηκεδόνα* P: *τηκεδόνας* O

καὶ ἐν τῇ περὶ τῆς ἀνευρέσεως δὲ τοῦ προβάτου φαίνεται ⟨τὰ αὐτὰ⟩
διδάσκων ὁ κύριός μου παραβολῇ, ἔνθα φησὶ πρὸς τοὺς παρεστηκό-
τας· »τίς ἐστιν ἐξ ὑμῶν ἄνθρωπος, ὃς ἔχει ἑκατὸν πρόβατα, κἂν
ἀπολέσῃ ἓν ἐξ αὐτῶν, οὐκ ἀφίησι τὰ ἐνενήκοντα ἐννέα ἐπὶ τοῖς ὄρεσι,
καὶ πορευθεὶς ἐπὶ | τὸ ἀπολωλὸς ζητεῖ αὐτὸ ἕως εὕρῃ; καὶ εὑρὼν 63
ἐπιτίθησιν ἐπὶ τοὺς ὤμους αὐτοῦ, καὶ ἐλθὼν εἰς οἶκον συγκαλεῖται
τοὺς φίλους καὶ τοὺς γείτονας, λέγων· συγχάρητέ μοι, ὅτι εὑρέθη τὸ
πρόβατόν μου τὸ ἀπολωλός.«

VI. Ἐπειδὴ γὰρ αὐτὸς ὡς ἀληθῶς ἦν τε καὶ ἔστιν, »ἐν ἀρχῇ«
ὢν »πρὸς τὸν θεὸν« καὶ »θεὸς« ὤν, ὁ »ἀρχιστράτηγος« καὶ »ποιμὴν«
τῶν κατ᾽ οὐρανόν, ᾧ πάντα πείθονται καὶ ὁμαρτοῦσι τὰ λογικά, καὶ
ποιμαίνων εὐτάκτως καὶ ἀριθμῶν τὰ πλήθη τῶν μακαρίων ἀγγέλων, . .
οὗτος γὰρ ἴσος καὶ τέλειος ἀριθμὸς ἀθανάτων ζῴων κατὰ γένη καὶ
φῦλα διῃρημένων, συμπαραληφθέντος ἐνταῦθα τῇ ποίμνῃ καὶ τοῦ
ἀνθρώπου· δεδημιούργητο | γὰρ δὴ καὶ αὐτὸς ἔξω φθορᾶς, ἵνα τὸν 64
βασιλέα γεραίρῃ πάντων καὶ ποιητὴν ἀντίφθογγα μελῳδῶν ταῖς τῶν
ἀγγέλων ἐξ οὐρανοῦ φερομέναις βοαῖς. ἀλλ᾽ ἐπεὶ συνέβη παρεληλυ-
θότα τὴν ἐντολὴν ὀλέθριον πτῶμα καὶ δεινὸν πεσεῖν, εἰς θάνατον
ἀναστοιχειωθέντα, διὰ τοῦτό φησιν ὁ κύριος ἑαυτὸν εἰς τὸν βίον ἐκ
τῶν οὐρανῶν ἐληλυθέναι, καταλελοιπότα τὰς τάξεις καὶ τὰ στρατό-
πεδα τῶν ἀγγέλων. ἀπεικονιστέον γὰρ τὰ μὲν ὄρη τοῖς οὐρανοῖς,

2 Iren. Adv. haer. III, 19, 3 — **3** Luk. 15, 4—6 — **9** Joh. 1, 1 — **10** Jos. 5, 14. Jes. 40, 11; vgl. Hos. 13, 4 — **19** vgl. Symp. 8, 7

1—8 u. **21—S. 33,3** Phot. Bibl. 237 S. 308b, 15ff — **9** Hier. PL 26, 135. Petr. Laod. S. 204

1 καὶ — παρεστηκότας Z. 2f] ὅτι τὸ ἐν τοῖς εὐαγγελίοις εἰρημένον παραβολικῶς Ph | ὡς καὶ Po Cb Jh | δὲ < Po Cb Jh | φαίν.] φέρεται nur scheinbar O | τὰ αὐτὰ + Kl **2** μου + O | παραβολήν O | ὁ κύριος μου nach φησὶ + P **3f** καὶ ἀπολέσει P Ph **4** ἓν unleserl. O | οὐκ — ἀπολωλὸς Z. 5] καὶ ἑξῆς Ph | ἐπὶ < P **6** αὐτοῦ Jh | (οἶ)κον unleserl. O **7** μοι unleserl. O **9** Ἐπειδὴ — ἀγγέλων Z. 21 < Ph | Ἐπειδὴ] P 165v | ἀληθῶς undeutl. O **11** οὐρανῶν B, ab. a. Rd. νὸν | πείθεται P | (ὁμαρ)τοῦσι (τὰ) λογικ(ὰ) unleserl. O | καὶ < P **12** ἀριθμῶν] κυβερνῶν P | τῶν μα(καρ.) unleserl. O | . .] ἑκατὸν εἶχε πρόβατα, od. mehr, ausgefallen Kl **13** οὗτος — καὶ unleserl. O | ἴσος] αὐτὸς M Al | (ζ)ώων — διῃρ. Z. 14 unleserl. O | κ. γ. — διῃρ. Z. 14 v. 2. Hd. M | γενεὰς Al (? M) **14** φῦλα] κατὰ φύλας Jh | διορισμένων? M, διορισμένος Al | ποίμνῃ O 46v **15** ἐδημιουργεῖτο P | δὴ vor καὶ < O Jh | ἔξω φθορᾶς < P **17** συμβαίνει P **19** αὐτὸν O **21** ἀπεικ. — ποιμήν S. 33, 3] ἐνενήκοντα ἐννέα μὲν πρόβατα τὰς οὐρανίους δυνάμεις φησὶν ἐκδέχεσθαι χρή, ἓν δὲ τὸ ἀπολωλὸς τὸν ἄνθρωπον ἤγουν τὴν ἀνθρωπείαν φύσιν, δι᾽ ἣν καὶ κατεληλυθέναι τὸν λόγον τοῦ πατρὸς ἐκ τῶν οὐρανῶν u. endet Ph

τὰ δὲ ἐνενήκοντα πρόβατα καὶ ἐννέα ταῖς δυνάμεσι καὶ »ταῖς ἀρχαῖς
καὶ ταῖς ἐξουσίαις«, ἃς καταλέλοιπεν ἀναζητῆσαι κατελθὼν τὸ ἀπο-
λωλὸς ὁ στρατηγὸς καὶ ποιμήν. ἔλειπε γὰρ ἄνθρωπος εἰς τὸν ὅμι-
λον ἐγκαταλεχθῆναι τούτων ἔτι καὶ τὸν ἀριθμόν, βαστάσαντος αὐτὸν
τοῦ | κυρίου καὶ ἀμφιεσαμένου, ἵνα δὴ μὴ πάλιν, ὥς ἔφην, ταῖς τρι- 65
κυμίαις καὶ ταῖς ἀπάταις τῆς ἡδονῆς περικλυσθεὶς καταποντωθῇ.
ταύτῃ γὰρ τὸν ἄνθρωπον ἀνείληφεν ὁ λόγος, ὅπως δὴ δι᾿ αὐτοῦ
καταλύσῃ τὴν ἐπ᾿ ὀλέθρῳ γεγονυῖαν καταδίκην, ἡττήσας τὸν ὄφιν.
ἥρμοζε γὰρ μὴ δι᾿ ἑτέρου νικηθῆναι τὸν πονηρόν, ἀλλὰ δι᾿ ἐκεί-
νου, ὃν δὴ καὶ ἐκόμπαζεν ἀπατήσας αὐτὸν τετυραννηκέναι· ὅτι μὴ
ἄλλως τὴν ἁμαρτίαν λυθῆναι καὶ τὴν κατάκρισιν δυνατὸν ἦν, εἰ μὴ
πάλιν ὁ αὐτὸς ἐκεῖνος ἄνθρωπος, δι᾿ ὃν εἴρητο τό »γῆ εἶ καὶ εἰς γῆν
ἀπελεύσῃ«, ἀναπαλαίσας ἀνέλυσε τὴν ἀπόφασιν τὴν δι᾿ αὐτὸν εἰς
πάντας ἐξενηνεγμένην, ὅπως, καθὼς »ἐν τῷ | Ἀδάμ« πρότερον »πάν- 66
τες ἀποθνήσκουσιν, οὕτω« δὴ πάλιν καὶ »ἐν τῷ« ἀνειληφότι »Χρι-
στῷ« τὸν Ἀδὰμ »πάντες ζῳοποιηθῶσιν«.

VII. Καὶ περὶ μὲν τοῦ τὸν ἄνθρωπον ὄργανον γεγονότα καὶ ἔν-
δυμα τοῦ μονογενοῦς τοῦτο ἀπειργάσθαι, ὅπερ ἦν αὐτὸς ὁ εἰς αὐτὸν
εἰσοικισθείς, σχεδὸν ἤδη μοι δοκεῖ τέλος ἔχειν· τὸ δὲ ὅτι μήτε ἀνι-
σότης ἐστὶ μήτε μὴν ἀναρμοστία πάλιν ἐξ ἀρχῆς διὰ βραχέων ἐπι-
σκεπτέον. τὸ γὰρ αὐτοφύσει καλὸν καὶ αὐτοφύσει δίκαιον καὶ ὅσιον,
οὗ τὰ ἄλλα κατὰ μετοχὴν γίνεται καλά, τὴν σοφίαν ὁ λέγων τυγχά-
νειν μετὰ τὸν θεὸν ὀρθότατα λέγει, τὸ δὲ αὖ ἀνόσιον καὶ ἄδικον

1 vgl. Ephes. 3, 10. Kol. 1, 16 — **6** vgl. Mt. 13, 22. Luk. 8, 14 — **9** C. Porph. 1, 2. De autex. 20, 4. 21, 8. Iren. Adv. haer. V, 21, 1 — **12** Gen. 3, 19 — **14** I Kor. 15, 22 — **19** Symp. S. 25, 2f. 42, 3f. S. 182 Al — **21** Plato Symp. 211 B — **22** vgl. Plato Phileb. 34 A

1 ἐνε. ἐνν. πρόβατα P **3** ἄνθρωπον P **3f** τ. ὅμ. Kl wie 69, 24; 77, 20: τὴν ἀγέλην zuvor Bo: τὴν βίβλον O P Ausgg. **4** ταύτὴν P | βαστάξαντος P **5** ἀμφιασαμένου O | μὴ] καὶ B, corr. v. 1. Hd. a. Rd. in μὴ | ὡς ἔφην nach τρικυμαίς O **6** τῆς ἡδονῆς < P | περικλ. P 166 **7** δι᾿ αὐτοῦ B V (? P): < O **9** τὸ vor μὴ + P **9f** δι᾿ ὃν δὴ O **12** τό < P **13** ἀπελ.] πορεύσῃ B | ἀναπαλαίσας O, vgl. C. Porph. 1, 2: ἀναπλασθεὶς P **14f** πάντες πρότερον viell. richtig O **18** ἀπειργάσθαι w. e. sch. O·Al, ἀπεργάσασθαι P | ἦν] καὶ Po Cb Jh **19** ὅτι < P **20** μὴν üb. d. Lin. P **21f** Pl (τὸ καλὸν) αὐτὸ . . ὄν, τὰ δὲ ἄλλα πάντα καλὰ ἐκείνου μετέχοντα **21** αὐτὸ φύσει beidemal O | καὶ unleserl. O **22** γίνονται O **22f** Pl λέγων ὀρθῶς ἂν τις λέγοι | τυγχάνειν unleserl. O **23** μετὰ u. θεὸν undeutl. O, τὸν w. e. sch. < O (auch M Jh) | θεοῦ Jh | ὀρθότ . τ . O

καὶ πονηρὸν τὴν ἁμαρτίαν. δύο γὰρ τὰ εἰς ἄκρον ἀλλήλοις ἐναν-
τία | ζωὴ καὶ θάνατος, ἀφθαρσία καὶ φθορά. ἰσότης μὲν γάρ ἐστιν 67
ἡ ζωή, ἀνισότης δὲ ἡ φθορά, καὶ ἁρμονία μὲν ἡ δικαιοσύνη καὶ ἡ
φρόνησις, ἀναρμοστία δὲ ἡ ἀδικία καὶ ἡ ἀφροσύνη. ὁ δὲ ἄνθρωπος,
τούτων ὢν μεταξύ, οὔτε αὐτὸ τοῦτο δικαιοσύνη οὔτε μήν ἐστιν ἀδι-
κία· ἀλλὰ τῆς ἀφθαρσίας ἐν μέσῳ βεβηκὼς καὶ τῆς φθορᾶς, εἰς ὁπο-
τέραν ⟨ἂν⟩ αὐτῶν νεύσας προσκλιθῇ, εἰς τὴν τοῦ κρατήσαντος μετα-
βάλλεσθαι λέγεται φύσιν. ἐκκλίνας μὲν γὰρ εἰς τὴν φθορὰν φθαρτὸς
γίνεται καὶ θνητός, εἰς δὲ τὴν ἀφθαρσίαν ἄφθαρτος καὶ ἀθάνατος.
μεθόριος γὰρ τοῦ »τῆς ζωῆς« ξύλου καὶ τοῦ γνωστοῦ »καλοῦ τε καὶ
πονηροῦ« τεθείς, οὗπερ ἀπεγεύσατο τῶν καρπῶν, εἰς τὴν τούτου καὶ
με|τεβλήθη μορφήν, οὔτε »τὸ τῆς ζωῆς ξύλον« αὐτὸς ὢν οὔτε τὸ τῆς 68
φθορᾶς, ἀλλὰ μετοχῇ μὲν καὶ παρουσίᾳ φθορᾶς θνητὸς φανείς, προσ-
οικειώσει δὲ καὶ ἀλοιφῇ ζωῆς ἄφθαρτος πάλιν καὶ ἀθάνατος. ὥς που
καὶ Παῦλος ἐδίδαξεν εἰπών· »οὐ γὰρ ἡ φθορὰ κληρονομήσει τὴν
ἀφθαρσίαν«, οὐδὲ ὁ θάνατος τὴν ζωήν, φθορὰν μὲν καὶ θάνατον
αὐτὸ τὸ φθεῖρον ὁρισάμενος εἰκότι λόγῳ καὶ τὸ ἀποκτεῖνον, ἀλλ' οὐ
τὸ φθειρόμενον καὶ τὸ θνῆσκον, ἀφθαρσίαν δὲ καὶ ζωὴν αὐτὸ τὸ
ἀπαθανατίζον καὶ ζῳοποιοῦν, ἀλλ' οὐ τὸ ἀπαθανατιζόμενον καὶ
ζῳοποιούμενον. ὥστε οὔτε ἀναρμοστία καὶ ἀνισότης ὁ ἄνθρωπός
ἐστιν οὔτε μὴν ἰσότης καὶ εὐαρμοστία· ἀλλ' ὅτε μὲν ἐδέξατο τὴν
ἀναρμοστίαν, ὅπερ ἐστὶ τὴν | παράβασιν καὶ τὴν ἁμαρτίαν, γέγονεν 69
ἀνάρμοστος καὶ ἀπρεπής· ὅτε δὲ τὴν ἁρμονίαν, τουτέστι τὴν δι-
καιοσύνην, γέγονεν εὐάρμοστον ὄργανον καὶ εὐπρεπές, ὅπως ὁ κύ-
ριος, ἡ ἀφθαρσία νικήσασα τὸν θάνατον, εὐήχως τὴν ἀνάστασιν μελῳ-

4 Plato Phaed. 93 E — **5** Plato Symp. 202 B — vgl. Tatian 13 — **7** Plato Tim. 90 BC — **8** De resurr. II, 18, 2. 3 (Just. mart.) — **10** Gen. 2, 9 — **13** vgl. Gen. 2, 17 — **15** De resurr. II, 18, 5 — I Kor. 15, 50 — **23** vgl. Plato Lach. 188 D

1 (ἁμαρ)τίαν unleserl. O | *δύο* P 166v **2** (θά)νατος — φθ(ορά) unleserl. O | *ἰσότης* O 47 **4** Pl *εἴπερ ἡ μὲν κακία ἀναρμοστία, ἡ δὲ ἀρετὴ ἁρμονία εἴη* | *ἡ ἀφροσύνη καὶ ἡ ἀδικία* B **5f** Pl *μὴ εἶναι ἀγαθόν . ., μηδέν τι μᾶλλον . . κακὸν εἶναι, ἀλλά τι μεταξὺ . . τούτοιν* **6f** *ὁπότερον* P Jh: + *ἂν* Wd **7** *αὐτὸ νεύσας* P | *προσκλίθη* P: *προεκλίθη* B V **10** *μεθόρι°* = *μεθόριος* O: *μεθόριον* Al Jh **11** (ἀπε)γεύσατο unleserl. O | *τὸν καρπὸν* O, ab. vgl. unt. S. 41, 10 **14** *ὥς που* O: *ὥσπερ* P Jh **15** *ὁ* vor *Παῦλος* + Cb Jh | *ἐδίδαξεν εἰπών* O: *ἐδίδαξε λέγων* P Jh **16** *οὐδ'* O **17** *ἀποκτεννύον* O **18** *τὸ* vor *θνῆσκον* + O **19** *ἀθανατίζον* P | *ἀθανατιζόμενον* P 167 (u. B) **23** *καὶ* vor *ἀνάρ.* + O | Pl *ἁρμονίαν . . ἡρμοσμένος* **23f** (δικαιοσ)ύνην unleserl. O **25** *ἡ*] B a. Rd. *τῇ* | εὐ(ήχως) unleserl. O

δήσῃ τῇ σαρκί, μὴ ἐάσας αὐτὴν κληρονομηθῆναι πάλιν ὑπὸ τῆς φθορᾶς. καὶ μὲν δὴ καὶ περὶ τούτων αὐτάρκως ἤδη λελέχθω.

VIII. *Προγεγύμνασται γὰρ μετὰ συστάσεων οὐκ εὐκαταφρονήτων ἐκ τῆς γραφῆς ὡς ἄρα ὁ πρωτόπλαστος οἰκείως εἰς αὐτὸν ἀναφέρεσθαι δύναται τὸν Χριστόν, οὐκέτι τύπος ὢν καὶ ἀπεικασία μόνον καὶ εἰκὼν τοῦ μονογενοῦς, ἀλλὰ καὶ αὐτὸ τοῦτο σοφία γεγονὼς καὶ λόγος. δίκην γὰρ ὕδατος ὁ ἄνθρωπος συγκερασθεὶς τῇ σοφίᾳ καὶ* 70 *τῇ ζωῇ τοῦτο γέγονεν, ὅπερ ἦν αὐτὸ τὸ εἰς αὐτὸν ἐγκατασκῆψαν ἄκρατον φῶς. ὅθεν ὁ ἀπόστολος εὐθυβόλως εἰς Χριστὸν ἀνηκόντισε τὰ κατὰ τὸν Ἀδάμ. οὕτως γὰρ ἂν μάλιστα ἐκ τῶν ὀστῶν αὐτοῦ καὶ τῆς σαρκὸς τὴν ἐκκλησίαν συμφωνήσαι γεγονέναι, ἧς δὴ χάριν καταλείψας τὸν πατέρα τὸν ἐν τοῖς οὐρανοῖς κατῆλθεν ὁ λόγος προσκολληθησόμενος τῇ γυναικὶ καὶ ὕπνωσε τὴν ἔκστασιν τοῦ πάθους, ἑκουσίως ὑπὲρ αὐτῆς ἀποθανών, »ὅπως αὐτὸς ἑαυτῷ παραστήσῃ τὴν ἐκκλησίαν ἔνδοξον καὶ ἄμωμον, καθαρίσας τῷ λουτρῷ« πρὸς ὑποδοχὴν τοῦ νοητοῦ καὶ μακαρίου σπέρματος, ὃ σπείρει μὲν αὐτὸς ὑπηχῶν καὶ καταφυτεύων ἐν τῷ βάθει τοῦ νοός, ὑποδέχεται δὲ καὶ μορφοῖ* 71 *δίκην γυναικὸς ἡ ἐκκλησία εἰς τὸ γεννᾶν τὴν ἀρετὴν καὶ ἐκτρέφειν. ταύτῃ γὰρ καὶ τό »αὐξάνεσθε καὶ πληθύνεσθε« πληροῦται προσηκόντως, εἰς μέγεθος καὶ κάλλος καὶ πλῆθος αὐξανομένης καθ᾽ ἡμέραν αὐτῆς διὰ τὴν σύνερξιν καὶ τὴν κοινωνίαν τοῦ λόγου συγκαταβαίνοντος ἡμῖν καὶ νῦν ἔτι καὶ ἐξισταμένου κατὰ τὴν ἀνάμνησιν τοῦ πάθους. οὐ γὰρ ἂν ἄλλως ἡ ἐκκλησία συλλαβεῖν τοὺς πιστεύοντας καὶ ἀναγεννῆσαι »διὰ τοῦ λουτροῦ« δύναιτο »τῆς παλιγγενεσίας«, ἐὰν*

2 Plato Tim. 89 D — **10** vgl. Gen. 2, 24. 21 — **14** Ephes. 5, 27. 26 — **18** Plato Symp. 209 C E — **19** Gen. 1, 28 — **24** Tit. 3, 5

13 Nilus Epist. I 26 PGr 79, 92 C

2 *καὶ περὶ τούτων μὲν δή?* Wd | *αὐτάρκως* unleserl. O: *ταῦτα* Al Jh **3** *συστασ . . .* O, *συστάσεως* M Al | *οὐκ εὐκαταφρ.* unleserl. O: *καὶ σωφροσύνης* M Al **4** *(πρω)τόπλαστος οἰκείως* unleserl. O | *οἰκ.] δικαίως* M Al **5** *δύναιτο* P | *ἀπεικασία* vgl. o. S. 30, 2 u. De lepra 6, 7: *ἀπείκασμα* (a. Rd. *ἀπεικασία*) B Jh | *μόνον* unleserl. O **6** *τ. μονογ.* auch O: + *υἱοῦ* M Al | *ἀλλὰ — γεγονὼς* unleserl. O: *ἀλλ᾽ αὐτὸς ὁ μονογενὴς υἱὸς* (2. Hd.) M Al **7** *ὕδ(ατ)ος* unleserl. O | *ὁ ἄνθρ. συγκ.* O 47v: *συγκ. ὁ ἄνθρ.* P Jh **9** Pl Pol. VIII, 545 A *ἡ ἄκρατος δικαιοσύνη* | *ἀνηκόντησε* P O **10** *ὀστέων* O **11** *συμφωνήσῃ* O P: *συμφωνήσει* Jh **13** |*ὕπνωσεν* P 167v **13f** *(ἑκουσ)ίως* unklar O **18** Pl *τίκτει καὶ γεννᾷ . . καὶ . . συνεκτρέφει . . . γεννήσαντες παντοίαν ἀρετήν* **19** d. 1. *καὶ* < O V **20** *καθ᾽ ἡμ. αὐξ.* P Jh **21** *τὴν* vor *κοινωνίαν* < B Jh **22** *ἔτι καὶ νῦν* P Jh **24** *τοῦ* < P | *τῆς παλιγγενεσίας δύν.* P

μὴ καὶ δι' αὐτοὺς ὁ Χριστὸς κενώσας ἑαυτόν, ἵνα χωρηθῇ κατὰ τὴν
ἀνακεφαλαίωσιν, ὡς ἔφην, τοῦ πάθους, πάλιν ἀποθάνῃ καταβὰς ἐξ
οὐρανῶν καὶ προσκολληθεὶς τῇ ἑαυτοῦ γυναικί, τῇ ἐκκλησίᾳ, | παρά- 72
σχοι τῆς πλευρᾶς ἀφαιρεῖσθαι τῆς ἑαυτοῦ δύναμίν τινα, ὅπως αὐξη-
θῶσιν οἱ ἐν αὐτῷ οἰκοδομηθέντες ἅπαντες, οἱ γεγεννημένοι διὰ τοῦ
λουτροῦ, ἐκ τῶν ὀστῶν καὶ ἐκ τῆς σαρκός, τουτέστιν ἐκ τῆς ἁγιω-
σύνης αὐτοῦ καὶ ἐκ τῆς δόξης προσειληφότες. ὀστᾶ γὰρ καὶ σάρκα
σοφίας ὁ λέγων εἶναι σύνεσιν καὶ ἀρετὴν ὀρθότατα λέγει, πλευρὰν
δὲ »τὸ πνεῦμα τῆς ἀληθείας« τὸ παράκλητον, ἀφ' οὗ λαμβάνοντες
εἰς ἀφθαρσίαν ἀναγεννῶνται προσηκόντως οἱ πεφωτισμένοι. ἀδύνα-
τον δὲ τοῦ πνεύματος τοῦ ἁγίου μετασχεῖν τινα καὶ μέλος καταλε-
χθῆναι Χριστοῦ, ἐὰν μὴ πρότερον καὶ ἐπὶ τούτου συγκατελθὼν ὁ
λόγος ἐκστῇ κοιμηθείς, ἵνα τὴν ἀνανέωσιν καὶ τὸν ἀνακαινισμὸν συν-
εξαναστὰς | τοῦ ὕπνου τοῦ κεκοιμημένου καὶ αὐτὸς μεταλαβεῖν 73
δυνηθῇ, πνεύματος ἀναπλησθείς. τοῦτο γὰρ κυρίως ἂν ἡ πλευρὰ
λέγοιτο τοῦ λόγου, »τὸ πνεῦμα τῆς ἀληθείας« τὸ ἑπτάμορφον κατὰ
τὸν προφήτην· ἀφ' οὗ λαμβάνων ὁ θεὸς μετὰ τὴν ἔκστασιν τοῦ Χρι-
στοῦ, ὃ δή ἐστι μετὰ τὴν ἐνανθρώπησιν καὶ τὸ πάθος, τὴν »βοηθὸν«
αὐτῷ κατασκευάζει, λέγω δὴ τὰς ἡρμοσμένας αὐτῷ καὶ νενυμφευμέ-
νας ψυχάς. ἔστι γὰρ ὅτε πολλαχῶς αὐτὸ τὸ ἄθροισμα καὶ τὸ στῖφος

1 Phil. 2, 7 — **2** vgl. Ephes. 1, 10 — **3** Gen. 2, 24. 21. 1, 28 — **4** Ephes. 2, 21 (vgl. 5, 26) — **9** Joh. 15, 26 — **13. 17** vgl. Gen. 2, 21 — **16** Joh. 15, 26 — Jes. 11, 2 — **18** Gen. 2, 18 — **19** II Kor. 11, 2

2 ff Nilus a. a. O. — **7 ff** Nilus Epist. I 254 PGr 79, 176 D

1 *καὶ* unleserl. O | *δι' αὐτοὺς* O: *διὰ τούτους* P **2 ff** Nilus *μέλλειν ὑπνοῦν τὸν ἀνθρώπινον θάνατον ἐν τῷ σταυρῷ, ὅπως ἐκ τῆς ἁγίας αὐτοῦ πλευρᾶς . . οἰκοδομηθῇ ἡ νοητὴ νύμφη αὐτοῦ* **3** (*προσκολλη*)*θεὶς* unleserl. O: *προσκολληθῇ* M Al | *ἑαυτοῦ τῇ* O | *γυναικῇ* B **4** *τῆς* vor *ἑαυτ.* undeutl. O | *δυνάμει τινὶ* P **5** *οἰκοδ. ἐν αὐτῷ* O | *τοῦ* < O **6** (*λου*)*τροῦ* undeutl. O | *ἐκ τῶν* P 168 | (*σαρ*)*κός* unleserl. O **6 f** *ἁγιοσύνης* B **7** *γὰρ* unleserl. O | *σάρκας* O **7 ff** Nil. *ἐκ τῶν σαρκῶν αὐτοῦ κ. τ. ὀστέων ἐσμὲν διὰ τὸ μετέχειν Χριστοῦ κ. συνηνῶσθαι αὐτῷ ἐν πίστει κ. γνώσει κ. ἀρεταῖς* **8** (*λέγε*)*ι* unleserl. O **9** (*ἀληθ*)*είας* unleserl. O | *τὸ*? O **10** (*ἀναγεννῶντ*)*αι* (*προση*)*κόντως οἱ πεφωτισμένοι* unleserl. O | *οἱ* < M Al **11** (*με*)*λος* — *ἐ*(*ὰν*) unleserl. O **13** *κοιμηθεὶς* — *τὴν* unleserl. O **13 f** *συνεξαναστὰς* undeutl. O **14** *τοῦ ὕπνου* unleserl. O: < M Al | *τοῦ κεκοιμ.* sehr undeutl. O: *τῷ ὑπὲρ αὐτοῦ κεκοιμωμένῳ* M Ausgg. | *κ. αὐτ. μεταλ.* sehr undeutl. O **15** *δυν. πν. ἀναπλ.* unleserl. O | *πνεύμ. ἀναπλ.*] *τῆς ἀναπλάσεως* M Al | *τοῦτο γὰρ* undeutl. O | *κυρίως ἂν*] unleserl. O: *πάντως* M Al | *ἡ πλευρὰ* O 48

ἀγεληδὸν τῶν πεπιστευκότων ἐκκλησίαν οὕτως ὀνομάζουσιν αἱ γραφαί, τῶν τελειοτέρων κατὰ προκοπὴν εἰς ἓν πρόσωπον καὶ σῶμα τὸ τῆς ἐκκλησίας ἀναγομένων. οἱ μὲν γὰρ κρείττονες καὶ τρανότερον σπάσαντες ἤδη τὴν ἀλήθειαν, οὗτοι διὰ τὴν | τελείαν κάθαρσιν καὶ πίστιν 74 ἀποστερωθέντες τῶν τῆς σαρκὸς ἀτοπημάτων ἐκκλησία γίνονται καὶ »βοηθὸς« τοῦ Χριστοῦ, »παρθένος« ὥσπερ κατὰ τὸν ἀπόστολον αὐτῷ καθηρμοσμένοι τε καὶ νενυμφευμένοι, ἵνα τὴν καθαρὰν τῆς διδασκαλίας ὑποδεξάμενοι καὶ γόνιμον σπορὰν συνεργήσωσι βοηθοῦντες τῷ κηρύγματι πρὸς τὴν τῶν λοιπῶν σωτηρίαν. οἱ δὲ ἀτελεῖς ἔτι καὶ ἀπαρχόμενοι εἰς σωτηρίαν τῶν μαθημάτων ὠδίνονται καὶ μορφοῦνται ὥσπερ ὑπὸ μητράσι πρὸς τῶν τελειοτέρων, ἔστ' ἂν ἀποκυηθέντες ἀναγεννηθῶσιν εἰς μέγεθος καὶ κάλλος ἀρετῆς, καὶ πάλιν αὖ κατὰ προκοπὴν ἐκκλησία καὶ οὗτοι γεγονότες εἰς ἑτέρων τόκον ὑπουργήσωσι τέκνων καὶ ἀνατροφήν, μήτρας δίκην ἐν τῷ | δοχείῳ 75 τῆς ψυχῆς τὸ θέλημα τελεσφορήσαντες ἀλώβητον τοῦ λόγου.

IX. Ἐπισκέψασθαι γὰρ χρὴ καὶ τὰ περὶ τὸν ἀοίδιμον Παῦλον, ὅτι ὁπότε οὐδέπω »τέλειος« οὗτος ἦν »ἐν Χριστῷ«, γεννᾶται πρότερον καὶ γαλουχεῖται, εὐαγγελιζομένου καὶ ἀνακαινίζοντος αὐτὸν Ἀνανίου τῷ βαπτίσματι, καθὼς ἐν ταῖς Πράξεσιν ἡ ἱστορία περιέχει· ὅτε δὲ ἠνδρώθη καὶ ᾠκοδομήθη ἤδη εἰς τελειότητα πνευματικὴν ἀναπλασθεὶς καὶ »βοηθὸς« ἀπειργάσθη καὶ »νύμφη« τοῦ λόγου, τὰ σπέρματα τῆς ζωῆς ὑποδεξάμενος καὶ συλλαβών, τὸ τηνικαῦτα ὁ πρότερον χρηματίσας παιδίον ἐκκλησία γίνεται καὶ μήτηρ, ὠδίνων καὶ αὐτὸς τοὺς δι' αὐτοῦ τῷ κυρίῳ πεπιστευκότας, ἔστ' ἂν καὶ ἐν τούτοις ὁ Χριστὸς μορφωθεὶς ἀποτεχθῇ. »τεκνία« γάρ »μου« φησίν »οὓς πάλιν ὠδίνω, ἄχρις 76

6 Gen. 2, 18 — II Kor. 11, 2 — **10** vgl. Gal. 4, 19 — **17** Kol. 1, 28 — **18** Act. 9, 17f — **20** I Kor. 13, 11. 10 — **21** Gen. 2, 18. Hohel. 4, 8ff — **25** Gal. 4, 19

5 vgl. z. B. Makar. Aeg. hom. 12, 15. PGr 34, 566 — **16. 25**—S. **38, 2** Phot. Bibl. 237 S. 308b, 11—14

1 ἀγεληδὸν + O | (ἐκκλη)σίαν οὕτως unleserl. O (οὕτως <Al, ? M) **2** (πρόσω)πον unleserl. O **3** τρανώτερον P, außer τρ unleserl. O **4** διὰ P 168v | πίστην B **5** ἀποστ. Wd: ἀποστειρωθέντες O P Jh | τῆς < O | ἐκκλησίαι O **8** συνεργήσωμεν P **10** τ. μαθ. εἰς σωτ. Po Cb Jh | εἰς σωτηρίαν < O **13** ἕτερον O | τόκον] τόπον P **16** ἐπισκέψασθε P | χρὴ < P | περὶ O: κατὰ P Jh | Παῦλον] καθὼς καὶ Παῦλος βοᾷ Ph, vgl. zu S. 38, 15 **17** ὁπότε < P **21** (ἀπ)ειργάσθη (κ.) νύμφ(η) unleserl. O **22** (ὑποδε)ξάμενος κ. συλλαβών unleserl. O | ὑπο|δεξ. P 169 | τὸ vor τηνικ. + O **23** παιδίον — μήτηρ unleserl. O γίγνεται P (nicht B) **24** τῷ κυρ. — ἂν unleserl. O | ἔστ' ἂν] ἐπειδὰν M Al **25** ἀποτεχθῇ unleserl. O | τεκνία μου undeutl. O: τέκνα καλῶν τοὺς οὕτω δι' αὐτοῦ γεννηθέντας· τέκνα γάρ Ph | μου γαρ O | φησίν — ἐγέννησα S. 38, 2 auch Ph | οὓς π. ὠδίνω unleserl. O, leerer Raum in M | ἄχρις] ἕως O

οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν« καὶ πάλιν »ἐν γὰρ Χριστῷ Ἰησοῦ διὰ τοῦ εὐαγγελίου ἐγὼ ὑμᾶς ἐγέννησα«. οὐκοῦν ταύτῃ συνέστηκεν εἰς τὴν ἐκκλησίαν ἀναφέρεσθαι καὶ τὸν Χριστὸν τὸ κατὰ τὴν Εὔαν θεώρημα καὶ τὸν Ἀδάμ. τοῦτο γὰρ »τὸ μέγα μυστήριον« ὡς ἀληθῶς καὶ ὑπερκόσμιον, ὃ ἐγὼ δι' ἀσθένειαν καὶ ἀμβλύτητα νοὸς κατ' ἀξίαν τε καὶ μέγεθος εἰπεῖν ἀδυνατῶ. ὅμως δ' οὖν ἐπιχειρητέον· λέγειν γὰρ ἑπόμενον ἂν εἴη λοιπὸν δὴ καὶ τὰ καθεξῆς πρὸς ὑμᾶς.

X. Ὁ γάρ τοι Παῦλος εἰς ἁγιασμὸν ἐκκαλούμενος πάντας καὶ
σωφροσύνην, ταύτῃ τὸ κατὰ τὸν πρωτόπλαστον καὶ τὴν Εὔαν | κατὰ 77
δευτέραν ἐπαπόρησιν εἰς Χριστὸν ἀνηκόντισε καὶ τὴν ἐκκλησίαν πρὸς τὸ τοὺς ἀνεπιστήμονας κατασιγᾶσθαι γυμνουμένους προφάσεων. ἀκολασταίνοντες γὰρ διὰ τὰς ὑπερβαλλούσας ῥύσεις ἐν αὐτοῖς τῶν ἡδυπαθειῶν παρὰ τὸν ὀρθόδοξον βιάζεσθαι τολμῶσι λογισμὸν τὰς γραφάς, ὥσπερ ἔρυμα προανατείνοντες ἀκρασίας τό τε »εἶπεν ὁ θεός· αὐξάνεσθε καὶ πληθύνεσθε« καὶ τό »ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα«, οὐδὲ αἰσχύνονται κατατρέχοντες τοῦ πνεύματος, ἀλλ' ὥσπερ ἐπὶ τούτῳ γεγονότες, ἐντυφόμενον ἔτι καὶ ἐνθωπεύοντα τὸν οἶστρον ἀναρριπίζουσιν ἐξάπτοντες ἐρεθι-
σμοῖς. διὸ δὴ μάλα δριμέως τὰς ἐπικλόπους ταύτας | αὐτῶν κακοφρο- 78
σύνας τε καὶ πεποιημένας προφάσεις ἐκκόπτων, ἐλθὼν εἰς τὸ διατάξασθαι, πῶς δέοι προσφέρεσθαι τοὺς ἄνδρας ταῖς γυναιξί, καὶ ἀποφηνάμενος, ὅτι οὕτως ὥσπερ καὶ ὁ Χριστὸς τῇ ἐκκλησίᾳ, »ἑαυτὸν παραδιδοὺς« ὑπὲρ αὐτῆς, »ἵνα αὐτὴν ἁγιάσῃ καὶ καθαρίσῃ τῷ λουτρῷ

1 I Kor. 4, 15 — **3. 10** Ephes. 5, 32 — **8** vgl. I Tim. 2, 15 — **14** Gen. 1, 28. 2, 24 — **18** vgl. De lepra 5, 2 — **22** Ephes. 5, 25f

15ff Phot. Bibl. 237 S. 308b, 7—10

1 *μορφ.—πάλιν* leerer Raum M | *μορφ.—ὑμῖν* Z. 2 unleserl. O | *Χρ. ἐν ὑ. μορφ.* Ph **1f** *ἐγὼ ὑ. ἐγένν. διὰ τ. εὐαγγ.* B **2** *εὐαγγελίου* O 48v | *ν εἰς* unleserl. O **4** *μα κ. τὸν* unleserl. O **5** *ὑπ . . κόσμιον* O **7** *τὰ καθεξῆς* O: *τὰ ἑξῆς* P Jh **10** *ἀνηκόντησε* P **11** *ἀνεπηστήμονας* B | *γυμνουμένους* O: *γυμνοὺς* P Jh mit Pl Pol. IX, 577 B **12f** *ἡδυπαθημάτων* O **14** *τό τε*] *τε* < O: *ὅτι* Al **15ff** *αὐξάνεσθε*] *ἀλλὰ καὶ τὸ »αὐξάνεσθε καὶ πληθύνεσθε« οὐκ ἐπὶ τῶν ἐκ σπέρματος καὶ μίξεως γεννωμένων ἀνθρώπων καὶ σιτίοις αὐξανομένων* (*αὐξομ.* A) *φησὶν εἰρῆσθαι μόνον, ἀλλὰ καὶ* (< A) *περὶ τῶν κατὰ πνεῦμα τελειουμένων καὶ γεννωμένων, καθὼς καὶ Παῦλος* usw. (s. ob. S. 37, 16) Ph **16** *αὐτοῦ* nach *πατέρα* + O | *οὐδὲ* P 169v **17** (*ὥσ*)*περ* unleserl. O, *ὡς* M | *ἐπὶ τούτω* O: *ἐπὶ τοῦτο* P | *ἐντυφφόμενον* (ab. m. Zeich., daß ein *φ* zu tilgen) B: *ἐντυφώμενον* M Al (nicht O) **18** *ἐνθωκεύοντα* Cb: *ἐμφωλεύοντα* Jh **19** *καὶ* vor *μάλα* + B Jh **21** *καὶ* vor *ἀποφ.* < Jh **22** *καὶ* vor *ὁ* < P **23** *παραδιδοὺς* P: *παραδοὺς* O | *κα . . ρ . σας* O: *καὶ καθαρίσῃ* P

τοῦ ὕδατος ἐν ῥήματι«, ἀνέδραμεν εἰς τὴν Γένεσιν ἐπιμνησθεὶς τῶν περὶ τὸν πρωτόπλαστον ῥητῶν, ἐξομαλίζων εἰς τὸν προκείμενον αὐτῷ καὶ αὐτὰ νοῦν τῆς ὑποθέσεως, ὅπως μὴ παράσχῃ λαβὴν τοῖς κεφαλαίοις καταχρῆσθαι τούτοις τοὺς πρεσβεύοντας προφάσει τεκνογονίας σωμάτων παρατριβάς.

XI. *Ἐπισκέψασθε γὰρ ὅτι σωφρονεῖν, ὦ παρθένοι, κατὰ κράτος θέλων τοὺς πεπιστευκότας διὰ πολλῶν αὐτοῖς τεκμηρίων ὑπεμφαίνειν πειρᾶται τὸ ἀξίωμα τῆς ἁγνείας· ὁτὲ | μέν »περὶ δὲ ὧν ἐγράψατέ* 79
μοι« λέγων »καλὸν ἀνθρώπῳ γυναικὸς μὴ ἅπτεσθαι«, αὐτόθεν δείκνυσι ἤδη περιφανῶς τὸ μὴ προσψαύειν γυναικὸς εἶναι καλόν, προτάξας αὐτὸ καὶ προεκθέμενος ἀπολελυμένως. εἶτα τὴν ἀσθένειαν αὖθις συνιδὼν καὶ τὴν ὑπέκκαυσιν τῶν ἀκρατωτέρων τὴν εἰς συνουσίαν, συνεχώρησε τοῖς μὴ δυναμένοις ἄρχειν σαρκὸς χρῆσθαι ταῖς ἑαυτῶν ὁμεύνοις μᾶλλον ἢ παραπίπτοντας ἀσχημόνως ἐκχεῖσθαι περὶ πορνείας. ἀμέλει μετὰ τὸ ἐπιτρέψαι ταῦτα παρήγαγεν εὐθέως τόδε »ἵνα μὴ πειράζῃ ὑμᾶς ὁ σατανᾶς διὰ τὴν ἀκρασίαν«, ὅπερ ἐστίν· εἰ δὲ μὴ δύνασθε, ὦ οὗτοι, παντάπασι σωφρονεῖν διὰ τὴν ἀκρασίαν καὶ τὴν ὑγρότητα τῶν σωμάτων, | ἐπέτρεψα μᾶλλον ταῖς σφῶν αὐτῶν 80
κοινωνεῖν γαμεταῖς, καὶ ἵνα μὴ ἐγκράτειαν ἐπαγγέλλεσθαι νομιζόμενοι πειράζησθε συνεχῶς ὑπὸ τοῦ πονηροῦ, εἰς ἀλλοτρίας ἐκφλεγόμενοι.

5 vgl. De res. I, 61, 1 — **8** I Kor. 7, 1. — **16** I Kor. 7, 5 — **18** Plato Tim. 86 D — vgl. Symp. S. 300 Al

1 *ὕδατο .* O | *Γένε(σιν ἐπι)μνησ(θεὶς)* unleserl. O **2** *(ἐξομαλί)ζων — προκείμ(ενον)* unleserl. O **3** *(ὑποθέσε)ως — παράσχῃ* unleserl. O | *βλάβην* P **4** *κεφαλαίοις* < O | *καταχρήσασθαι* viell. richtig P Jh | *(τού)τοις* O | *τοὺς* < O **4f** *(πρεσβεύον)τας — τεκν(ογονίας)* unleserl. O **4** *πρεσβεύουσι* Al, corrig. in M | *προφ.] τὰς περὶ* M Al **5** *παρατριβάς* O De res. I, 61: *περιτριβάς* P, *διατριβὰς* Al **6** *γὰρ — κα(τὰ)* unleserl. O **7** *(θέ)λων* unleserl. O | *(πεπιστευ)κότας — ἁγνείας* Z. 8 (außer *τεκμηρίων*) unleserl. od. sehr undeutl. O **7f** *ὑπεμφ. πειρ.] ὑπεφήνατο ὁρᾶσθαι* M Al **8** *ὁτὲ* O 49 | *μέν περὶ* unleserl. O | *ἔγραψε* B **9** *μοι* < P | *λέγων* u. *ἀνθρώπῳ* undeutl. O | *. πτεσθαι* O **9f** *δεικνὺς* P Jh **10** *ἤδη* < O | *γυναικὸς εἶν(αι)* unleserl. O **11** *ἀσθένειαν* P 170 **12** *ἀκρατοτέρων* B, *ἀκρατόρων* O wie 44, 3 | *τὴν* < P **14** *αὐτῶν* P | *ἐκχύσθαι* P **15** *εὐθέως* [*παρήγαγε* P Jh **15f** *τοῦτο δὲ* O, *τόδε* P Jh **16** nach *ἀκρασίαν* + *καὶ τὴν ὑγρότητα*, ab. eingeklammert B **17** *δὲ* < P Jh | *παντάπασι* < O **18** *τὴν* vor *ὑγρότητα* < O Jh | Pl *(ἕξιν) ἐν σώματι ῥυώδη καὶ ὑγραίνουσαν* | *ἐπέτρεψα* O: *ἐπέτρεψε* P: *ἐπιτρέψω* Po Cb Jh **19** *καὶ μὴ ἵνα* P: *ἵνα μὴ καὶ* Cb Jh | *ἐπαγγ. νομ.] ἐπαγγελλόμενοι* P **20** *πηράζησθε* B

XII. Φέρε γὰρ αὐτὰ τὰ κείμενα διαθρήσωμεν ἐπιμελέστερον, ὅτι
μὴ ἀπολελυμένως ὁ ἀπόστολος ἐπένευσε ταῦτα τοῖς πολλοῖς, ἀλλὰ
προσθεὶς τὴν αἰτίαν πρότερον, δι' ἣν εἰς τοῦτο παρήχθη. ἀποφηνά-
μενος γοῦν »καλὸν εἶναι ἀνθρώπῳ γυναικὸς μὴ ἅπτεσθαι« εὐθέως
παρήγαγε »διὰ δὲ τὰς πορνείας ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω«,
τουτέστι διὰ τὴν ἀνάγκην τῆς πορνείας, εἰ μὴ φέρετε κολάζειν τὴν
ἡδονήν, »καὶ ἑκάστη γυνὴ τὸν ἴδιον ἄνδρα ἐχέτω. τῇ γυναικὶ ὁ ἀνὴρ |
τὴν ὀφειλὴν ἀποδιδότω, ὁμοίως δὲ καὶ ἡ γυνὴ τῷ ἀνδρί. ἡ γυνὴ 81
τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ' ὁ ἀνήρ· ὁμοίως δὲ καὶ ὁ
ἀνὴρ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ' ἡ γυνή. μὴ ἀποστε-
ρεῖτε ἀλλήλους, εἰ μή τι ἂν ἐκ συμφώνου πρὸς καιρόν, ἵνα σχολάζητε
τῇ προσευχῇ· καὶ πάλιν ἐπὶ τὸ αὐτὸ συνέρχεσθε, ἵνα μὴ πειράζῃ ὑμᾶς
ὁ σατανᾶς διὰ τὴν ἀκρασίαν. τοῦτο δὲ λέγω κατὰ συγγνώμην, οὐ
κατ' ἐπιταγήν«. τεθεωρημένως δὲ σφόδρα καὶ τοῦτο. »κατὰ συγ-
γνώμην« γὰρ ἐπεσημήνατο συμβεβουλευκέναι νῦν, καὶ »οὐ κατ' ἐπι-
ταγήν«, ἐπειδὴ τὴν μὲν ἐπιταγὴν ἐπὶ τῆς σωφροσύνης καὶ τοῦ μὴ
ἅπτεσθαι γυναικὸς παραλαμβάνει, τὴν δὲ συγγνώμην ἐπὶ τῶν μὴ δυνα- 82
μένων, ὡς ἔφην, κολάζειν τὴν ἐπιθυμίαν. καὶ περὶ μὲν οὖν μονο-
γάμων τε καὶ μονογαμίδων, ὧν ἡ συζυγία ἕως ἔτι καὶ αὖθις, ταῦτα
νομοθετεῖ· περὶ δὲ τῶν ἀποβαλομένων ἤδη ⟨τὰς⟩ γαμετὰς ἀνδρῶν ἢ γυ-
ναικῶν τοὺς σύζυγας πάλιν αὐτὴν ἀκριβῶς ἐξιχνευτέον τοῦ ἀποστόλου
τὴν φωνήν, ὅ τί ποτε χρησμῳδεῖ. »λέγω δὲ τοῖς ἀγάμοις καὶ ταῖς
χήραις· καλὸν αὐτοῖς, ἐὰν οὕτως μείνωσιν, ὡς καὶ ἐγώ. εἰ δὲ οὐκ
ἐγκρατεύονται, γαμείτωσαν· κρεῖσσον γὰρ γαμῆσαι ἢ πυροῦσθαι.«

4 I Kor. 7, 1 — **5** I Kor. 7, 2 — **7** I Kor. 7, 2—6 — **17** vgl. Tert. De exhort. cast. 3. De monog. 11. De pud. 16 — **22** I Kor. 7, 8. 9

2 μὴ] οὐκ P **3** δι' ἣν < O | παρήχθη] περιηνέχθη viell. richtig O **4** γυν. ἀνθρ. O **9** σώματος P 170v | ὁ ἀνήρ — ἀλλ' Z. 10 < B (2 mal in V) **11** ἂν < P **12** (αὐ)τὸ unleserl. O | 'συνέρχεσθε] ἦτε P **13** διὰ τ. ἀκρ. undeutl. O **14** τεθεωρημένως unleserl. O **15** συμβ. — τοῦ Z. 16 in Lücke M | συμβεβουλ(ευκέναι) unleserl. O | νῦν undeutl. O | καὶ < Po Cb Jh **16** τὴν (μὲν ἐπι)ταγὴν unleserl. O | τοῦ? O, τὸ M Al **17** γυναικὸς (undeutl.) vor μὴ ἅπτ. O | λαμβάνει P Jh | τὴν δὲ O 49v | (συγγν)ώμην — (μὴ) δυναμέν(ων) undeutl. O **18** ὡς ἔφην < B | (κολάζ)ειν ausgelöscht O (a. Rd. M, i. Text κολάζεται) | καὶ + O | περὶ unleserl. O **19** (μονογαμ)ίδω(ν) unleserl. O | ὧν ἡ συζυγία < M Al, w. e. sch. auch O **20** δὲ τ. (ἀπ)οβαλο(μένων) unleserl. O | ἀποβαλλομένων P | τὰς + Kl **21** συζύγους B Jh | ἐξιχνεύω viell. richtig O **22** χρησμοδεῖ B, εῖ unleserl. O **23** αὐτοῖς O: αὐταῖς P, ab. vgl. S. 41, 2 | οὕτω B: < O | κἀγώ O **24** γαμησάτωσαν P Jh

*ἐπέμεινε καὶ ἐνθάδε προκρίνων τὴν ἐγκράτειαν. ἑαυτὸν γὰρ παρά-
δειγμα μέγιστον λαβὼν εἰς τὸ ζηλῶσαι τοὺς ἀκροατὰς προεκαλέσατο
ταύτην τὴν | ἔνστασιν, κρεῖττον εἶναι διδάξας τὸν ἐπὶ μιᾷ γαμετῇ* 83
*συνεζευγμένον ἐφ᾽ ἑαυτῷ μένειν, ὥσπερ δὴ καὶ αὐτός. εἰ δ᾽ αὖ τοῦτο
διὰ τὴν ἐκπύρωσιν καὶ τὴν ἀκμὴν τοῦ σώματος δυσκατόρθωτον εἴη
τινί, εἰς δεύτερον κατὰ συγγνώμην παρελθεῖν τὸν οὕτως ἔχοντα συγ-
κατατίθεται γάμον, οὐκ αὐτὸ τοῦτο τὴν διγαμίαν ἀποφηνάμενος εἶναι
καλόν. ἀλλ᾽ ἄμεινον κρίνας τῆς ἐκπυρώσεως. ὥσπερ γὰρ εἴ τις ἐν
ἡμέρᾳ τοῦ πάσχα καὶ τῆς νηστείας ἐπισφαλῶς νοσηλευομένῳ προσέ-
φερε τροφὴν καὶ ἐκέλευε διὰ τὴν ἀσθένειαν ἀπογεύεσθαι τῶν προσφε-
ρομένων τούτων, λέγων· Ὡς ἄρα τὸ μὲν ἀληθῶς, ὦ οὗτος, καλὸν †
ἐχρῆν ὥσπερ δὴ καὶ ἡμᾶς καὶ σὲ καρτερῶς διαμείναντα τῶν αὐτῶν . .
μεταλαβεῖν (ἀπηγόρευται γὰρ σήμερον διαίτης ἐπιμνησθῆναι τὸ σύν-* 84
*ολον)· ἀλλ᾽ ἐπειδὴ νόσῳ προκατασχεθεὶς ἐξησθένησας καὶ οὐ δύνῃ
φέρειν, ταύτῃ δὴ συγγνώμην ἀπονέμοντες συμβουλεύομεν σιτίων
ἐπορέξασθαί σε, ἵνα μὴ παντάπασι διὰ τὴν νόσον οὐ δυνηθεὶς ἀντι-
σχεῖν πρὸς τὴν ἐπιθυμίαν τῆς τροφῆς διαφθαρῇς· οὕτω δὴ καὶ ὁ
ἀπόστολος ἐνθάδε, πρότερον εἰπὼν ὅτι βούλοιτο πάντας ὑγιεῖς εἶναι
καὶ σώφρονας, ὥσπερ δὴ καὶ αὐτός, τὸ μετὰ ταῦτα τοῖς βεβαρημένοις
νόσῳ τῶν παθῶν, ἵνα μὴ πορνεύσαντες πάντῃ λυμανθῶσιν, οἰστρη-
λατούμενοι τῶν παιδογόνων μελῶν τοῖς γαργαλισμοῖς εἰς ἐπιμιξίας
ὀθνείων σπερμάτων, ἐπέτρεψε τὴν διγαμίαν, μᾶλλον κρεῖσσον αὐτὴν
εἶναι κρίνας τοῦ »πυροῦσθαι« καὶ ἀσχημονεῖν.*

8 vgl. Tert. De exhort. cast. 3 — **23** I Kor. 7, 9

3 *κρεῖττον* P 171 | *τὸν* < P **4** *ἐφ᾽ ἑαυτὸν* B | *εἰ δὲ τοῦτο* P **7** *τὴν* + O | *διγαμίας* B **8** *ἀλλὰ* P **9** *νοσιλευομένω* P, *νοσευομένῳ* B **10** *ἀπογεύσασθαι* viell. richtig P **10 f** *τούτων τ. προσφ.* P **11** *κακῶν* od. *καλῶν*? Kl **12** *ἐχρῆν* tilgt Wd | *αὐτ.*] + *πόνων*? Bo **13** *διαίτης* unleserl. O: *τροφῆς* M Al | *ἐπιμνησθεῖναι* B **14** *(ἐξ)ησθένησας* unleserl. O **15** *νέμοντες* P Jh | *συμβουλευόμεθα* P Jh, w. e. sch. O: *(συμ)βουλ.* unleserl. O **16** *νόσον* unleserl. O **16 f** *(δυν)ηθεὶς (ἀντ)ισχ. π(ρὸς τὴν ἐπι)θυμίαν* unleserl. O **17** *οὕτω — ἀπόστολος* Z. 18 unleserl. O | *δὴ* Kl: *δὲ* B V, ? P: < M Al Jh **18** *πρότερον* ausgelöscht O | *ὑγιεῖς — καὶ* Z. 19 unleserl. O: *οὕτως διαμεῖναι* (in Lücke) M Al Cb **19** *δὴ καὶ* unleserl. O **19 f** *(β)εβαρημ. νόσῳ* unleserl. O **20** *ἵνα — παιδογόνων* Z. 21 unleserl. O | *πορν. — λυμ.*] *πορνείαις μιανθῶσιν* in Lücke M Al Cb | *πορνεύ|σαντες* P 171v **21** *τ. παιδ.*] *τ. πάθων καὶ τῶν* in Lücke M, *τοῖς πάθεσι καὶ τῶν* Al | *μελῶν* (*με* undeutl.) O 50 **22** *σπερμάτων* unleserl. O: *σωμάτων* Al (? M) **23** *πυρακτοῦσθαι* O

XIII. *Καὶ | περὶ μὲν ἐγκρατείας καὶ γάμων καὶ σωφροσύνης καὶ* 85 *κοινωνίας ἀνδρῶν, καὶ ἐν τίνι τούτων τὸ ὠφέλιμόν ἐστιν εἰς δικαιοσύνης κατασκευήν, σχεδὸν ἤδη μοι τέλος ἔχει· περὶ δὲ παρθενίας εἰρῆσθαι λείπεται λοιπόν, εἴ τι καὶ περὶ ταύτης ἄρα διαθεσμοθετεῖται. οὐκοῦν καὶ τούτων πέρι διαληπτέον. ἔχει γὰρ ὧδε· »περὶ δὲ τῶν παρθένων ἐπιταγὴν κυρίου οὐκ ἔχω· γνώμην δὲ δίδωμι, ὡς ἠλεημένος ὑπὸ κυρίου πιστὸς εἶναι. νομίζω οὖν τοῦτο καλὸν ὑπάρχειν διὰ τὴν ἐνεστῶσαν ἀνάγκην, ὅτι καλὸν ἀνθρώπῳ οὕτως εἶναι. δέδεσαι γυναικί; μὴ ζήτει λύσιν. λέλυσαι ἀπὸ γυναικός; μὴ ζήτει γυναῖκα. ἐὰν δὲ καὶ λάβῃς, οὐχ ἥμαρτες, καὶ ἐὰν γήμῃ ἡ παρθένος, | οὐχ ἥμαρτε· θλίψιν δὲ ἕξουσι τῇ σαρκὶ οἱ τοιοῦτοι. ἐγὼ δὲ ὑμῶν* 86 *φείδομαι.« λίαν εὐλαβῶς τὸν περὶ παρθενίας εἰσηγησάμενος λόγον καὶ μέλλων συμβουλεύειν γαμίζειν τὴν ἑαυτοῦ παρθένον ὅτῳ φίλον, ὅπως δὴ μηδὲν τῶν εἰς ἁγιασμὸν ἀναφερομένων κατ᾽ ἀνάγκην γένοιτο καὶ βίαν, ἀλλὰ κατὰ πρόθεσιν αὐτεξούσιον ψυχῆς (τοῦτο γὰρ πρόσφορον θεῷ), οὐ βούλεται ἐξ αὐθεντίας αὐτῷ ταῦτα καὶ γνώμης λελέχθαι τοῦ κυρίου, τουτέστι τὸ γαμίζεσθαι τὴν παρθένον. ἀμέλει φήσας »ἐὰν δὲ καὶ γήμῃ ἡ παρθένος, οὐχ ἥμαρτε« σχεδὸν πάλιν ὑπευλαβηθεὶς ἀνετάραξε τὴν συγκατάθεσιν, κατὰ συγγνώμην ἀνθρωπίνην ὑπεμφαίνων ταῦτα συμβεβουλευκέναι, ἀλλ᾽ οὐ κατὰ θείαν. εὐθέως | γοῦν μετὰ τὸ εἰπεῖν »καὶ ἐὰν γήμῃ ἡ παρθένος, οὐχ ἥμαρτε« ἐπήγαγε* 87 *τό »θλίψιν δὲ ἕξουσι τῇ σαρκὶ οἱ τοιοῦτοι. ἐγὼ δὲ ὑμῶν φείδομαι«, ὅ δή ἐστιν· ἐγὼ φειδόμενος ὑμῶν, ὦ οὗτοι, ταῦτα συνεθέμην,*

1 Symp. S. 25, 3. 33, 17. 19. S. 182. 194 Al. De res. I, 25, 1. 39, 5. Plato Symp. 196 D — **5** I Kor. 7, 25—28 — **12** vgl. Plato Eryx. 395 E — **15** vgl. Phil. 4, 18. I Tim. 2, 3 — **16** I Kor. 7, 25 — **18. 21** I Kor. 7, 28

2 *ἀνδρῶν* unleserl. od. < O; < M Al **3** *ἤδη* unleserl. O **4** *εἰρῆσθαι*] *αἱρεῖσθαι* P **4 f** *διαθεσμοθεῖται* Cb Jh **5** *διαλ.*] s. d. Stellen im Index **6** *(γνώμ)ην δὲ* unleserl. O **7** *καλὸν — ἀνάγκην* Z. 8 < O **10** *γυναῖκα* nach *λάβῃς* + P (nicht B) | *καὶ ἐὰν — ἥμαρτε* Z. 11 < P **12** Pl *εἰσηγεῖ τὸν λόγον* **13** *ἑαυτοῦ* < O, ab. + *τὴν ἑαυτοῦ* nach *φιλόν* **14** *δὴ* + O | *ἀναφερομένων* O: *φερομένων* P Jh **15** *ψυχῆς* P 172 **16** *αὐτοῦ* P | *ταῦτα* u. *λελέχθαι* < P **17** *τοῦ* < O **18** *ἐ(ὰν)* unleserl. O **18 f** *ἐπευλαβηθεὶς* P, *ἀπευλαβηθεὶς* B **19** Pl Phaed. 88 C *ἀναταράξαι* | *(συγκατά)θεσιν* unleserl. O **20** *κατὰ* unleserl. O (*κατ᾽ εὐθεῖαν* M Al) **21** *οὖν* O | *(παρ)θένος — ἐπήγα(γε)* unleserl. O **21 f** *ἐπήγαγεν τὸ οὐχ ἥμαρτε* P **22** *τῇ σαρκὶ ἕξουσιν* P (nicht B) | *ὑμῶν — ὅ* unleserl. O **23** *ἐγὼ δὲ* O NT Jh: *ἐγὼ γὰρ* P **23 f** *(συν)εθέμην ἐπ. οὕ(τως)* unleserl. O: *συνεθ. δήπου οὕτως* M Al

*ἐπειδήπερ οὕτως αὐτοὶ φρονεῖν εἵλεσθε, ὅπως δὲ μὴ δόξω κατὰ βίαν
ἐπισπέρχειν ὑμῶν εἴς τοῦτο καὶ καταναγκάζειν τινάς. ὅμως δὲ εἰ
καὶ ταύτην φίλον ὑμῖν μᾶλλον τρέπεσθαι ἀποδυσπετήσαντας ἁγνείαν
βαστάσαι, καὶ οὕτως λυσιτελεῖν ἡγοῦμαι κρατεῖν ὑμᾶς τῶν τῆς σαρ-
κὸς ἐρεθισμῶν, μὴ παραχρωμένους διὰ τὸ γεγαμηκέναι τοῖς ἑαυτῶν
σκεύεσιν εἰς ἀκαθαρσίαν. ἐπιφέρει γοῦν »τοῦτο δέ φημι, ἀδελφοί,
ὁ καιρὸς λοιπὸν συνεσταλμένος ἐστίν, ἵνα καὶ οἱ ἔχοντες γυναῖ-
κας ὡς | μὴ ἔχοντες ὦσιν.« εἶτα αὖθις ἐπιμένων καὶ προκαλούμενος* 88
*ἐπὶ τοῖς αὐτοῖς ἐπεξειργάσατο τὸν λόγον, ἰσχυρῶς κρατύνων τὴν
ἔνστασιν τῆς παρθενίας. ῥητῶς γοῦν τὰ ἑξῆς ἐπισυνάψας τοῖς προ-
ειρημένοις ἐπεφώνησε »θέλω δὲ ἀμερίμνους ὑμᾶς εἶναι. ὁ ἄγαμος μεριμνᾷ
τὰ τοῦ κυρίου, πῶς ἀρέσει τῷ κυρίῳ· ὁ δὲ γαμήσας μεριμνᾷ τὰ τοῦ κόσμου
πῶς ἀρέσει τῇ γυναικί. καὶ μεμέρισται καὶ ἡ γυνὴ καὶ ἡ παρθένος. ἡ
ἄγαμος μεριμνᾷ τὰ τοῦ κυρίου, ἵνα ᾖ ἁγία καὶ σώματι καὶ πνεύματι·
ἡ δὲ γαμήσασα μεριμνᾷ τὰ τοῦ κόσμου, πῶς ἀρέσει τῷ ἀνδρί.« πᾶσι
γὰρ ἀναμφισβητήτως ἐστὶ καταφανές, ὡς ἄρα μεριμνᾶν τὰ τοῦ | κυ-* 89
*ρίου καὶ ἀρέσκειν τῷ κυρίῳ πολλῷ ἄμεινον τοῦ μεριμνᾶν ἐστι τὰ τοῦ
κόσμου καὶ ἀρέσκειν τῇ γυναικί. τίς γὰρ οὕτως ἠλίθιος καὶ πηρὸς
τὰς ὄψεις, ὃς οὐκ αὐτόθεν αἴσθεται τὴν παραίνεσιν τοῦ Παύλου τὸ
πλέον ῥέπουσαν εἰς ἁγνείαν; »τοῦτο γάρ« φησί »πρὸς τὸ ὑμῶν αὐτῶν
συμφέρον λέγω, οὐχ ἵνα βρόχον ὑμῖν ἐπιβάλω, ἀλλὰ πρὸς τὸ εὔ-
σχημον«.*

5 vgl. I Thess. 4, 4 — **6** I Kor. 7, 29 — **11** I Kor. 7, 32—34 — **20** I Kor. 7, 35

1 *οὕτ. αὐτοὶ* O: *ταῦτα οὕτω* P Jh | *ὅπως* unleserl. O | *δὲ* < Cb Jh | (*δό*)*ξω — ἐπισπέρ*(*χειν*) Z. 2 unleserl. O **1f** *κατὰ β. ἐπισπ.*] *μάχεσθαι καὶ κατατρέχειν* M Al **2** *ἀναγκάζειν* Cb Jh | *ὅπως* P | *δὲ — ὑμῖν* Z. 3 unleserl. O: *δὲ ἐπειδὴ ἐπὶ τὸ γαμεῖν* M Al **3** *τρέπεσθε* Al | (*ἀποδυσπετή*)*σαντας — λυσιτελεῖν* Z. 4 unleserl. O **3f** *ἁγν. βαστ. καὶ*] *ὑμᾶς ὁρῶν* M Al **3** *ἁγνείας* B **4** *βαστάζειν* M Al Jh | *οὕτω* B Jh | *ὑμᾶς* < O **5** *ἐρεθ. — φημι* Z. 6 außer (*γεγαμη*)*κέναι τοῖς* u. *τοῦτο* unleserl. O | *μὴ παρ.*] *ἵνα μὴ περιπέσωμεν* M Al | *διὰ τὸ γεγ.* < M, *εἰς ἐπιθυμίας κενάς* Al | *τοῖς*] *παρὰ*? + M **6** *σκεύεσιν*] *ἁρμούμενοι* + M, *ἀρκούμενοι* + Al | *ἀκαθ.* < Al, *ἐπιθυμίας κενὰς* M | *ἐπιφ. γοῦν*] *καὶ πάλιν* M Al | *φημι*] *λέγω* M Al | *ἀδελφοί* O 50v **7** *ὅτι ὁ* P | *συνεστ. λοιπὸν* B Jh: *λοιπὸν* < P **8** *προσκαλ.* B **9** *ἐπε*|*ξειργάσατο* P 172v | *ἰσχύι, ὡς* P **10** . . *στασιν* O **11** *δὲ* + O | *ὑμᾶς ἀμερ.* P Jh **12** *κυρίου — τὰ τοῦ* a. Rd. v. 2. Hd. in P | *πῶς — κυρίῳ* < Cb Jh **13** *καὶ μεμέρισται — παρθένος* < B | *καὶ* vor u. nach *μεμέρ.* < P **14** *καὶ* vor *σώματι* < P **17** *τῷ κυρίῳ*] *τῷ θεῷ* P; a. Rd. in B, i. Text *τῇ γυναικί* | *τ. μεριμνᾶν*] *ἐστὶ* + O | *τοῦ* < O **18** *γυν.*] ob + *ἢ τῷ ἀνδρί*? Kl **20** *αὐτῶν* < B Al Jh **21** *περιβάλω* O

XIV. Ἐπίστησον δὲ πρὸς τοῖς εἰρημένοις ὅπως καὶ θεοδώρητον
εἶναι τὸ τῆς παρθενίας ἐπιτήδευμα παρεγγυᾷ· ὅθεν τοὺς κατὰ πρό-
φασιν κενοδοξίας τῶν ἀκρατεστέρων ἐπὶ τοῦτο παρεληλυθότας ἀπο-
βάλλεται συμβουλεύων γαμεῖν, ἵνα μὴ καιρῷ τῆς ἀκμῆς σφυγμοὺς καὶ
φλεγμονὰς παρεχούσης αὐτοῖς τῆς σαρ|κὸς ἀσχημονῶσιν οἰστρηλατού- **90**
μενοι τὴν ψυχήν. τί γὰρ παραδίδωσιν ἐπισκεπτέον. »εἰ δέ τις
ἀσχημονεῖν ἐπὶ τὴν παρθένον αὐτοῦ νομίζει« φησίν »ἐὰν ᾖ ὑπέρακ-
μος, καὶ οὕτως ὀφείλει γενέσθαι, ὃ θέλει ποιείτω, οὐχ ἁμαρτάνει·
γαμείτωσαν«, οἰκείως ἐνταῦθα προκρίνων τὸν γάμον τῆς ἀσχημοσύ-
νης ἐπὶ τῶν ἑλομένων μὲν παρθενεύειν, δυσανασχετούντων δὲ τὸ
μετὰ ταῦτα καὶ ἀποκαμνόντων, καὶ λόγῳ μὲν δι' αἰδῶ τὴν πρὸς
τοὺς ἀνθρώπους αὐχούντων ἐπιμένειν, ἔργῳ δὲ οὐδὲ μακρότερον
ἐνδιατρίψαι δυναμένων. τῷ μέντοι αὐτοκρατορικῇ καὶ αὐθαιρέτῳ
κρίνοντι προθέσει »τηρεῖν τὴν ἑαυτοῦ« σάρκα »παρθένον« καὶ μὴ ἔχοντι
»ἀνάγκην«, ὅπερ ἐστὶ πάθος ἐκκαλούμενον τὴν | ὀσφῦν εἰς συνουσίαν **91**
(εἶναι γὰρ δὴ καὶ διαφοράς, ὡς εἰκός, σωμάτων), τούτῳ διαμιλλω-
μένῳ καὶ διαθλοῦντι καὶ σπουδαίως ἐπιμένοντι τῇ ἐπαγγελίᾳ καὶ
ταύτην ἄριστα διαπεραινομένῳ παρακελεύεται μένειν καὶ τηρεῖν, τῇ
παρθενίᾳ τὰ πρωτεῖα νέμων. ὁ γὰρ δυνάμενος, φησί, καὶ φιλοτιμού-
μενος »τηρεῖν τὴν ἑαυτοῦ« σάρκα »παρθένον κρεῖττον ποιεῖ«, ὁ δὲ μὴ
δυνάμενος, »γαμίζων« δὲ νομίμως καὶ μὴ λαθροφθορῶν, »καλῶς«. καὶ

6 I Kor. 7, 36 — **14** I Kor. 7, 37 — **19** I Kor. 7, 37f

2 εἶναι < O **3** ἀκρατόρων wie S. 39, 12 viell. richtig O | ἐπὶ] εἰς (wie De res. I, 30, 5) O **5f** (οἰστρηλατού)μενοι unleserl. O **6** τῇ γὰρ παραδόσει P 173 **7** τῆς παρθένου Cb Jh | αὐτο . O **8** οὕτως undeutl. O **9f** (ἀσχη)μοσύνης — ἑλομεν(ων) unleserl. O **10** ἑλομ.] βουλομένων M Al | (παρθ)ενεύειν unleserl. O **11** ταῦτα κ. ἀποκ. unleserl. O | καὶ vor καμν. (ἀποκ.), αὐχούντων u. ἔργῳ v. 2. Hd. in Lücke eingetragen M | ἀποκαμόντων B Jh: καμνόντων M Al | λογ . O | δι' αἰδῶ O P: διὰ B | τὴν πρὸς < B **12** τοὺς < O Ausgg. | (αὐχ)ούντων — μα(κρότ)ερον (ἐνδιατρί)ψαι Z. 13 u. (δ)υναμ. — ἔχοντι Z. 14 unleserl. O | αὐχ. u. ἔργῳ v. 2. Hd. in M | ἐπιμένειν < M Al **13** nach δυναμ. + τῷ εὐνουχισμῷ M Al Jh | τῷ μ. αὐτοκρ. < M Al **13f** τὸν . . κρίνοντα . . ἔχοντα P **13** αὐτοκρατορικῷ P **13f** κ. μὴ αὐθαιρέτως κρίνονται M Al **14** προθ. — παρθένον] οἱ τοιοῦτοι παρὰ τὴν ἐπαγγελίαν αὐτῶν M Al | ἔχοντες M Al **15** ἀνάγκην O 51 **16** δὴ + P **18** παρακελεύσεται B **19** παρθενίᾳ unleserl. O **19f** καὶ φιλοτ. φησὶ O **20** τηρεῖν auch nach σάρκα, ab. durch Punkte als zu tilgen bezeichnet in O **21** νομικῶς P | κ. μὴ λαθροφθ. < P

περὶ μὲν τούτων αὐτάρκως. λαβέτω δὲ μετὰ χεῖρας ὁ βουλόμενος τὴν πρὸς Κορινθίους ἐπιστολήν, καὶ καθ' ἕκαστον ὁμιλήσας τοῖς ἐγγεγραμμένοις, τότε καὶ τὰ ὑφ' ἡμῶν λεγόμενα σκεψάσθω ἀντιπαραβάλλων, εἰ μὴ συμφωνίας | πάσης ἔχονται καὶ ὁμοφροσύνης τῆς 92 *πρὸς αὐτά.*

Ταῦτά σοι κατὰ δύναμιν ὑπὲρ ἁγνείας, ὦ Ἀρετή, κἀγὼ συνεισφέρω.

ΕΥΒΟΥΛ. Σφόδρα διὰ πολλῶν, ὦ Γρηγόριον, μόλις εἰς τὸ προκείμενον ἀφίκετο, μακρότατον ἀναμετρησαμένη καὶ περαιωθεῖσα πέλαγος λόγων.

ΓΡΗΓ. Ἔοικεν οὕτως ἔχειν· ἀλλ' ἴθι καὶ τὰ λοιπὰ ἐφεξῆς μνημονεύσαντες μιμητικώτατα διέλθωμεν, ὧν ἔτι ἔναυλον τὴν ἀκρόασιν ἔχειν μοι δοκῶ, πρὶν ἀποπτῆναι καὶ διαφυγεῖν·

εὐεξάλειπτοι γὰρ νέων ἀκουσμάτων
μνῆμαι γερόντων.

ΕΥΒΟΥΛ. Ἀλλὰ λέγε· τούτων γὰρ καὶ ἐληλύθαμεν ἀσμένως ἀκουσόμενοι τῶν λόγων.

ΓΡΗΓ. Καὶ μὲν δή, καθάπερ εἶπας, μετὰ τὸ καταχθῆναι τὴν Θάλειαν | δρόμοις ἀκυμάντοις εἰς τὴν γῆν ἡ Θεοπάτρα ἐφεξῆς ὑπο- 93 *λαβοῦσαν ἑαυτὴν ἔφη εἰπεῖν τάδε.*

Λόγος δ'.

Θεοπάτρα.

I. ***Εἰ*** *μὲν ἐπὶ τῶν αὐτῶν, ὦ παρθένοι, διεξόδων ἡ σοφία τῆς λογικῆς ἵστατο τέχνης καὶ τὴν αὐτὴν ἀεὶ διεπορεύετο τρίβον, οὐδεμία ἂν ὑπῆρχε μηχανὴ τοῦ οὐκ ἀποκναίειν ἐπιχειροῦσαν τοῖς ἤδη*

1 vgl. Symp. S. 77, 4f. De autex. 12, 9 — **11** Plato Pol. V, 460 D — **12** vgl. Plato Menex. 235 C — **24** Plato Phaed. 86 A Legg. VI, 780 D

1 *μὲν* < O, nach *τούτων* Al | *μετὰ χειρὸς* Jh **3** *τότε* P 173v | *ἀφ' ἡμῶν* B **8** *Εὐβ.* u. *Γρηγ.* hier stets < O **9** *ἀφίκετο* < O | *μακρότερον* O **10** Pl Parm. 137 A *πέλαγος λόγων* **11f** Pl *ἐφεξῆς διέλθωμεν* | *μνημονεύσοντες* B V (? P) **12** *ὡς ἔτι* P | Pl *ἔναυλος ὁ λόγος* **14** *ἀκουμάτων* B **16** *καὶ* üb. d. Lin. in P **18** *Γρηγόρ.* B, *. εοπάτρα δ̄ος* O | *Καὶ*] *. αὶ* O (*Θ* u. *K* sollten mit anderer Tinte geschr. werden): *Ναὶ* B **19f** *ὑπολαβοῦσα* HSS: *ὑπολαβοῦσαν* Cb Jh; (vgl. S. 5, 2f) **21f** *Θεοπάτρα. λόγος δ̄ος* P, < O **24f** Pl Phaed. *οὐδεμία γὰρ μηχανὴ ἂν εἴη* **25** *(μη)χανὴ — ἀποκναίειν* unleserl. O | *τοῦ*] *μὴ* Al Jh | *ἀποκναίειν* HSS: *ἀποκνεῖν* Jh mit Pl Legg. *ἐπιχειρῶν λέγειν ἔοικας . . ἀποκνεῖν;*

προηγωνισμένοις. εἰ δὲ μυρίαι μὲν λόγων ὁρμαὶ καὶ διέξοδοι, »πολυμερῶς καὶ πολυτρόπως« ἐπεισπνέοντος ἡμᾶς τοῦ θεοῦ, τίς ἡ ἀποκλήρωσις ἐγκαλύπτεσθαι καὶ δειλιᾶν; οὐκ ἀνυπαίτιος γὰρ ὅτῳ μέτεστι χάριτος, ἐὰν τὰ καλὰ μὴ | κοσμῇ λόγοις εὐχαριστηρίοις. διὸ φέρε καὶ 94 ἡμεῖς ὑμνήσωμεν τῶν χαρισμάτων τὸ καλλιφεγγὲς ἄστρον καὶ τιμαλφέστατον τοῦ Χριστοῦ, τὴν ἁγνείαν. εὐρυτάτη γὰρ ἡ τοῦ πνεύματος αὕτη καὶ ἄφθονος ὁδός. πόθεν οὖν ἀπαρξάμεναι δὴ πρέποντα δόξομεν καὶ εἰκότα λέγειν τοῖς προκειμένοις, ἐντεῦθεν ἐπισκεπτέον.

II. Ἐγὼ γὰρ ἀκριβῶς ᾐσθῆσθαί μοι δοκῶ, ὅτι τῆς εἰς τὸν παράδεισον ἀποκαταστάσεως καὶ τῆς εἰς τὴν ἀφθαρσίαν μεταβολῆς καὶ τῆς πρὸς τὸν θεὸν καταλλαγῆς οὐδὲν αἴτιον οὕτως ἄλλο γέγονε καὶ σωτήριον ἀνθρώποις, τὸ στρατηγῆσαν ἡμᾶς εἰς ζωήν, ὡς ἁγνεία. πειράσομαι γὰρ ᾗ διανοοῦμαι περὶ τούτων ἐνδείξασθαι νῦν, ἵνα | σα- 95 φῶς τὴν δύναμιν τοῦ προειρημένου χαρίσματος ἀκούσασαι, πόσων ἡμῖν παρεκτικὸν ἀγαθῶν ἐγενήθη γνῶτε. τὸ γοῦν ἀρχαῖον, μετὰ τὸ μετοικισθῆναι τὸν ἄνθρωπον ἐκβληθέντα διὰ τὴν παράβασιν, τὸ ῥεῦμα τῆς φθορᾶς ἐπὶ πολὺ προσεχύθη καὶ φερόμενον σφοδρῶς

1 Plato Prot. 361 D — Hebr. 1, 1 — **8** s. ἐπισκεπτ. im Index — **12** vgl. Plato Symp. 193 B — **17** Plato Tim. 43f

3f SS Parall. S. 200 Holl

1 (μ)υρίαι — δι(έξοδοι) unleserl. O | μὲν λ. ὁ.] συναναφαίνονται τρίβοι (v. 2. Hd. in Lücke) M Al | μὲν < Jh **2f** ἐπεισπν. — ἀποκλ(ήρωσ)ις unleserl. O: ἐπιπνέοντος ἡμῖν τοῦ πνεύματος, τὶς ἀπ. (v. 2. Hd. in Lücke) M Al **3** ἐγκαλύ|πτεσθαι P 174: Pl Phaedr. 237 A ἐγκαλυψάμενος | οὐκ — εὐχαριστ. Z. 4 C (Ck). Lemma ἐκ τῶν αὐτῶν (vorherg. Symp. 7, 1) | οὐκ — μέτεστι unleserl. O (οὐκ ἂν ὑπ' ἀγνοίας ὀκνῆσαι μέτεστι M [ο ἂν ὑ. ἀ. ὀκνήσαιμεν τῆς Al]): ὑπαίτιος οὕτως μετέστη C **4** ἐὰν τὰ unleserl. O: καὶ τὰ M Al | κοσμοίη B, κοσμοῖ C: κοσμῆσαι M Al | λόγοις — χαρισμάτων Z. 5 unleserl. O: κ. τὰ φαῦλα μὴ διασκευάσαι (διασκεδάσαι Al [auch Cb]) καίπερ (καὶ πῶς Al) οὐκ ἐπαινέσαι τολμήσομεν τ. χαρ. v. 2. Hd. M Al | εὐχαρ.] πρὸς οἰκοδομὴν τῶν πυθομένων + C u. endet **5** ὑμνήσωμεν Jh: ὑπομνήσωμεν P | τὸ O 51v **9** αἰσθάνεσθαί viell. richtig O (αἰσθέσθαι Cb) **11** τὸν vor θεὸν + O | οὕτως αἴτιον P Jh **12** σωτήρ(ιον) undeutl. O | Pl ὁ Ἔρως . . στρατηγός **13** ᾗ] εἰ übergeschr. ῇ O **15** ἀγαθῶν παρεκτικὸν O **16** διὰ < P (ein Zeichen in B) **17 ff** Pl Tim. 43f ἐφέροντο . . ἀτάκτως μὴν ὅπῃ τύχοι προϊέναι . . . πολλοῦ γὰρ ὄντος τοῦ κατακλύζοντος καὶ ἀπορρέοντος κύματος . ., τὰ τῶν προσπιπτόντων παθήματα . ., ὅτε . . διὰ τοῦ σώματος αἱ κινήσεις ἐπὶ τὴν ψυχὴν φερόμεναι προσπίπτοιεν, αἳ δὴ . . αἰσθήσεις . . κέκληνται . . . αἷς δ' ἂν ἔξωθεν αἰσθήσεις τινὲς . . προσπεσοῦσαι συνεπισπάσωνται καὶ τὸ τῆς ψυχῆς ἅπαν κύτος, τόθ' αὗται κρατούμεναι κρατεῖν δοκοῦσι

συρμοῖς ἐξαισίοις οὐ μόνον ἔξωθεν ἀτάκτως παρεφέρετο προστυγχάνον, ἀλλ' ἤδη καὶ ἐπεισχεόμενον εἴσω κατέκλυζε τὰς ψυχάς. αἱ δὲ συνεχῶς τοῦτο πάσχουσαι κωφαὶ καὶ δυσμαθεῖς ἐφέροντο, κυβερνᾶν ἀπαλλαγήσασαι τὰ σφέτερα σκάφη παρὰ τὸ μὴ ἔχειν ἐφάψασθαι βεβαίου τινός. αἱ γὰρ αἰσθήσεις τῆς ψυχῆς, ὡς οἱ τούτων ἔφασαν ἐπιστήμονες, ἐπειδὰν τῶν ἔξωθεν προσπιπτόν|των παθῶν ἡττηθεῖσαι 96 προσδέξωνται τὰς ἐπιφορὰς τοῦ τῆς ἀνοίας ἐπικλύσαντος εἴσω κύματος, εὐθέως τῆς εὐθείας ὁρμῆς ἐμποδίζουσι σκοτωθεῖσαι τὸ πᾶν αὐτῆς εὐήνιον πορεύεσθαι κατὰ φύσιν κύτος. ὅθεν οὖν ὁ θεὸς οἰκτειρήσας ἡμᾶς ἔχοντας οὕτως καὶ οὔτε ἀνασχεῖν οὔτε ἀνασφῆλαι δυναμένους κατέπεμψεν ἐξ οὐρανῶν τὸ ἄριστον καὶ εὐκλεέστατον βοήθημα, τὴν ἁγνείαν, ὅπως ἐξ αὐτῆς ἀποδήσαντες ἡμῶν τὰ σώματα πλοίων δίκην γαληναίως ἔχωμεν ὁρμισθέντες τῆς φθορᾶς, καθὼς καὶ τὸ πνεῦμα τὸ ἅγιον μαρτυρεῖ. τοῦτο γὰρ ἐν τῷ ἑκατοστῷ τριακοστῷ ἕκτῳ φέρεται ψαλμῷ, ἔνθα ὕμνον εὐχαριστήριον ἀναπέμπουσιν ἱλαρῶς αἱ ψυχαὶ τῷ θεῷ, ὁπόσαι δὴ παραληφθεῖσαι καὶ κρατηθεῖσαι 97 περιπολοῦσιν ἤδη μετὰ Χριστοῦ τὸν οὐρανόν, ὅτι μὴ κατεσπάσθησαν ὑπὸ τῶν ὑλικῶν καὶ σωματικῶν ῥευμάτων. ἐντεῦθεν γὰρ καὶ τὸν Φαραώ φασι τύπον ἀπενέγκασθαι ⟨τὸν⟩ κατὰ τὴν Αἴγυπτον τοῦ διαβόλου, ἐπειδὴ τὰ μὲν ἄρρενα ἀφειδῶς εἰς τὸν ποταμὸν ἐκέλευε

5 Plato a. a. O. — **9** Symp. 10, 4. Plato Legg. II, 653 D — **10** vgl. De res. II, 13, 4. III, 9, 9. De lepra 7, 5 — **14** Psal. 136, 1. 2 — **17** Plato Phaedr 246 B — **19** Exod. 1, 16 — Orig. In Ex. hom. 2, 1

1 *ἐξαισίοις συρμοῖς* Al Jh **2** *ἐπισχεόμενον* B **3** *τοῦτο* < P | *δυσπαθεῖς* P **4** *ἀπαλαγήσασαι* O: *ἀπαλλαγεῖσαι* P 174v Jh **6** *παθω* . O **8** *εὐθέως τῆς . . ὁρμῆς* undeutl. O | *θείας* M Al Jh: *εὐθείας* P w. e. sch. O | (*ἐμποδίζ*)*ουσι* unleserl. O **9** *εὐήνιον* undeutl. O: *εὔδιον* M Al: Pl Phaedr. 247 B *εὐήνια* | *πορεύεσθαι*? O: *πορευθὲν* M Al Jh | *κῦτ . .* O | *οὖν* + O **9 f** Pl *θεοὶ οἰκτειρήσαντες . . ἔδοσαν* **10** *ἔχοντας — ἀν*(*ασχεῖν οὔ*)*τε* unleserl. O **11 f** (*βοήθ*)*ημα — αὐτῆ*(*ς ἀποδήσ*)*αντες* unleserl. O **12** *ἁγνείαν*] *παρθενίαν* M Al Jh | *ἀποδύσαντες* M Al | *σώμ*(*ατα*) unleserl. O **13** *δίκ. γαλ. ἔχωμεν* unleserl. O | *γαλήνην ἔχωμεν* (2. Hd.) M Al Jh | (*ὁρμισθ*)*έντες — φέρεται* Z. 15, außer *καθ*(*ὼς κ*)*αὶ τὸ* (vor *πνεῦμα*) und *τοῦτο . . ἐν τῷ*, unleserl. O | *ὁρμισθέντων* Al (? M) | *τῆς* < Jh: *ἄνευ* 2. Hd. M Al **14** *τὸ ἅγιον μαρτυρεῖ*] ganz anders 2. Hd. M Al | *τῷ* < B Jh **15** *φέρεται*] *δηλοῦται* M Al | *ψαλμῷ* O 52 **16 f** *κ. κρατηθεῖσαι* < P **17** Pl *οὐρανὸν περιπολεῖ* (*πᾶσα ψυχή*) **18** *τῶν* < B | Pl Tim. 44 B *τροφῆς ῥεῦμα* **19** *γὰρ* < P | *φησὶ* P | *τὸν* + Kl **20** *τοῦ* < Po Cb Jh | *εἰς τ. ποταμὸν* < P

ῥίπτεσθαι, τὰ δὲ θήλεα ζῳογονεῖσθαι. καὶ γὰρ καὶ ὁ διάβολος βασιλεύων »ἀπὸ Ἀδὰμ καὶ μέχρι Μωυσέως« τῆς μεγάλης Αἰγύπτου, τοῦ κόσμου, τὰ μὲν ἄρρενα καὶ νοητὰ τῆς ψυχῆς ἔκγονα ὑπὸ τῶν ῥευστῶν παραφέρεσθαι καὶ ἀναιρεῖσθαι παθῶν σπουδὴν ἔσχε, τὰ δὲ σαρκικὰ καὶ αἰσθητὰ αὐξάνεσθαί τε καὶ πληθύνεσθαι γλίχεται.

III. Ἀλλὰ γὰρ ἵνα μὴ πα[ρ]εκβαίνωμεν τοῦ προκειμένου, φέρε δὴ 98 τὸν ψαλμὸν ἐν χερσὶν ἐξηγησώμεθα λαβοῦσαι τοῦτον, ὃν αἱ καθαραὶ καὶ ἀλώβητοι ψυχαὶ προσᾴδουσι τῷ θεῷ, »ἐπὶ τῶν ποταμῶν« λέγουσαι »Βαβυλῶνος, ἐκεῖ ἐκαθίσαμεν καὶ ἐκλαύσαμεν ἐν τῷ μνησθῆναι ἡμᾶς τῆς Σιών. ἐπὶ ταῖς ἰτέαις ἐν μέσῳ αὐτῆς ἐκεῖ ἐκρεμάσαμεν τὰ ὄργανα ἡμῶν«· ὄργανα καλοῦσαι τὰ σκηνώματα σαφῶς ἑαυτῶν, ἃ ἀνεκρέμασαν ἀπὸ τῶν πεισμάτων τῆς ἁγνείας ἐξάψασαι τοῦ ξύλου, ἵνα μὴ δυνηθῶσιν ἐξαρπασθεῖσαι πάλιν παρασυρῆναι τῷ ῥεύματι τῆς ἀκρασίας· Βαβυλὼν γάρ, τάραχος ἢ σύγχυσις ἑρμηνευομένη, τὸν περίρρυτον βίον δείκνυσι τοῦτον, οὗ ἐν μέσῳ καθεσθέντες περικλυζόμεθα καθ' ὃν | ἐσμὲν ἐν τῷ κόσμῳ χρόνον, τῶν ποταμῶν τῆς κακίας 99 ἐφορμώντων ἀεί. διὸ καὶ περιδεεῖς ἐσμεν καὶ κατολοφυρόμεθα καὶ βοῶμεν μετὰ κλαυθμοῦ πρὸς τὸν θεόν, ἵνα μὴ κατολισθήσωσιν ἡμῶν ἀπορρηχθέντα τοῖς κύμασι τῆς ἡδονῆς ἀπὸ τοῦ φυτοῦ τῆς ἁγνείας τὰ ὄργανα. ἐν τύπῳ γὰρ τῆς παρθενίας τὴν ἰτέαν πανταχοῦ παραλαμβάνουσιν αἱ θεῖαι γραφαί, ἐπειδήπερ τὸ ἄνθος αὐτῆς εἰς ὕδωρ

2 Röm. 5, 14 — **3** Plato Theaet. 150 D — **5** vgl. Gen. 1, 28 — **7** Plato Pol. X, 611 BC — **8** Psal. 136, 1. 2 — **14** vgl. Gen. 11, 9

8—S. **49, 5** Phot. Bibl. 237 S. 308b, 22—39 — **11. 14. 20** Hier. In Psal. 136. PL 26, 1304

1 *καὶ* vor *ὁ διαβ.* < P **2** *καὶ* vor *μέχρι* < P Jh | *μωσέως* O: *μω|υσέως* P 175 **3** Pl *ψυχῆς ἔκγονον* **5** *ἀναίσθητα* P Jh **7** *ἐξηγησώμεθα ἐν χερσὶ* O Jh | Pl *οὐ λελωβημένον* (v. d. Seele) . ., *ἀλλ'* . . *καθαρὸν* **8** *ἐπὶ — ἡμῶν* Z. 11] Ph *ὅτι τὸ ἐπὶ τ. ποταμῶν Βαβυλῶνος καὶ τὰ* (< A) *ἑξῆς αἱ ψυχαί φησιν λέγουσιν* **10** *τῆς* < Jh | *ἐκεῖ* + O LXX cod. A **11** *ὄργ.*] *ἔστενον γὰρ* Ph[b] | *σαφῶς* (< Ph) *τὰ σκηνώματα* P Jh **12** *ἐκρέμασαν* Ph **13** *ἐξαψάμεναι* O **14 f** *περίρυτον* B **15** *καθεσθεῖσαι* O, übergeschr. . . *έντες* **16** *καθ' ὃν — χρόνον* < Ph **17** *ἀεὶ* < Ph | *περιδ. — κατολ. καὶ* < Ph **18** *κλαυθμῶν* B **18 f** *ἡμῶν ἀπορρηχθέντα* (*ἀπορραγέντα* 2. Hd. M Al) unleserl. O | **19** *κύμασιν* Ph | *φυτοῦ — γὰρ τῆς* unleserl. O **20** *ὄργανα — γὰρ*] *σώματα. τύπον δὲ* 2. Hd. M Al | *ἐν τύπω* P 175[v] **20 f** *παντ. παραλ. τὴν ἰτέαν* P Jh | *παραλ. αἱ θεῖαι* unleserl. O **21** *θεῖαι* < Ph | *αὐτῆς* auch Ph[ab] | *ὕδωρ — (ὀχ)είας (ἀναζ)εῖ* S. 49, 1 unleserl. O: ganz anders 2. Hd. M, ebenso Al, aber auch *ὕδωρ τριβὲν ἐὰν ποθῇ*

ἀποτριβέν, ἐὰν ποθῇ, πᾶν ὅσον εἰς ὀχείας ἀναζεῖ καὶ ἐρεθισμοὺς κατασβέννυσιν, ἔστ' ἂν εἰς ἄρδην ἀποστειρώσῃ καὶ ἄγονον ἀπεργάσηται πᾶσαν τὴν ἐπὶ παιδοποιίαν φοράν· ὥσπερ δὴ καὶ Ὅμηρος ἐμήνυσε, διὰ τοῦτο καλέσας ὠλεσικάρπους τὰς ἰτέας. | καὶ ἐν Ἡσαΐᾳ 100
δὲ οἱ δίκαιοι ὡς ἰτέα λέγονται φύειν ἐπὶ παραρρέον ὕδωρ. εἰς ὕψος γὰρ τότε τὸ τῆς παρθενίας ἔρνος μεγεθύνεται σφοδρῶς τε καὶ λαμπρῶς, ὁπόταν ὁ δίκαιος καὶ ἐγκεχειρισμένος τηρεῖν αὐτὴν καὶ ἐργάζεσθαι τοῖς ἠπιωτάτοις τοῦ Χριστοῦ νάμασιν ἀρδεύῃ, σοφίᾳ καταψεκάζων. ὃν γὰρ τρόπον τὸ δένδρον τοῦτο χλοηφορεῖν πέφυκεν ὕδατι καὶ βλαστάνειν, οὕτως ἐπανθεῖν ἀεὶ καὶ ἐπακμάζειν πιαινομένη λόγοις πέφυκεν ἡ παρθενία, ἵνα δὴ καὶ ἀνακρεμάσαι τὸ ὄργανον ἀπ' αὐτῆς ἑαυτοῦ δύνηταί τις.

IV. Εἰ οὖν οἱ ποταμοὶ τῆς Βαβυλῶνος τὰ ῥεύματα τῆς ἡδυπαθείας εἰσίν, ὥς οἱ σοφοί φασι, τὰ συγχύνοντα καὶ ταράσσοντα τὴν ψυχήν, ἀνάγκη τὰς ἰτέας εἶναι τὴν σωφροσύνην, ἀφ' ἧς ἀνακρεμῶντες
ἀν|έλκομεν τὰ ὄργανα τὰ παιδογόνα ταλαντούμενα κάτω καὶ βρίθοντα 101
τὸν νοῦν, ἵνα μὴ κατενεχθέντα περὶ τοὺς ὀχετοὺς τῆς ἀκρασίας σκωλήκων δίκην εἰς τοὺς ἰχῶρας ἐγχρίμπτωνται καὶ τὰς σηπεδόνας. χρησιμωτάτην γὰρ καὶ ἐπίκουρον εἰς ἀφθαρσίας κτῆσιν τὴν παρθενίαν ὁ θεὸς ἐδωρήσατο, σύμμαχον ἀποστείλας τοῖς ὀριγνωμένοις καὶ ποθοῦσι, καθὼς ὁ ψαλμῳδὸς ὑφηγεῖται, τὴν Σιών, ὅ δή ἐστι τὴν ἔκλαμπρον ἀγάπην καὶ τὴν περὶ αὐτῆς ἐντολήν, ἐπειδήπερ ἡ Σιὼν ἐντολὴ σκοπιᾶς ἑρμηνεύεται. — ὧδε γὰρ ἀναλογισώμεθα πάλιν καὶ τὰ ἑξῆς. τί δή ποτε ἐπηρωτῆσθαι πρὸς τῶν αἰχμαλωτιστῶν
ὁμολογοῦσιν αἱ ψυχαὶ τὴν ᾠδὴν ἐπὶ γῆς | ἀλλοτρίας ᾆσαι κυρίου ἢ 102

3 Odyss. 20, 510 — **4** Jes. 44, 4 (vgl. Hilar. In Psal. 136 § 7) — **8** vgl. Plato Tim. 75E — **14** Origenes? — Plato Phil. 63D — **16** Symp. 6, 4. 8, 2. 4. 10 — **17** Symp. 1, 1 S. 9, 9ff (8, 15. 19) — **19** Plato Symp. 180B — **20** Plato Axioch. 366 A — **23** Onom. s. 198, 64 Lagarde — **24** Symp. 5, 5. De lepra 9, 1 — **25** Psal. 136, 4

1 ἂν Ph | ἀναζῇ P Ph | καὶ ἐρ. O 52v | τοὺς vor ἐρεθ. + 2. Hd. M Al **2** ἀποσβέννυσιν Ph | εἰς tilgt Wd | καὶ — πᾶσαν Z. 3 < Ph **3** ἐπὶ τῇ παιδοποιίᾳ σποράν O | ὁ vor Ὅμ. + Ph^b **4** ἰτέας] es endet Ph **5** ἰτέα < O **6** τότε γὰρ O **7** ὅτ' ἂν P, ὅταν B **8** ἀρδεύηται P **11** ἡ < O | ἀπ'] ἐπ' O, ab. vgl. Z. 15 **12** δυνηθῇ O **13** οὖν] γὰρ O **14f** Pl τὰς ψυχὰς . . ταράττουσαι **15** ἀνακρεμνῶντες B **17** ἵνα P 176 **18** ἐγχρίπτονται B **19** Pl Ἔρωτα . . κυριώτατον εἶναι εἰς ἀρετῆς . . κτῆσιν **20** ὀρεγνυμένοις P | Pl ὀριγνωμένη **21** ψαλμὸς P Jh | τῇ σ. O **23** ἀναλογισόμεθα P, ἀναλογησώμεθα w. e. sch. B: ἀναλογισώμεθα Pl Prot. 332 D | πάλιν < B **25** γῆς] τῆς B | ἀλλοτρίας (ᾆσα)ι κυρίου unleserl. O | τοῦ κυρίου M Al

πάντως, ὅτι τὸ εὐαγγέλιον ἱερὰν ᾠδὴν εἶναι καὶ ἀπόρρητον διδάσκουσιν, ἣν οἱ ἁμαρτάνοντες καὶ μοιχώμενοι τῷ πονηρῷ προσᾴδουσιν; ἐξέρχονται γὰρ τὰς ἐντολάς, τὸ θέλημα »τῶν πνευματικῶν« τελοῦντες »τῆς πονηρίας«, καὶ ῥίπτουσι »τὰ ἅγια τοῖς κυσὶ καὶ τοὺς μαργαρίτας ἔμπροσθεν τῶν χοίρων«, ὃν τρόπον κἀκεῖνοι περὶ ὧν ὁ προφήτης δυσχεραίνων φησί· »καὶ ἀνέγνωσαν ἔξω νόμον«. οὐ γὰρ ὅτι τῶν πυλῶν ἔξω τῆς Ἱερουσαλὴμ ἢ τῶν οἰκιῶν ἀνεγίνωσκον ἐξιόντες οἱ Ἰουδαῖοι τὸν νόμον, διὰ τοῦτο δὴ καὶ ὁ προφήτης ἰσχυρῶς αὐτῶν κατηγορεῖ καὶ ὑπευθύνους ἐγκλήματι βοᾷ γεγονέναι, ἀλλ' ὅτι παρερχόμενοι τὰς ἐντολὰς καὶ ἀσεβοῦντες εἰς τὸν θεὸν ἐπιμεμορφα|σμένως **103** *μὲν ἀνεγίνωσκον δῆθεν ὡς εὐσεβεῖς τὰ προστάγματα, κατὰ ψυχὴν δὲ οὐκ ἐδέχοντο μετὰ πίστεως ἴσχοντες, ἀλλ' ἀπέπτυον »ἔργοις ἀρνούμενοι«. ἐντεῦθεν γὰρ τὴν ᾠδὴν ἐπὶ γῆς ἀλλοτρίας ᾄδουσι κυρίου, ταπεινότερον περιέλκοντες καὶ ἐξηγούμενοι τὸν νόμον, βασιλείαν αἰσθητὴν προσδοκῶντες, καὶ ἐπὶ γῆς ταύτης τῆς ἀλλοτρίας, ἣν παρελεύσεσθαι λόγος, τιθέμενοι τὰς ἐλπίδας, ἔνθα οἱ αἰχμαλωτίζοντες δελεάζουσιν ἡδοναῖς λοχῶντες πρὸς ἀπάτην.*

V. *Ἐοίκασι δὲ καὶ οἱ προσᾴδοντες τὸ εὐαγγέλιον ἄφροσιν »ἐπὶ γῆς ἀλλοτρίας« μελῳδεῖν »τὴν ᾠδὴν κυρίου«, ἧς μή ἐστιν ὁ Χριστὸς γεωργός. ἀλλ' αἱ τὸ καθαρώτατον καὶ φαιδρὸν καὶ ἀμιγὲς καὶ εὐλαβὲς καὶ εὐπρεπὲς τῆς παρθενίας ὑποδῦσαι καὶ ἀναλάμψα|σαι κάλλος,* **104** *καὶ στεῖραι καὶ ἄγονοι τῶν ῥευστῶν καὶ ἀλγεινῶν εὑρεθεῖσαι παθῶν, »ἐπὶ γῆς ἀλλοτρίας« οὐ μελῳδοῦσι »τὴν ᾠδήν«, ὅτι μὴ φέρονται τὰς ἐλπίδας τῇδε, μηδὲ προστετήκασι θνητῶν σωμάτων τρυφαῖς, μηδὲ ταπεινῶς κατασκέπτονται τὸν νοῦν τῶν ἐντολῶν, ἀλλ' εὖ καὶ γεν-*

3 Ephes. 6, 12; vgl. Orig. In Psal. 136. 13, 137 Lomm. (Hier. PL 26, 1305) **4** Mt. 7, 6 — De creat. 1 — **6** Amos 4, 5 — **12** Tit. 1, 16 — **14** vgl. S. 27, 16ff — **15** Mt. 24, 35 — **17** Plato Tim. 69 D — **19** vgl. De lepra 2, 4. Ignat. Ad Philad. 3, 1 — **25** vgl. Plato Gorg. 521 A. Theaet. 146 C. 151 E

1 *εἶναι κ. ἀπόρρητον* unleserl. O: *ε. ἀπὸ τούτων* 2. Hd. M Al **2** *πονηρῷ* unleserl. O **3** *ἐξέρχονται* O P, *ἐξάρχονται* B, *ἐξορχοῦνται* Jh: vgl. auch Z. 9f *γὰρ — τελοῦντες* unleserl. O | *τὰς ἐντ.*] *τῶν ἐντολῶν τοῦ κυρίου* 2. Hd. M Al | *τ. πν.* Kl: *τ. πνευμάτων* P Ausgg.: < M | *τελ.*] *κακῶς ἐπιτελοῦντες* M Al **4** *τῆς* O 53 **6** *τὸν* vor *νόμον* + O (< LXX) | *ὅτι*] *ἔτι* B **7** *ἢ* < P | *οἰκείων* P, *οἰκειῶν* B | *οἱ* < P (nicht B) **9** *ἀλλ'* P 176v **10** *εἰς* < P | *ἐπιμεμορφωμένως* P **13** *γῆς*] *τῆς* P Jh | *ἀλλοτρίας — κυρίου* < P **14** *βασιλείαν* in Abkürzung O (*βασιλίαν* M) **16** *αἰχμαλωτισταὶ* P Jh **20** *καθαρότατον* B **20f** *καὶ εὐλαβὲς* < O **23f** *ταῖς ἐλπίσι* viell. richtig Jh **25** *κατασκέψονται* P **25f** *γενναίως μετὰ* undeutl. O

ναίως μετὰ φρονήματος ὑψηλοῦ τὰς ἐπαγγελίας ἄνω περιαθροῦσι, τὸν οὐράνιον διψῶσαι καὶ σύμφυτον τόπον. ὅθεν ἀγάμενος αὐτῶν ὁ θεὸς τὰ φρονήματα »μεθ᾽ ὁρκωμοσίας« ἐξαιρέτους ἐπαγγέλλεται διδόναι τιμάς, »ἐν ἀρχῇ τῆς εὐφροσύνης« προανατάσσων καὶ προκαθιδρύων. λέγει γὰρ ὧδε »ἐὰν ἐπιλάθωμαί σου, Ἱερουσαλήμ, ἐπιλησθείη ἡ δεξιά μου. κολληθείη ἡ γλῶσσά μου τῷ | λάρυγγί μου, ἐὰν μή σου μνησθῶ, 105 ἐὰν μὴ προανατάξωμαι τὴν Ἱερουσαλὴμ ὡς ἐν ἀρχῇ τῆς εὐφροσύνης μου«, Ἱερουσαλὴμ τὰς ἀμιάντους αὐτὰς δὴ ταύτας, ὡς ἔφην, καὶ ἀπήμονας ψυχὰς εἶναι λέγων, αἵτινες ἄτρυγον τὸ τῆς παρθενίας αὐστηρῶς ἀμολύντοις χείλεσι σπασάμεναι πόμα, »ἑνὶ ἀνδρὶ παρθένον ἁγνὴν« καθαρμόζονται »παραστῆσαι Χριστῷ« κατ᾽ οὐρανόν, »τὸν τῶν ἀμιάντων ἄθλων ἀγῶνα νικήσασαι«. ταύτῃ γὰρ καὶ Ἡσαΐας ὁ προφήτης παρεγγυᾷ »φωτίζου, φωτίζου« λέγων »Ἱερουσαλήμ· ἥκει γάρ σου τὸ φῶς, καὶ ἡ δόξα κυρίου ἐπὶ σὲ ἀνατέταλκε«. ταῦτα δὲ τὰ ἐπαγγέλματα μετὰ τὴν ἐξανάστασιν τελεσιουργηθήσεσθαι δῆλον καὶ παντί. οὐ | γὰρ περὶ τῆς πολυθρυλλήτου κατὰ Ἰουδαίαν πολίχνης 106 τὸ πνεῦμα τὸ ἅγιον χρησμῳδεῖ, ἀλλὰ περὶ τῆς οὐρανοπόλεως ὡς ἀληθῶς ἐκείνης καὶ μακαρίας Ἱερουσαλήμ, ἣν δή φασιν αὐτὴν εἶναι τὸ ἄθροισμα τῶν ψυχῶν, ἃς προανατάξασθαι πρώτας »ἐν ἀρχῇ τῆς εὐφροσύνης« τῶν καινῶν αἰώνων ἀνεπισφαλῶς ὁ θεὸς ἐπαγγέλλεται, εἰς καθαρὰν οἴκησιν ἀδύτων φώτων τῷ λευκοτάτῳ τῆς παρθενίας ἐστολισμένας κόσμῳ κατοικίζων, ὅτι μὴ ἐμνημόνευσαν τὸν κόσμον ἀποδύσασθαι τὸν νυμφικόν, τουτέστι χαυνῶσαι τὸν λογισμὸν φαντασίαις ἐκτόποις.

1 Plato Axioch. 370 D. 366 A — **3** vgl. Hebr. 7, 21 — **5** Psal. 136, 5. 6 — **9** Plato Phaedr. 248 C — **10** II Kor. 11, 2. De lepra 15, 5 — **11** Weish. Sal. 4, 2 — **13** Jes. 60, 1 — **17** Hebr. 12, 22f; De lepra 10, 4 — **19** Psal. 136, 6 — **21** Plato Phaed. 114 C — vgl. Apok. Joh. 3, 4. 5. 6, 11. 7, 9. 13

1 (περι)αθρ. — διψῶσαι Z. 2 unleserl. O | παριαθροῦσαι P: περιοδεύουσι 2. Hd. M Al **2** τὸν οὐρανὸν P **2f** ὁ θεὸς — με(θ᾽) unleserl. O: τὴν σωφροσύνην μεθ᾽ 2. Hd. M Al **3** ὁρκομοσίας B: ὀρκωμόνας(?) M, ὅρκου μόνας Al | (ἐπαγγέλλ)εται — ἐν Z. 4 unleserl. O **4** καὶ — σου Z. 5 unleserl. O: καὶ λέγων· εἰ ἐπιληθῶ σου 2. Hd. M Al | καθιδρύων B Jh **5** λέγει P 177 | ἱερουσα(λημ ἐπ)ιλησθείη unleserl. O | ἡ δεξιά O 53v **9** Pl ἀπήμονα (ψυχήν) **10f** παρθένον ἁγνὴν wohl auch O: παρθένον(?) ἁγνὴ M, παρθένῳ ἁγναὶ Al **11** παραστῆναι HSS | κατ᾽ οὐρανὸν < P **13** λέγων < P **14** ἀνατέθαλκε] ε unsicher B **15** τελεσιουργηθήσεται P **16** πολυθρυλήτου P | κατὰ τὴν P **17** οὐρανουπόλεως O Jh | ὡς < P **18** καὶ < O | φασιν O Kl: φησιν P Jh **20** ὁ ἀνεπισφαλῶς O: ἐπιφανῶς P, προφανῶς Cb Jh **21** Pl εἰς τὴν καθαρὰν οἴκησιν | καθαρῶν P **22** ἐμνιμόνευσε B: P 177v **23** ἀποδύσθαι P

VI. Ἀμέλει τὸ μὴ ἐπιλαθέσθαι νύμφην τὸν κόσμον, μηδὲ παρ-
θένον τὴν στηθοδεσμίδα αὐτῆς, λεγόμενον ἐν Ἱερεμίᾳ, τὸ μὴ ἐνδοῦναι
καὶ χαλάσαι τὸν | δεσμὸν τῆς σωφροσύνης ἀπάταις δηλοῖ καὶ περι- 107
σπασμοῖς. στήθη γὰρ αἱ φρένες εἰκότι λόγῳ καὶ ὁ νοῦς ἡμῶν εἶναι
νομίζεται· ἡ δὲ στηθοδεσμίς, ἡ συνδοῦσα ζώνη καὶ συσφίγγουσα τὴν
πρόθεσιν τῆς ψυχῆς εἰς ἁγνείαν, ἐστὶν ἡ πρὸς θεὸν ἀγάπη, ἣν ἐμοί
τε καὶ ὑμῖν ὁ στρατηγὸς ἡμῶν καὶ ποιμὴν Ἰησοῦς καὶ ἄρχων καὶ
νυμφίος, ὦ καλλιπάρθενοι, ἄρρηκτόν τε καὶ ἐσφραγισμένην μέχρι
»τέλους« τηρῆσαι παράσχοι. τούτου γὰρ τοῦ κτήματος τοῖς ἀνθρώ-
ποις ἄμεινον βοήθημα οὐκ ἄν τις ῥᾳδίως ἕτερον λάβοι ἀρέσκον
θεῷ καὶ προσφιλές. διὸ ἐγὼ χρῆναί φημι τὴν ἁγνείαν ἅπαντας
τιμᾶν καὶ διαφερόντως ἀσκεῖν τε καὶ ἐγκωμιάζειν.

Αὗταί σοι καὶ παρ' ἡμῶν αἱ ἀπαρχαὶ τῶν λό|γων ἀνακείσθωσαν, 108
ὦ Ἀρετή, τὰ μὲν παιδιᾶς, τὰ δὲ καὶ σπουδῆς χάριν.

Ἀλλὰ δέχομαι τὸ δῶρον, ἔφη φάναι τὴν Ἀρετήν, καὶ κελεύω μετὰ σὲ τὴν Θάλλουσαν λέγειν· δεῖ γάρ με παρὰ μιᾶς ἑκάστης ὑμῶν ἀποδέξασθαι τὸν λόγον.

1 Jerem. 2, 32 — **3** De res. II, 6, 6 — **7** Joh. 10, 11. 14 — **8** Mt. 9, 15. 25, 1 ff — I Kor. 1, 8 — **9** Plato Symp. 212 B — **13** Plato Symp. 197 E — **16** Plato Symp. 194 D

1—6 Phot. Bibl. 237 S. 308 b, 40—309 a, 5 — **4 f** SS Parall. S. 200 Holl

1 Ph ὅτι φησιν Ἀμ. usw. | ἐπιλανθάνεσθαι P **2** στηθεσμίδα P | αὐτῆς Jh: < Ph **3 f** κ. περισπ. < Ph **4** στήθη — νομίζεται Z. 5 in C (Ck = Vat. 1553, Bl. 182r); Lemma τοῦ ἁγίου Μεθοδίου ἐκ τῶν περὶ ἁγνείας συμποσίων | γὰρ . . φρένες unleserl. O | αἱ] καὶ C | εἰκότι] αἰσθητικῷ τινι C | ὁ < C **5** νομ.] ὀνομάζεται ἐν τῇ γραφῇ C | (στηθοδ)εσμίς, ἡ συνδοῦσα unleserl. O | ἡ συνδ.] αὐτῶν 2. Hd. M Al | ζωὴ Ph **6** τῆς ψ. ε. ἁγν. unleserl. O | θεὸν P Jh: Χριστὸν O Ph | ἀγάπη] es endet Ph **7** ὑμῖν] ἡμῖν M Al | στρατ. ἡμ. κ. unleserl. O: στρατηλατῶν κ. 2. Hd. M Al **7 f** Ἰησοῦς (καὶ ἄρχων) κ. νύμφιος unleserl. O **8** (καλλ)ιπάρθενοι ἄρρηκτόν unleserl. O | καλιπάρθενοι P | τε < Cb Jh | καὶ — τοῦ Z. 9 unleserl. O | μέχρι — παράσχοι Z. 9 auch Al, ab. Lücke fast e. Z. M **9—12** Pl τούτου τοῦ κτήματος τῇ ἀνθρωπείᾳ φύσει συνεργὸν ἀμείνω Ἔρωτος οὐκ ἄν τις ῥᾳδίως λάβοι. διὸ δὴ ἔγωγέ φημι χρῆναι πάντα ἄνδρα τὸν Ἔρωτα τιμᾶν, καὶ αὐτὸς τιμῶ . . καὶ διαφερόντως ἀσκῶ **9** κτήματος O 54: ἡττήματος B, a. Rd. corr. κτήμ. **10** ἀμείνω P **12** διαφερ.] διὰ παντὸς P **13 f** Pl οὗτος . . ὁ παρ' ἐμοῦ λόγος, ὦ Φ., τῷ θεῷ ἀνακείσθω, τὰ μὲν παιδιᾶς, τὰ δὲ σπουδῆς . . μετέχων **14** παιδείας OP **15** ἀρε . . . O **16 f** Pl ἀποδέξασθαι παρ' ἑνὸς ἑκάστου ὑμῶν τὸν λόγον

Λόγος ε'.

Θάλλουσα.

I. Τὴν οὖν Θάλλουσαν βραχὺ ἐπισχοῦσαν καὶ πρὸς ἑαυτήν τι
σκεψαμένην εἰπεῖν ἔφη· Ἀλλ', ὦ Ἀρετή, συλλήπτειραν ἀξιῶ παραστῆ-
ναί σε κατὰ νοῦν, ὅπως πρῶτον μὲν σοῦ, καὶ τῶν παρόντων δὲ
φανῶμεν ἄξια λέγειν. τὸ γὰρ μέγιστον καὶ ἐπιφανέστατον ἀνάθημα
καὶ δῶρον, οὗ μηδὲν ἀντάξιον ἄλλο προσενέγκασθαι πά|ρεστιν ἀνθρώ- 109
ποις θεῷ, τὸν ἆθλον τῆς παρθενίας εἶναι πέπεισμαι διαρκῶς, ἀπὸ
τῶν ἱερῶν ἠσθημένη γραμμάτων. οὐ γὰρ ἄν, πολλὰ πολλῶν κατ'
εὐχὰς ἐν τῷ νόμῳ καλὰ κατεργασαμένων, μόνοι μεγάλην εὐχὴν ἐλέ-
γοντο πληροῦν οἱ σφᾶς αὐτοὺς αὐθαιρέτῳ βουλῇ προσενέγκαντες
θεῷ. ἔχει γὰρ τὸ ῥητὸν οὕτως· »καὶ ἐλάλησε κύριος πρὸς Μωυσῆν
λέγων· λάλησον τοῖς υἱοῖς Ἰσραήλ, καὶ ἐρεῖς πρὸς αὐτούς· ἀνὴρ ἢ
γυνή, ὃς ἂν μεγάλως εὔξηται εὐχὴν ἀφαγνίσασθαι ἁγνείαν κυρίῳ«.
εὔχεται χρυσᾶ καὶ ἀργυρᾶ εἰς τὸν νεὼν σκεύη προσκομίσας ἀναθεῖναί
τις, ἕτερος ἀναθεῖναι τὴν δεκάτην τῶν καρπῶν, ἄλλος τῆς οὐσίας,
ἕτερος τὰ κράτιστα τῶν ποιμνίων, ἄλλος τὴν ὕπαρξιν | καθιεροῖ, καὶ 110
οὐδέπω μεγάλην εὐχὴν εὔξασθαι λέγεται τῷ κυρίῳ, ἀλλ' ἐκεῖνος ὁ
ἑαυτὸν ἀναθεὶς τῷ θεῷ ὁλοτελῶς.

II. Ἐπιχειρητέον γὰρ ἀληθεῖ λόγῳ πρὸς ὑμᾶς, ὦ παρθένοι,
τὴν κατὰ τὸ πνεῦμα διάνοιαν δηλῶσαι τῆς γραφῆς. ὁ γὰρ κατά τι

3 Plato Phaed. 95 E — **9** Plato Symp. 179 C — **12** Num. 6, 1 — **20** Plato Tim. 53 B

2 . *άλλουσα Eος* O, vor *ά* Raum für e. großen Buchst., ebenso vor *ἣν* Z. 3: *Θάλλουσα. λόγος ε̅ος* P **3f** Pl *ἐπισχὼν καὶ πρὸς ἑαυτόν τι σκεψάμενος . . ἔφη* **3** *ἑαυτὸν* B | *τί* O **4** *συλλήπτειραν* wohl auch P, da in V: *συλλήπτριαν* Jh **5** *κατὰ νοῦν* O: *καὶ τὰ νῦν* P Jh | *δὲ* < P **6** *ἄξια* < P (in V über d. Lin.) **9** *ἱερῶν*] *σῶν* P | *πολλῶν πολλὰ* B Jh (Pl *πολλῶν πολλὰ κ. καλὰ ἐργασαμένων*) **11** *προσενέγκασθαι* P Jh **12** *θεῷ*] *θεῷ ἑλόμενοι* Po: *βουλόμενοι* Cb Jh | *οὕτω* B **14** *ἂν* < O Jh **15** *τὸν νεοσκευῆ* P | *προσκομίσαι* P **15f** (*ἀνα*)*θεῖναί τις* unleserl. O **15** *ἀναθῆναι* B **16** *ἕτερος — οὐσίας* < B | *ἀναθεῖναι*] *ἀνάθημα* P **17** *καθιερεῖ* B, *οι* unleserl. O **18** *μεγ. εὐχὴν* unleserl. O | *λέγ.*] *δύναται* P Jh | *τῷ* < O **19** *ἀναθεὶς — ἐπι*(*χειρητέον*) Z. 20 unleserl. O | *τῷ θεῷ* < P **20** *ἀήθει* Pl, aber vgl. S. 60, 11 | *δηλοῦν* Pl **21** *τὴν — διάν*(*οιαν*) unleserl. O | *κατὰ τ. πν.* 2. Hd. M | *πνεῦμα*] *προκείμενον* Al Cb | *κατὰ — προσ*(*έχων*) S. 54, 1 unleserl. O

μόριον φυλασσόμενος καὶ προσέχων, κατά τι δὲ περισπώμενος καὶ
πλημμελῶν ὅλος οὐκ ἀνάκειται θεῷ· χρῆν γὰρ τὸν τέλειον πάντα
ἀναθεῖναι καὶ τὰ τῆς ψυχῆς καὶ τὰ τῆς σαρκός, ὅπως ἄρτιος εἴη καὶ
μὴ ἐλλιπής, ταύτῃ γὰρ δὴ καὶ τῷ Ἀβραὰμ ὁ θεὸς ὑφηγεῖται, »λάβε
μοι« λέγων »δάμαλιν τριετίζουσαν καὶ αἶγα τριετίζουσαν καὶ κριὸν
τριετίζοντα, καὶ τρυγόνα καὶ περιστεράν«, ὅ ἐστιν εὐφήμως (ἐπίστη-
σον γὰρ ὅτι περὶ τούτων κἀκεῖνο πα|ρεγγυᾷ)· προσένεγκέ μοι καὶ **111**
φύλαξον ἄζυγα καὶ ἀκάκωτόν σου τὴν ψυχὴν δαμάλεως δίκην, καὶ
τὴν σάρκα καὶ τὸν λογισμόν, τὴν μὲν ὡς αἶγα, ἐπειδὴ τὰ μετέωρα
καὶ κρημνώδη περιπολεῖ, τὸν δὲ ὡς κριόν, ἵνα μηδαμῶς ἀποσκιρτήσας
ἐκπέσῃ καὶ ἐξολισθήσῃ τῆς ἀληθείας· οὕτω γὰρ ἐντελὴς ἔσῃ καὶ
ἀνεπίληπτος, ὦ Ἀβραάμ, ἀναθεὶς ἐμοὶ καὶ τὴν ψυχὴν καὶ τὴν αἴσθη-
σιν καὶ τὸν νοῦν· ἃ συμβολικῶς δάμαλιν ἔφη καὶ αἶγα καὶ κριὸν
τριετίζοντα, οἱονεὶ τὴν γνῶσιν ἀκακέμφατον τῆς τριάδος ἐπανηρη-
μένα. τάχα δὲ καὶ τὴν πρώτην καὶ τὴν μέσην καὶ τὴν τελευταίαν
τοῦ βίου τῆς ἡλικίας ἡμῶν αἰνίσσεται τρίβον, βουλόμενος, ὡς ἔνι
μάλιστα, καὶ τὸν τῶν παίδων καὶ τὸν τῶν | ἀνδρῶν καὶ τὸν τῶν **112**
γεραιτέρων χρόνον σωφρόνως βιώσαντας αὐτῷ προσενέγκασθαι. καθ᾽
ὃν τρόπον καὶ ὁ κύριος ἡμῶν ἐν εὐαγγελίοις παρακελεύεται Ἰησοῦς
Χριστός, ὧδε νομοθετῶν· »οἱ λύχνοι ὑμῶν« μὴ σβεννύσθωσαν, καὶ »αἱ
ὀσφύες ὑμῶν μὴ λυέσθωσαν. διὰ τοῦτο καὶ ὑμεῖς ὅμοιοι γίνεσθε
ἀνθρώποις προσδεχομένοις τὸν κύριον αὐτῶν, πότε ἀναλύσει ἐκ τῶν
γάμων, ἵνα ἐλθόντι καὶ κρούσαντι αὐτῷ εὐθέως ἀνοίξωσι. μακάριοί

3 vgl. 2 Tim. 3, 17 — **4** Gen. 15, 9 — **8** De lepra 9, 2. 4. 11, 3 — **14** Symp. 8, 10. De lepra 11, 4. De cibis 12, 2ff — **20** Luk. 12, 35—38. De lepra 10, 5

4—S. **55, 19** Phot. Bibl. 237 S. 309a, 6—309b, 2

1 κατά P 178^v | περισπόμενος B | καὶ — ἀνάκειται Z. 2 unleserl. O **2** ὅλος — ἀνάκ.] οὐκ εὐαρεστεῖ τῷ 2. Hd. M Al | χρῆναι (w. e. sch.) O P | τὸν τ(έλ)ειον unleserl. O **3** ἀναθεῖναι — ἐλλιπής Z. 4 unleserl. O: ganz anders 2. Hd. M Al **4** ἐλλειπής P | ταύτῃ O 54^v | γὰρ < Cb Jh | λάβε — κύριον S. 55, 19 Ph S. 309a, 6ff: ὅτι τὸ λάβε usw. **5** λέγων vor καὶ αἶγα P Jh: < Ph | κ. αἶγα τριετ. < Ph^b **6** καὶ vor τρυγόνα < O | ὅ — παρεγγυᾷ Z. 7] αἰνίττεσθαί φησιν ὅτι Ph **7** προσένεγκαί O P **7f** καὶ φύλαξον < Ph **8** ἄζυμα P: ἄζυγον Ph^a | ἀκακώτατον Ph^b **10** . ηδαμῶς O **11** οὕτως P | ἐντελὴς ἔσῃ καὶ < Ph (ἔσῃ nach ἀνεπ.) **12** ὦ] ὡς Ph^a, ὡς ὁ Ph^b | ἂν ἀναθῇς Ph **14f** ἐπανηρημέναι P, ἐπανειρηκέναι B **16** ἔνι] ὅτι Ph^b, ἄρα Ph^a **18** γεραιοτέρων O **19** ἐν εὐαγγ. ὁ κύριος (ohne ἡμῶν) Ph | εὐαγγελίῳ B | παρακ. — νομοθ. Z. 20] ὁ κύριος νομοτεθεῖ Ph | πα|ρακελεύεται P 179 | Ἰησοῦς < O **20** οἱ — λυέσθωσαν Z. 21 < Ph **20f** οἱ ὀσφύες P **22** αὐτῶν Jh

ἐστε, ὅτι ἀνακλινεῖ ὑμᾶς καὶ παρελθὼν διακονήσει· κἂν τῇ δευτέρᾳ, κἂν τῇ τρίτῃ, μακάριοί ἐστε.« ἐπισκέψασθε γὰρ ὅτι τρεῖς ὑποθέμενος φυλακὰς νυκτός, ἑσπερινὴν καὶ δευτέραν καὶ τρίτην, καὶ τρεῖς ἑαυτοῦ πα|ρουσίας, ὦ παρθένοι, τὰς τρεῖς ἡμῶν τῆς ἡλικίας ἠνίξατο 113
μεταβολάς, τὴν μειρακιώδη καὶ τὴν πρόσηβον καὶ τὴν πρεσβυτικήν, βουλόμενος, ἵνα κἂν τὴν πρώτην ἄγοντας ἡλικίαν, τουτέστι παῖδας ὄντας, ἐὰν ἔλθῃ παραληψόμενος ⟨ἐκ⟩ τοῦ κόσμου, ἑτοίμους καταλάβῃ καὶ καθαρούς, μηδὲν ἐπιτετηδευκότας σκαιόν, κἂν τὴν δευτέραν ὁμοίως, κἂν τὴν τρίτην. ἑσπερινὴ γὰρ φυλακὴ ὁ καιρός ἐστι τῆς ἀκμῆς τοῦ ἀνθρώπου καὶ ἡ νεότης, καθ' ἣν ἄρχεται ταράσσεσθαι τὸ ἡγεμονικόν, ἐπιθολούμενον ταῖς ἐξαλλαγαῖς τοῦ βίου, ἡβώσης αὐτοῦ τῆς σαρκὸς ἤδη καὶ τρεπομένης εἰς πάθη. δευτέρα δέ, ὁπηνίκα λοιπὸν »εἰς ἄνδρα τέλειον« ἐλάσας ἄρχεται στάσιν καὶ βεβαιότητα τῶν θορύβων ὁ νοῦς προσλαμβάνειν καὶ τῆς οἰήσεως. | τρίτη δέ, ὅτε αἱ πλεῖσται 114
φαντασίαι φθίνουσι τῶν ἐπιθυμιῶν, ἀπομαραινομένης ἤδη τῆς σαρκὸς καὶ εἰς γῆρας προκοπτούσης.

III. Διὸ προσῆκεν ἄσβεστον ἐν τῇ καρδίᾳ τῆς πίστεως ἐξάψαντας τὸν λύχνον, καὶ τὴν ὀσφῦν ἀναζωσαμένους τῇ σωφροσύνῃ, ἐγρηγορέναι καὶ προσδοκᾶν ἀεὶ τὸν κύριον, ἵνα, κἂν ἐν τῇ πρώτῃ ἡμῶν ἡλικίᾳ παραλαβεῖν ἡμῶν τινας βουληθῇ, κἂν ἐν τῇ δευτέρᾳ, κἂν ἐν τῇ τρίτῃ, ἐλθὼν καὶ εὑρὼν ἑτοιμοτάτους καὶ ἃ προσέταξεν ἐργαζο-

7 vgl. Joh. 14, 3 — **10** vgl. Plato Tim. 44 AB — **12** Ephes. 4, 13 — **15** Plato Pol. I, 328 D — **17** De lepra 10, 5

4 Cramer Catene II, 103, 25 ff

1 f κἂν . . κἂν] καὶ . . καὶ O P **2** τῇ vor τρίτῃ < Ph^a | φυλακῇ nach τρίτῃ + Cb Jh | ἐστε sehr undeutl. O **3** νυκτὸς ἑσπε(ριν)ὴν καὶ (δ)ευ(τέραν) unleserl. O | ὑποθέμενος vor ἑσπερ. + P **4** ἑαυτοῦ — τρεῖς < Ph | (παρ)ουσίας ὦ (π)αρθέν(οι) τὰς unleserl. O **5** μετα(βο)λ(άς) — (πρόση)βον u. (πρεσβ)υτ. — ἡ(λικί)αν Z. 6 unleserl. O | πρεσβυτέραν 2. Hd. M Al: πρεσβυτικήν bei Pl nur Legg. III, 685 B **6** βουλόμενος + P Ph: < M Al Cb Jh | κἂν] καὶ P Ph | τὴν — τουτέστι < Ph | τουτέστι O 55 **7** ἐὰν] ἂν P | ἐκ + Kl | τὸν κόσμον Ph | παραλάβῃ O: καταλάβοι P Ph **8** μηδὲν — σκαιόν < Ph | ἐπιτηδευκότας P | σκαιόν < P **8 f** κἂν . . κἂν] καὶ . . καὶ P Ph **10** καὶ ἡ νεότης < Ph | καταράσεσθαι O **11** ἐπιθολ.] vgl. S. 204. 296 Al | ταῖς — πάθη Z. 12] τοῖς πάθεσιν Ph | γὰρ nach ἡβώσ., aber mit Zeichen, daß zu tilgen O **12** πάθος P **13** στάσιν καὶ < Ph | βεβαι. P 179^v **14** νοῦς προσλ. nach κ. τ. οἰήσεως (< Ph) in O **15** τ. ἐπιθ. φθίνουσιν Ph | Pl αἱ κατὰ τὸ σῶμα ἡδοναὶ ἀπομαραίνονται **17** προσῆκεν O P (so auch P 58, 13) Ph: προσήκει Jh | τῆς < P **18** τὸν < P | τῆς σωφροσύνης P | **19** κύριον] es endet Ph **19 f** κἂν . . κἂν . . κἂν] καὶ . . καὶ . . καὶ P (nicht B) **20** ἡμῶν + O

μένους, ἀνακλίνῃ εἰς Ἀβραὰμ κόλπους καὶ Ἰσαὰκ καὶ Ἰακώβ. καὶ
Ἱερεμίας δέ »ἀγαθόν« φησίν »ἀνδρί, ὅταν ἄρῃ ζυγὸν βαρὺν ἐν νεότητι
αὐτοῦ« καὶ »ἀπὸ τοῦ κυρίου« οὐ μὴ »ἀποστῇ ἡ ψυχὴ | αὐτοῦ«. ἀγαθὸν 115
γὰρ ἐκ παίδων ὡς ἀληθῶς ὑποθέντα τὸν αὐχένα τῇ θείᾳ προσ-
οχῇ μὴ ἀποσείσασθαι μέχρι γήρως τὸν ἐπιβάτην καθαραῖς φρεσὶν
ἐποχούμενον, ἀεὶ τὸν λογισμὸν εἰς τὰ χείρω καθέλκοντος τοῦ πονη-
ροῦ. τίς γὰρ οὐ τὰς δι᾿ ὀμμάτων, τίς δ᾿ οὐ τὰς δι᾿ ὤτων, τίς δ᾿
οὐ τὰς διὰ γεύσεως ὀσφρήσεώς τε καὶ ἁφῆς ἡδονὰς καὶ τέρψεις ἀπο-
δέχεται, τὸν ἡνίοχον μὴ φέρων, σωφροσύνην εἴργουσαν καὶ καθαι-
μάττουσαν τὸν ἵππον τῆς κακίας; ἕτερος μὲν οὖν εἰς ἕτερα ἐπιβλέψας
ἄλλα δοξάσει, ἡμεῖς δὲ ἀνατιθέναι λέγομεν τελείως ἑαυτὸν τῷ θεῷ,
ὃς καὶ τὴν σάρκα ἄχραντον ἐκ παίδων φιλοτιμεῖται φυλάττειν, παρ-
θενίαν ἀσκῶν. περισπουδάστους γὰρ καὶ μεγάλας | ἐλπίδων δωρεὰς 116
τοῖς ἐφιεμένοις αὐτῆς ταχέως φέρει, τὰ λυμαντήρια τῆς ψυχῆς ἀπο-
μαραίνουσα πάθη καὶ ὑπεκκαύματα. — φέρε γὰρ εἰσηγήσωμαι, πῶς ἀνα-
κείμεθα τῷ κυρίῳ.

IV. Τὸ γοῦν »μεγάλως εὔξασθαι εὐχήν«, ἐν τοῖς Ἀριθμοῖς νομοθετούμενον, τοῦτο παρίστησιν, ὅπερ ἐπὶ πλέον ἐγὼ διηγησαμένη ἀποφανῶ, μεγάλην εὐχὴν εἶναι παρὰ πάσας εὐχὰς ἀποδεικνύουσα τὴν ἁγνείαν. τότε γὰρ ἀνάκειμαι προφανῶς πᾶσα τῷ κυρίῳ, ὁπότε μὴ μόνον τὴν σάρκα συνουσίας ἀνέπαφον, ἀλλὰ καὶ τῶν λοιπῶν ἀτοπημάτων ἄσπιλον τηρεῖν ἀγωνίζομαι. »ἡ γὰρ ἄγαμος μεριμνᾷ« φησί

1 Luk. 16, 22. Mt. 8, 11 — **2** Klag. Jerem. 3, 27 — **3** Jerem. 17, 5 (6, 8) — **9** Plato Phaedr. 254 E. 247 B — **17** Num. 6, 2 — **21** vgl. Symp. ob. S. 8, 8f. u. 11, 1 S. 279 Al. De lepra 9. 11 — **22** I Kor. 7, 32. 34

20 ff Nilus Epist. III, 298

1 ἀνακλινῇ P: ἀνακλινεῖ O B **1f** καὶ Ἱερ.] ὁ ἱερ. P: Ἱερ. Cb Jh **2** βαρὺν + O **3** τοῦ < O | οὐ < Cb Jh **4** τὸν vor ἐκ + O **4f** προσευχῇ O **6** τὸ χεῖρον P Jh **7** δι᾿ ὀμμ. — τὰς < O M: δι᾿ ὀμμάτων, οὐ τὰς Al | (ὤ)των — οὐ Z. 8 unleserl. O **8** γεύσεων· ὀσφρήσεων τε P | καὶ τέρψεις unleserl. O **9** Pl ὁ δ᾿ ἡνίοχος . . καθήμαξεν, 247 B ὁ τῆς κάκης ἵππος | τὸν] τὴν Po Cb Jh | (εἴρ)γουσαν καὶ καθαι(ματτ.) unleserl. O **10** ἕτερος P 180 | μὲν — ἕτερα unleserl. O | ἕτερα] τοῦτο M Al | ἐπιβλέψ(ας) undeutl. O **11** δοξάζει B, ab. a. Rd. δοξάσει: unleserl. O, δικάζει (ικ auf Rasur) M Al | ἀναθεῖναι (corr. aus ἀναθῆναι, so w. e. sch. O) M Al | λέγωμεν P: O 55v | ἑαυτὸν τελείως P Jh | τῷ vor θεῷ + P **12** κ. τ. σάρκα ἄχρ. < P **14** λυματήρια B **15** εἰσηγήσομαι P: εἰσηγητέον O **18** ἐπὶ πλεῖον O **19** ἀποφανῶ O: ἀποφαίνω P Jh **20** καὶ προφανῶς P | πᾶσα < P | τῷ < O **21** συνουσίας < P **22** φησὶ μεριμνᾷ O

»τὰ τοῦ κυρίου, πῶς ἀρέσει τῷ κυρίῳ«, οὐ μόνον ἵνα μὴ χωλὴν
τῆς ἀρετῆς κατά τι μόριον | ἀπενέγκηται τὴν δόξαν, ἀλλ' ἄμφω, κατὰ 117
τὸν ἀπόστολον, καὶ »ἐν τῷ πνεύματι καὶ ἐν τῷ σώματι« ἁγιάζηται,
ἀναθεῖσα τὰ μέλη κυρίῳ. τί γάρ ἐστι τὸ ἀναθεῖναι τελείως ἑαυτὸν
κυρίῳ, λεκτέον. ἐὰν ἐπὶ τῶνδε μὲν ἀνοίξω τὸ στόμα, ἐπὶ τῶνδε δὲ
κατακλείσω, οἷον ἀνοίξω μὲν περὶ τὰς ἐξηγήσεις τῶν γραφῶν εἰς τὸ
ὀρθοδόξως ὑμνῆσαι καὶ μεγαλοπρεπῶς κατὰ δύναμιν τὸν θεόν, κατα-
κλείσω δὲ »θύραν« αὐτῷ θεμένη καὶ »φυλακὴν« ⟨τοῦ⟩ μάταια μὴ λαλεῖν,
ἁγνεύει μου τὸ στόμα καὶ ἀνάκειται τῷ κυρίῳ, »ἡ γλῶσσά μου κάλα-
μος« γέγονε, σοφίας ὄργανον· γράφει γὰρ δι' αὐτῆς ἀριδήλοις γράμ-
μασιν, ἀπὸ τοῦ βάθους καὶ τῆς δεινότητος τῶν γραφῶν φωτίζων
τὸν »νόμον τοῦ πνεύματος«, ὁ λόγος, | ὁ κύριος, ὁ γραμματεὺς 118
τῶν αἰώνων ὀξυγράφος, ὅτι ταχέως καὶ ὀξέως τὴν βουλὴν ἀνα-
γράφεται μόνος καὶ πληροῖ τοῦ πατρός, »ὀξέως σκύλευσον« ἀκούων
»ταχέως προνόμευσον«. τούτου »κάλαμός« ἐστιν »ἡ γλῶσσά μου«
τοῦ »γραμματέως«· ἡγνίσθη γὰρ αὐτῷ καὶ ἀνάκειται κάλαμος ὥσπερ
»ὡραῖος«, ὡραιότερα γράφων τῶν τὰ ἀνθρώπινα δόγματα κρατυνόν-
των ποιητῶν καὶ λογογράφων. ἐὰν ἐθίσω καὶ τὰς ὄψεις μὴ ἐπιθυ-
μεῖν ὥρας σωμάτων, μηδὲ τέρπεσθαι θέαις ἀσχήμοσιν, ἀλλὰ τὰ ἄνω
περισκοπεῖν, ἁγνεύουσι καὶ οἱ ὀφθαλμοὶ καὶ ἀνάκεινται τῷ κυρίῳ.
ἐὰν τὰ ὦτα φράξασα ἀπὸ δυσφημίας καὶ ψιθυρισμῶν ἀνα|πετάσω 119
λόγῳ θεοῦ, φοιτῶσα παρὰ σοφοῖς, ἀνατέθεικα καὶ τὰς ἀκοὰς τῷ
κυρίῳ. ἐὰν ἀποσείσωμαι τὰς χεῖρας ἀπὸ καπηλείας, ἀπὸ μεταπράσεως,
ἀπὸ φιλοχρημοσύνης, ἀπὸ πληκτισμοῦ, ἁγνεύουσι καὶ αἱ χεῖρες τῷ

1 Plato Legg. I, 634 A — **6** Symp. 9, 4 — **8** Psal. 140, 3 (33, 14) — **9. 12. 15** Psal. 44, 2. 3 — **12** Röm. 8, 2 — **14** Jes. 8, 3 — **19** Kol. 3, 1. 2; vgl. Plato Pol. VII, 529 A

1f Pl *χωλὴν τὴν ἀνδρείαν* **3** *ἐν τῷ σώματι* vor *ἐν τῷ πνεύματι* P Jh | *ἁγιάζεται* P **4** *ἑαυτὸν τελείως* P Jh **6** *οἷον* P 180v **8** *φυλα(κὴν)* unleserl. O | *τοῦ* + Po Cb Jh | *λαλῶν* (ohne *τοῦ*)? Kl **9** *κυρίω* O: *θεῷ* P Jh **10** *ὄργ. σοφ.* O Jh **11** *φ . . . ζων* O **12** *νόμον*] *νοῦν* P Jh | *ὁ* (< P, nicht V) *γραμμα . εὺς* O **13** *τῶν αἰώνων* undeutl. O | *ὀξυγρ.*] *ὁ ζωγράφος* O | *τὴν — μόνος* Z. 14 unleserl. O | *τὴν* < M Al, w. e. sch. auch O **13f** *ἀναγρ.*] *ἐξηγεῖται* 2. Hd. M Al **14** *(ἀκ)ούων — ἐστιν* Z. 15 unleserl. O **16** *(γραμματ)έως — ἀνάκειται* und **17** *ὡραῖος — ἀνθρώπινα* unleserl. O | *ἡγν. γ. αὐτῷ*] *ἁγνείας αὐτῷ δὴ* 2. Hd. M Al **17** *ὡρ. ὡρ.* < M | *δόγματα* O 56 **19** *ὥρας*] vgl. S. 71, 20 u. z. B. Pl Legg. VIII, 837 *τῆς ὥρας . . πεινῶν* **22** *σοφούς* viell. richtig Jh | *τῷ* < P **23** *ἀποσείσ.* wie S. 56, 5] *ἀποστήσωμαι* M Ausgg. *ἀπὸ* P 181 **24** *τῷ* vor *θεῷ* + O

θεῷ. ἐὰν ἀφέξω τὸ πορευτικὸν διεστραμμένας ὁδοὺς πορεύεσθαι, ανατέθεικα καὶ τοὺς πόδας, οὐκ εἰς δικαστήρια καὶ θιάσους παρερχομένη,

ὅθι τ᾽ ἄνδρες ἀλιτροδίκαι τελέθουσιν,

ἀλλ᾽ εἰς τὸ κατορθῶσαι πληρώσασά τι τῶν ἐντολῶν. τί μοι λοιπόν, ἐὰν διαγνεύω καὶ τὴν καρδίαν, πάσας τὰς διανοήσεις αὐτῆς ἀναθεῖσα κυρίῳ; φλαῦρον οὐδὲν ἐνθυμοῦμαι, κοσμικὸν οὐδὲν διαλογίζομαι, τῦφος οὐκ ἐμπολιτεύεται καὶ ὀργὴ παρ᾽ ἐμοί, τὸν νόμον καὶ ἐν ἡμέρᾳ μελετῶ κυρίου καὶ ἐν νυκτί· καὶ τοῦτ᾽ ἐστί »ἁγνείαν ἁγ|νεῦσαι, 120
μεγάλην εὐξάμενον εὐχήν«.

V. *Πειράσομαι* γὰρ καὶ τὰ ἑξῆς ὑμῖν τούτων, ὦ παρθένοι, φράσαι τῶν διατάξεων, ἐπειδήπερ τῶν σφετέρων ἐξήρτηται καὶ αὐτὰ κατορθωμάτων, θεσμοὶ περὶ παρθενίας ὄντα καὶ χρησμοὶ διδάσκοντες ὧν ἀπέχεσθαι προσήκει καὶ ἀναγωγὸν εἶναι τὴν παρθένον. γέγραπται γὰρ οὕτως· »καὶ ἐλάλησε κύριος πρὸς Μωυσῆν λέγων· λάλησον τοῖς υἱοῖς Ἰσραὴλ καὶ ἐρεῖς πρὸς αὐτούς· ἀνὴρ ἢ γυνή, ὃς ἂν μεγάλως εὔξηται εὐχὴν ἀφαγνισθῆναι κυρίῳ, ἀπὸ σίκερα καὶ οἴνου ἁγνισθήσεται, καὶ ὄξος ἐξ οἴνου καὶ ὄξος ἐκ σίκερα καὶ ὅσα κατεργάζεται ἐκ σταφυλῆς οὐ πίεται, καὶ σταφυλὴν πρόσφατον καὶ σταφίδας οὐ φάγεται | πάσας τὰς ἡμέρας τῆς εὐχῆς αὐτοῦ«, ὅπερ ἐστίν· ἀπὸ τοῦ 121
φυτοῦ τῆς πονηρίας τῶν γεννωμένων ὁ κατεγγυήσας ἑαυτὸν τῷ κυρίῳ καὶ ἀναθεὶς οὐ δρέψεται διὰ τὸ παρεκτικὸν ἀεὶ μέθης αὐτὸ καὶ ἐκστάσεως πεφυκέναι. δύο γὰρ ἀμπέλων διαφορὰς ἐκ τῶν γραφῶν

2 Plato Theaet. 173 D — **7** Psal. 1, 2 (Sir. 6, 37) — **8** Num. 6, 1 — **10** Symp. 4, 4 S. 49, 24. De lepra 9, 1 — **14** Num. 6, 1—4

22—S. **59, 11** Phot. Bibl. 237 S. 309b, 5—10

1 ἀφ . ξω O: ἐφέξω P Jh **2** Pl εἰς ἀγορὰν οὐκ ἴσασι τὴν ὁδόν, οὐδὲ ὅπου δικαστήριον **3** ὅτι P | τ᾽ < P **6** φαῦλον P Jh | ἐνθυμοῦμαι — οὐδὲν < Cb Jh **8 f** μεγάλην ἁγνείαν B Jh **10** γὰρ] δὲ Po Cb Jh | τούτων ὦ < Cb Jh (ὦ < B) **11** ἐξήρηνται P; vgl. S. 77, 16 **12** θεσμὸς B **13** προσῆκεν P, προσῆκε B (vgl. oben 25, 7. 55, 17 | ἀναγωγὴν M Al (nicht O) | παρθενίαν M Al Jh | γέγραπτε B **14** πρὸς (undeutl.) μωϋσῆν O: τῶ μωϋσεῖ P, τῷ μωυσῇ B Jh **15** (ἀν)ὴρ ἢ (καὶ Al) γυ(νή) unleserl. O **16** ἀφαγνίσασθαι O | ἐν vor κυρίῳ + M Al, ἐν(?) ausgelöscht in O (ἁγνείαν?) | ἀ(π᾽ οἴ)νου καὶ σίκ. O **17** καὶ ὄξ. ἐκ σίκ. ὅσα unleserl. O | σίκερα P 181ᵛ | κατεργάζ . . αι O **18** πίετε . . φάγετε Jh ([πίετ]αι unleserl. O, ab. πίεται M Al) | σταφυλὴν unleserl. O | πρόσφ . τ . . O | καὶ — (φ)άγεται Z. 19 unleserl. O | σταφίδα Jh: σίκερα 2. Hd. M Al **19** πάσας O 56ᵛ **20** γενομένων O | ἑαυτὸν < P, τῷ < O **21** αὐτῶ O **22** δύο — Γομόρρας S. 59, 10 Ph | δύο — ἀποστόλοις S. 59, 6] ὅτι δύο εἴδη ἀμπέλων παρὰ τῇ γραφῇ, λίαν ἀγαθὴ καὶ λίαν κακή· καὶ γάρ φησιν ὁ κύριος Ph

ᾐσθήμεθα, αἳ χωρὶς ἀλλήλων γεγονέτην ἀνομοίως τε ἐχέτην. ἡ μὲν γὰρ ἀθανασίας τε καὶ δικαιοσύνης ἐστὶ παρεκτική, ἡ δὲ μανίας αὖ καὶ παραφροσύνης. ἄμπελος μὲν γὰρ νηφάλιος καὶ εὐφραντική, κλημάτων δίκην ἐκ τῶν μαθημάτων τοὺς βότρυς ἱλαρῶς ἀπαιωροῦσα τῶν χαρισμάτων καταστάζοντας ἀγάπην, ὁ κύριος ἡμῶν ἐστιν Ἰησοῦς ὁ λέγων διαρρήδην | τοῖς ἀποστόλοις »ἐγώ εἰμι ἡ ἄμπελος ἡ ἀληθινή, 122
ὑμεῖς τὰ κλήματα· ὁ δὲ πατήρ μου ὁ γεωργός«. ἀγρία δὲ καὶ θανατηφόρος ὁ διάβολος, λύσσαν καὶ ἰὸν καὶ ὀργὴν ἀποστάζων, ὥσπερ δὴ καὶ Μωυσῆς ὑφηγεῖται διαγράφων περὶ αὐτοῦ· »ἐκ γὰρ ἀμπέλου Σοδόμων« φησίν »ἡ ἄμπελος αὐτῶν, καὶ ἡ κληματὶς αὐτῶν ἐκ Γομόρρας. ἡ σταφυλὴ αὐτῶν σταφυλὴ χολῆς, βότρυς πικρίας αὐτῶν. θυμὸς δρακόντων ὁ οἶνος αὐτῶν, καὶ θυμὸς ἀσπίδων ἀνίατος«. ἐκ ταύτης τρυγήσαντες οἱ Σοδόμων οἰκήτορες εἰς ἄκαρπον ἀρρένων ὄρεξιν οἰστρηλατήθησαν τραπῆναι »παρὰ φύσιν«. ἐντεῦθεν οἱ ἐπὶ Νῶε κραιπαλήσαντες εἰς ἀπιστίαν κατώλισθον καὶ ὑ|ποβρύχιοι κατεποντώθησαν κατακλυσμῷ, ἐντεῦθεν ἀρυσάμενος ὁ 123
Κάϊν τὰς μισαδέλφους ἐφοίνιξε χεῖρας καὶ ἔχρανε πρῶτος τὴν γῆν λύθρῳ συγγενικῷ, ἐντεῦθεν μεθυσκόμενα τὰ ἔθνη θήγουσιν ἑαυτῶν εἰς ἀλληλοφόνους μάχας τοὺς θυμούς. οὕτως γὰρ οὐκ ἐξίσταται ἄνθρωπος ἀπὸ οἴνου καὶ παραπαίει, ὥσπερ ἀπὸ ζήλου καὶ ὀργῆς· οὕτως οὐ μεθύσκεταί τις ἀπὸ οἴνου καὶ παραφρονεῖ, ὡς ἀπὸ λύπης, ὡς ἀπὸ ἔρωτος, ὡς ἀπὸ ἀκρασίας. ἀπὸ ταύτης προστέτακται τῆς ἀμπέλου μὴ γεύσασθαι τὴν παρθένον, ἵνα νηφάλιος ὑπάρχουσα καὶ

3 Psal. 103, 15 — **6** Joh. 15, 1. 5 — **9** Deut. 32, 32. 33 — **12** Gen. 18, 20. 19, 4. — **13** Röm. 1, 26 (Plato Legg. VIII, 841 D) — **14** Gen. 6, 12f — **16** Gen. 4, 8. Symp. S. 288. 290 Al. De resurr. I, 37, 6 — **20** De lepra 5, 4. Plato Legg. I, 649 D

1 *αἱ* < P | *γενέσθην* P B, *ἐγενέσθην* Jh | *ἐχέθων* Cb, *ἔχετον* Jh **4** *βότρυας* O | *ἀπεωροῦσα* P **6** *ἐγὼ — κλήματα* Z. 7 auch Ph **7** *ὁ δὲ — γεωργός* < Ph | *ἀγρ. — διάβ.* Z. 8] *ἡ δὲ κακὴ* (Ph[a] 321) *κ. ἀγρία ἐστὶν ὁ διάβ.* Ph **8** *καὶ ὀργὴν κ. ἰὸν* P: < Ph | *ὥσπερ δὴ*] *ὡς* Ph **9** *ὑφηγεῖται* < Ph **10** *φησίν* vor *ἐκ γὰρ* Ph | *Γομόρρας*] *καὶ ἑξῆς* + Ph **11** *χολῆς* P 182 **14** *οἱ ἐπὶ*] *καὶ ἐπὶ* Cb Jh **16** . . *σαδέλφους* O | *ἐφοίνιζε* B | *πρῶτος* + O **17** *λύτρῳ* a. Rd. corr. in *λύθρῳ* B | *συγγενεῖ* P; unleserl. O, w. e. sch. *κῷ* die Endung | *ἔθνει* B **17 f** *ἑαυτ. εἰς ἀλληλοφόνους* unleserl. O **18** *οὕτω* B | *οὐκ* < M Al | *ἐξίστ. — οἴνου* Z. 19 unleserl. O **19** *παραπ* . . . O | *ζήλου* w. e. sch. auch O: *ζάλης* 2. Hd. M Al | *(ὀρ)γῆς — τις ἀπὸ* Z. 20 unleserl. O **20** *οὐ* < M Al | *παρ. — ἔρωτος* Z. 21 unleserl. O | *παραπαίει* M Al Cb | *λύπης*] *ἄσσης* 2. Hd. M Al, *ἄσης* Jh **21** *ὡς ἀπὸ ἀκρ.* O 57 **22** *(ἀ)μπέλου μὴ γεύ(σασθαι)* unleserl. O

ἄϋπνος ἀπὸ μερίμνης βιωτικῆς ἔκλαμπρον τὴν λαμπάδα τοῦ φωτὸς
τῆς δικαιοσύνης ἐξάπτῃ τῷ λόγῳ. »προσέχετε« γάρ φησιν ὁ κύριος
»μήποτε βαρυν|θῶσιν ὑμῶν αἱ καρδίαι κραιπάλῃ καὶ μέθῃ καὶ μερί- 124
μναις βιωτικαῖς καὶ ἐπιστῇ ἐφ᾽ ὑμᾶς ἡ ἡμέρα ἐκείνη ὡς παγίς«.
VI. Οὐ μόνον δὲ τῶν ἐκ τῆς ἀμπέλου κατεργαζομένων ἐκείνης
προστέτακται μηδαμῶς κατὰ μηδένα τρόπον προσψαύειν τὴν παρθέ-
νον, ἀλλὰ καὶ τῶν ἀντιμίμων αὐτῆς καὶ παραπλησίων· σίκερα γὰρ
πᾶς ὁ σκευαστὸς οἶνος καλεῖται καὶ νόθος, κἄν τε ἐκ τῶν φοινίκων
καὶ ἐκ τῶν ἄλλων ἀκροδρύων σκευαζόμενος ᾖ. ἐπιστομίζουσι γὰρ
ὃν τρόπον αἱ ἐξ οἴνου προποσίαι καὶ ταῦτα σφοδρῶς τὸν λογισμόν.
καὶ εἰ χρὴ φάναι λόγῳ πρὸς ὑμᾶς ἀληθεῖ, πᾶν τὸ μέθην φέρον καὶ
ἔκστασιν τῇ ψυχῇ μετὰ τὸν οἶνον τὸν ἐξ ἀμπέλου σίκερα κικλήσκου-
σιν οἱ σοφοί. ὅπως | οὖν δὴ μὴ μόνον τῶν γενικῶν ἁμαρτημάτων 125
φυλασσομένη τῆς πονηρίας ὑπὸ τῶν ἀντιμίμων αὐτῆς χραίνηται καὶ
ἀντιρρόπων, ἑτέρων μὲν κρατοῦσα, ὑφ᾽ ἑτέρων δὲ κρατουμένη, τουτ-
έστιν ἱματίων διαφερόντων ὑφαῖς ἁβρυνομένη ἢ καὶ λίθοις καὶ χρυ-
σῷ καὶ πλεονεξίᾳ καὶ τοῖς ἄλλοις τοῖς περὶ τὸ σῶμα καλλωπισμοῖς,
ἃ δὴ καὶ αὐτὰ μεθύσκει τὴν ψυχήν· διὰ τοῦτο ταῦτα νομοθετεῖ, ἵνα
μὴ εἰς γυναικισμοὺς ἐκχέηται καὶ γέλωτας καὶ ἀπάτας ἀνασοβουμένη
καὶ μωρολογίας, ἃ περιδινοῦσι καὶ κυκῶσι τὸν λογισμόν· ὥσπερ καὶ
ἐν ἑτέροις ἐμήνυσεν, »οὐ φάγεσθε τὴν ὕαιναν« εἰπών »καὶ τὰ ὅμοια

1 Mt. 25, 7 — **2** Luk. 21, 34 — **13** Origenes? — **15** Plato Phaed. 69 A. 64 D — **20** Plato Krat. 439 C — **21** vgl. Lev. 11, 7. 29; vgl. Barnab. 10, 7. 8

7ff vgl. Theophylakt zu Lk. 1, 15 — **11f** Phot. Bibl. 237 S. 309b, 3. 4

1 (ἀ)πὸ μερίμνης unleserl. O **3** αἱ καρδ. ὑμῶν O **4** βιωτικ . . . O | ἐφ᾽ ὑμᾶς P 182v **7** αὐτῇ Jh **8** κἂν B Jh: ἢν O P **9** καὶ] κἂν Cb Jh | ἐκ < O **10** αἱ üb. d. Lin. P | προσποσίαι P **11** (nach ὅτι σίκερά φησιν) πᾶν — ἀμπέλου Z. 12 Ph **11f** κ. ἔκστ. τῇ ψ. < Ph **12** ἔκστ. ψυχῆς P | τὸν vor ἐξ < Cb Jh | ἀμπέλων Ph **13** δὴ < O **14** αὐτοῖς Cb, αὐτῇ Jh **15—17** Pl συμβαίνει αὐτοῖς κρατουμένοις ὑφ᾽ ἡδονῶν κρατεῖν ἄλλων ἡδονῶν u. ἱματίων διαφερόντων . . καὶ τοὺς ἄλλους καλλωπισμοὺς τοὺς περὶ τὸ σῶμα **15** δὲ] μὲν B **16** ἢ < O **17** καὶ πλεονεξίᾳ < Jh | καλλοπισμοῖς B **18** μεθύσκουσι O, μεθίσκει B **19** ἀνασοβ.] βουλομένη P **20** ἅπερ ὠδίνουσι κ. κυοῦσι (κύουσι B) P, in V corr. wie i. Text: vgl. unt. S. 70, 5 | καὶ κυκῶσι M Al, w. e. sch. O | Pl ὥσπερ εἴς τινα δίνην ἐμπεσόντες κυκῶνται **20** (τὸ)ν λογ(ισμόν) unleserl. O **21** φάγ. τ. ὕαιναν unleserl. O | φά|γεσθε P 183 | εἶπεν B

αὐτῇ, καὶ τὴν γαλῆν καὶ τὰ ὅμοια ⟨αὐτῇ⟩«. αὕτη γὰρ ὀρθὴ | πρὸς 126
οὐρανὸν καὶ σύντομος ὁδοιπορία, τὸ μὴ μόνον ἐμπόδιον ἐφέλκεσθαί
τι τῶν ἐκτραχηλιζόντων τὸν ἄνθρωπον ἐπτοημένον περὶ τὰς ἡδυ-
παθείας καὶ τέρψεις, ἀλλὰ καὶ τῶν ἀντιμίμων αὐτοῖς· καὶ γὰρ θυσια-
στήριον ἀναίμακτον εἶναι παρεδόθη θεοῦ τὸ ἄθροισμα τῶν ἁγνῶν.
οὕτως μέγα τι χρῆμα καὶ ἔνδοξον ἡ παρθενία φαίνεται. διὸ δὴ καὶ
ἄχραντον αὐτὴν καὶ καθαρὰν πάντῃ φυλακτέον, μηδὲν κοινωνοῦσαν
ταῖς σαρκὸς ἀκαθαρσίαις, ἀλλ᾽ ἔσω »κατὰ πρόσωπον τοῦ μαρτυρίου«
σοφίᾳ κεχρυσωμένην εἰς τὰ ἅγια τῶν ἁγίων ἱδρύσθαι, τὴν εὐωδίαν
τῆς ἀγάπης ἀναθυμιῶσαν κυρίῳ. »ποιήσεις« γάρ »μοι«, φησί, μετὰ
τὸ θυσιαστήριον τὸ περικεχαλκωμένον | (εἰς ὃ τὰ ὁλοκαυτώματα 127
ἀνεκομίζοντο καὶ αἱ προσφοραί) ἄλλο »θυσιαστήριον ἐξ ἀσήπτων
ξύλων«, »καὶ καταχρυσώσεις αὐτὸ χρυσίῳ«, »καὶ δώσεις αὐτὸ ἀπέναντι
τοῦ καταπετάσματος τοῦ ἐπὶ τῆς κιβωτοῦ τοῦ μαρτυρίου« κατὰ
»πρόσωπον τοῦ ἱλαστηρίου«, ὅ ἐστιν »ἐπὶ τῶν μαρτυρίων«, »ἐν οἷς
γνωσθήσομαί σοι ἐκεῖ. καὶ θυμιάσει ἐπ᾽ αὐτοῦ Ἀαρὼν θυμίαμα [κυρίῳ]
ἀρωμάτων ἐν πρωΐ, ὅτε ἀγαθύνῃ τοὺς λύχνους· θυμιάσει ἐπ᾽ αὐτοῦ
θυμίαμα διαπαντὸς ἔναντι κυρίου εἰς τὰς γενεὰς ὑμῶν. οὐκ ἀνοίσεται
ἐπ᾽ αὐτοῦ θυμίαμα ἀλλότριον καὶ ὁλοκαύτωμα· θυσίαν καὶ σπονδὴν
οὐ σπείσεται ἐπ᾽ αὐτοῦ.«

VII. Εἰ ὁ νόμος ἐστὶ κατὰ τὸν ἀπόστολον »πνευματικός«, τὰς
εἰκόνας ἐμπεριέχων »τῶν | μελλόντων ἀγαθῶν«, φέρε δὴ ἀπαμφιάσα- 128
σαι τὸ ἐπ᾽ αὐτῷ »κάλυμμα« τοῦ »γράμματος« ἐφηπλωμένον ἐπισκεψώ-
μεθα γυμνῶς τὴν ἀκρίβειαν. μίμημα τῆς ἐκκλησίας ἐκελεύοντο δαι-

4 Polyk. Ad Phil. 4, 3 — **6** Plato Symp. 188 D — **7** Plato Phaed. 67 A — **9** vgl. Ephes. 5, 2 — **10. 15 ff** Exod. 30, 1. 6—9 — **15** Lev. 16, 2. 13 — **21** Röm. 7, 14 — **22** Hebr. 10, 1; vgl. Plato Symp. 221 E f — **23** II Kor. 3, 10—16. 6 — Symp. 9, 7. Orig. De princ. IV, 2, 6

1 κ. τ. γαλ. — αὐτῇ < P | αὐτῇ — πρὸς unleserl. O | αὐτῇ Kl: τούτοις M Al Jh **2** ὁδ . . πορ . . O | τὸ — ἐμ(πόδιον) u. ἐφέλκ. — ἐκτρα(χηλιζόντων τὸν) Z. 3 u. 3 ἄνθρ. — τέρψ(εις) Z. 4 unleserl. O | τὸ μὴ] οὐ δεῖ 2. Hd. M Al | vgl. Pl Phaed. 65 A E ἐμπόδιον u. ἐφέλκων | μόν. ἐμπ. ἐφέλκ. 2. Hd. M **3** τι < M Al | ἐπτοημ. — τέρψεις Z. 4 anders M Al | ἐπτοημένην P **4** τῶν O 57v **5** θεοῦ < O **6** Pl οὕτω πολλὴν καὶ μεγάλην . . δύναμιν ἔχει . . ὁ Ἔρως **7 f** Pl μηδὲν ὁμιλῶμεν τῷ σώματι μηδὲ κοινωνῶμεν . ., ἀλλὰ καθαρεύωμεν ἀπ᾽ αὐτοῦ **11** ὃ < P **12** ᾧ ἀνεκομίζοντο P | καὶ < P **16** κυρίῳ + O (gegen LXX) **17** ἀρωμάτων — θυμίαμα Z. 18 a. Rd. in B | ὅτι O | ἀγαθύνει P | αὐτῷ O **18** θυμίαμα P 183v **23** ἐφηπλομένον B **24 f** δαιδαλεῖν P

δάλλειν Ἑβραῖοι τὴν σκηνήν, ἵν' ἔχοιεν διὰ τῶν αἰσθητῶν »τὴν εἰκόνα« τῶν θείων προκαταγγέλλειν »πραγμάτων«. τὸ γὰρ ἐν τῷ ὄρει παράδειγμα παρενεχθέν, πρὸς ὃ βλέπων ἐτεκτήνατο τὴν σκηνὴν ὁ Μωυσῆς, ἰδέα τις ἦν τῆς κατὰ τὸν οὐρανὸν οἰκήσεως ἀκριβής, ἣν ἡμεῖς τρανότερον μὲν τῶν τύπων, ἀμαυρότερον δὲ τῆς ἀληθείας θεραπεύομεν νῦν. ἦλθε γὰρ ἀκραιφνὲς εἰς ἀνθρώπους ὡς πέφυκεν οὔπω τὸ ἀληθές, οἳ μηδὲ βαστάσαι φέρομεν ἄ|κρατον ἐνταῦθα θεά- 129
σασθαι τὴν ἀφθαρσίαν, ὁπότε μηδὲ τὰς ἡλιακὰς ἀνέδην ἀκτῖνας. ἀλλ' Ἰουδαῖοι μὲν τὴν »σκιὰν« τῆς εἰκόνος τρίτην ἀπὸ τῆς ἀληθείας κατηγγέλκασιν, ἡμεῖς δὲ τὴν εἰκόνα τῆς κατ' οὐρανὸν διοικήσεως ἐναργῶς ἐκθειάζομεν. τὸ γὰρ ἀληθὲς ἀκριβῶς μετ' ἀνάστασιν δηλωθήσεται, ὁπότε »πρόσωπον κατὰ πρόσωπον« τὴν ἁγίαν σκηνήν, τὴν »πόλιν« τὴν ἐν τοῖς οὐρανοῖς, »ἧς τεχνίτης καὶ δημιουργὸς ὁ θεός«, ἀλλ' οὐ δι' »αἰνιγμάτων« καὶ »ἐκ μέρους« ἐποπτεύσομεν.

VIII. Ἰουδαῖοι μὲν γὰρ τὰ ἡμέτερα προανεφώνησαν, ἡμεῖς δὲ τὰ οὐράνια προαγγέλλομεν, ἐπειδήπερ ἡ μὲν σκηνὴ σύμβολον ἦν τῆς ἐκκλησίας, ἡ δὲ ἐκκλησία | τῶν οὐρανῶν. διὸ τούτων οὕτως ἐχόντων 130
καὶ τῆς σκηνῆς ἐν τύπῳ τῆς ἐκκλησίας, ὡς ἔφην, λαμβανομένης χρὴ καὶ τὰ θυσιαστήρια σύνθημά τι τῶν κατὰ τὴν ἐκκλησίαν πραγμάτων φέρειν, καὶ τὸ μὲν περικεχαλκωμένον ἀπεικάζεσθαι τῇ γερουσίᾳ καὶ τῷ περιβόλῳ τῶν χηρῶν (θεοῦ γάρ εἰσιν ἔμψυχος βωμός, εἰς ὃν ἀνακομίζοντες τοὺς μόσχους καὶ τὰς δεκάτας καὶ τὰ ἑκούσια θυσίας τελοῦμεν κυρίῳ), τὸ δὲ περίχρυσον θυσιαστήριον ἔνδον ἐν τοῖς ἁγίοις

1 Hebr. 10, 1 — **2** Exod. 25, 40 — vgl. Plato Tim. 28f — **9** Hebr. 10, 1 — Plato Pol. X, 599 D — **12** I Kor. 13, 12 — Hebr. 11, 10; vgl. 12, 22 — **13** vgl. Plato Phaedr. 250 C. Clem. Al. Strom. VII, 732 — **20** vgl. De lepra 15, 4 — **21** Polyk. 4, 3 — **23** vgl. Hebr. 9, 4

1 *τὴν* < Cb Jh **4** *κατ' οὐρανὸν διοικήσεως* O wie Z. 10, vgl. De res. I, 37, 1. 3 | *τὸν* < Jh | *ἀκρηβὴς* B, unleserl. O **5** *τρανώτερον* P: s. d. Index | *τῆς — νῦν* Z. 6 unleserl. O | *ἀληθινῆς* M Al **6** *ἀκραιφνὲς*, vgl. De res. I, 49, 4 | *ὡς — ἀληθές* Z. 7 unleserl. O | *ὡς πέφυκεν*] *ὥσπερ ἔοικεν* M Al Jh **7** *τ' ἀληθὲς* P | *οἳ*] *ἣ* P, *ἢ* B | *. αστ . . . .* O, *βαστάζειν* Al: <(?) M Jh | *(φέρ)ομεν ἄκρα(τον) — (τ)ὴν* Z. 8 unleserl. O **8** *μηδὲ — ἀκτῖνας* unleserl. O | *ἀναίδην* P: *φέρομεν ἀνέδην ἰδεῖν* Jh: *φέρομεν ὁρᾶν* 2. Hd. M, *φέρομεν ἰδεῖν* Al **9** *ἀλλ'* O 58, *ἀλλὰ* B | Pl *τρίτος ἀπὸ τῆς ἀληθείας εἶ* **11** *τὸ γὰρ* P 184 | *μετὰ ἀνάστασιν* P **13** *τοῖς* < Cb Jh | *ὁ θεός* < B, ab. deutet an, daß etw. ausgefallen **14** *ἐποπτεύσοιμεν* P | Pl *ἐποπτεύοντες ἐν αὐγῇ καθαρᾷ* **16** *προαναγέλλομεν* B | *ἦν* < P **20** *τῷ μὲν περικεχαλκωμένῳ* P | *τὴν γερουσίαν* P | *καὶ* < P **22** *ἀνακομίζονται* P | *θυσίαν* P Jh **23** *τελούμενα* P

*τῶν ἁγίων ἀνακείμενον κατὰ πρόσωπον τοῦ μαρτυρίου, εἰς ὃ ἀπεί-
ρηται θυσίαν καὶ σπονδὴν ἀναφέρεσθαι, ταῖς ἐν παρθενίᾳ παραβλη-
τέον, τῷ ἀκηράτῳ χρυσῷ τὰ ἄσηπτα συνουσίας σώματα κατησφαλι-
σμέναις. δύο | γὰρ ἃ εἰς ἔπαινον θρυλλοῦνται χρυσοῦ, ὅτι τε ἰὸν οὐ* 131
*παραδέχεται καὶ τὴν χροιὰν ταῖς ἡλίου μετρίως παραπλησιάζειν
φαντάζεται βολαῖς· σύμβολον δὲ εἰκότως ἄρα τοῦτο τῆς ἁγνείας τῆς
μὴ προσιεμένης ἐστὶ κηλῖδα καὶ σπῖλον, ἀλλὰ τῷ φωτὶ καταστραπτο-
μένης ἀεὶ τοῦ λόγου. διὸ καὶ ἔνδον εἰς τὰ ἅγια τῶν ἁγίων ἕστηκε
πλησιέστερον καὶ ἔμπροσθεν τοῦ πετάσματος, ἀχράντοις χερσὶ θυμια-
μάτων δίκην τὰς προσευχὰς ἀναπέμπουσα κυρίῳ, δεκτὰς εἰς »ὀσμὴν
εὐωδίας«, καθὼς καὶ Ἰωάννης ἐμήνυσε, τὰ θυμιάματα τὰ ἐν ταῖς
φιάλαις τῶν εἰκοσιτεσσάρων πρεσβυτέρων προσευχὰς ἁγίων εἶναι
φράσας.*

Ταῦτά σοι ὡς ἐκ τοῦ παραχρῆμα κἀγὼ κατὰ δύ|ναμιν ὑπὲρ 132
ἁγνείας, ὦ Ἀρετή, συμβάλλομαι.

Λόγος ς′.

Ἀγάθη.

I. *Εἰπούσης δὲ ταῦτα τῆς Θαλλούσης ἡ Θεοπάτρα ἔφη τῷ σκήπ-
τρῳ τὴν Ἀρετὴν ψαῦσαι τῆς Ἀγάθης, τὴν δ' αἰσθομένην εὐθέως
ἀναστῆναι καὶ ἀποκρίνασθαι ἔτι ὅτι Μετὰ πολλῆς εὐτολμίας καὶ
πειθοῦς καὶ τῆς τοῦ καλῶς εἰπεῖν ὑπολήψεως, ὦ Ἀρετή, σοῦ παρο-*

7 vgl. Ephes. 5, 27 — **10** Ephes. 5, 2 — **11** Apok. Joh. 5, 8 — **14** Plato Symp. 185 C

4 f Phot. Bibl. 237 S. 309b, 11

1 *κείμενον* O **3 f** *κατησφαλισμένα* P **4** *ἃ* Kl: *τὰ* O P Jh | *θρυλοῦντα* P: *θρυλλεῖται* Kl **4 f** *ὅτι ὁ χρυσὸς ἰὸν οὐ παραδέχεται* Ph **5** *καὶ* P 184ᵛ | *ταῖς*] ? B **6** *φαντάζονται* P | *ἆρα* P **7** *μὴ* < P | *προιεμένης* P *τῷ*] *καὶ* Cb Jh **8** *διὸ* < P **9** *πλησιέστερον* O: *πλησιαίτερον* P Jh *πετάσμ.*] $\overline{\pi\nu\varsigma}$ O, $\overline{\pi\rho\varsigma}$ P: *παραπετάσματος* Cb Jh **10** *ἀναπέμπ.* vgl. S. 284 Al, *ἀναπεμπάζουσα* P, *ἀναπεμπα . ουσα* O, *ἀναπεμπάζουσι* Cb | *δεκ(τὰς)* unleserl. O **11** *τὰ* vor *ἐν* < P **11 f** *ἐν ταῖς φιάλαις* unleserl. O **12** *(ἁγ)ίων* unleserl. O **13** *φράσας* unleserl. O: *φήσας* 2. Hd. M Al **14 f** Pl *ταῦτά σοι, ἔφη, ὡς ἐκ τοῦ παραχρῆμα, ὦ Φ., περὶ Ἔρωτος συμβάλλομαι* **14** *κἀγὼ (κατὰ δύν.) ὑπὲρ (ἁγ)νείας, (ὦ) Ἀρ. συμβάλλ(ομαι) — Θεοπά(τρα ἔφη) τῷ σκή(πτρῳ)* Z. 18 f unleserl. O **14 f** *ὑπὲρ ἁγνείας* < P **15** *συμβ.* 2. Hd. M **16 f** *Ἀγάθη . Λόγος ξος* P **19** *τὴν Ἀρ.* O 58ᵛ **20** *ἔτι* + O **21** *καλῶς εἰπεῖν* P: *καλοῦ* O | *ὦ Ἀρετή* < O

μαρτούσης πειράσομαι δὴ κατὰ δύναμιν κἀγὼ εἰς τὸ προκείμενον
εἰσενέγκασθαί τι, κατ᾿ ἐμαυτὴν μέντοι καὶ οὐ πρὸς τὰ εἰρημένα. οὐ
γὰρ ἂν δυναίμην ἐφάμιλλα τούτοις οὕτω ποικίλως καὶ λαμπρῶς
ἀπειργασμένοις φιλοσοφεῖν· δόξω γὰρ ἀποφέρεσθαι ψόγον ἀβελτηρίας,
εἰ τοῖς κατὰ σοφίαν ἐξισάζεσθαι κρείττοσι προ|πηδῴην. εἰ οὖν ἀνέ- 133
ξεσθε καὶ τῶν ὅπως ἂν τευχθῇ ῥητορευόντων, ἐπιχειρῶ λέγειν,
οὐδὲν προθυμίας καθυφειμένη. ἀρκτέον δὲ ἐντεῦθεν.

Ἀμήχανον, ὦ παρθένοι, κάλλος καὶ συγγενὲς τῇ σοφίᾳ καὶ πρόσ-
φορον ἅπαντες εἰς τὸν κόσμον κεκτημένοι τοῦτον ἀφικνούμεθα.
ἀπηκρίβωνται γὰρ αἱ ψυχαὶ τῷ γεννήσαντι τότε μάλιστα καὶ πλασα-
μένῳ, ὁπότε τὴν »καθ᾿ ὁμοίωσιν« ἰδέαν ἄχραντον ἐκλάμπουσαι καὶ τοὺς
χαρακτῆρας τῆς ὄψεως ἐκείνης, πρὸς ἣν ἀφορῶν ὁ θεὸς ἀθάνατον
μορφὴν καὶ ἀνώλεθρον ἐχούσας αὐτὰς ἀπειργάζετο, τοιαῦται διαμέ-
νουσι. τὸ γὰρ ἀγέννητον κάλλος καὶ ἀσώματον καὶ μή|τε ἀρχόμενον 134
μήτε φθῖνον, ἀλλ᾿ ἄτρεπτον καὶ ἀγήρων καὶ ἀπροσδεὲς αὐτὸ ἐν
ἑαυτῷ καὶ [εἰς] αὐτὸ φῶς ἐν ἀφράστοις καὶ ἀπροσίτοις ἀναπαυόμενον,
ἐξουσίας περιουσίᾳ πάντα περιέχον καὶ κτίζον καὶ μετασκευάζον ἐτε-
κτήνατο »κατ᾿ εἰκόνα« τῆς εἰκόνος ἑαυτοῦ τὴν ψυχήν. διὸ καὶ λογικὴ
καὶ ἀθάνατός ἐστι· »κατ᾿ εἰκόνα« γὰρ δημιουργηθεῖσα τοῦ μονογενοῦς,
ὡς ἔφην, ἀνυπέρβλητον ἔχει τὸ κάλλος. διὸ δὴ καὶ »τὰ πνευματικὰ
τῆς πονηρίας« ἐρῶσιν αὐτῆς καὶ ἐφεδρεύουσι, χρᾶναι βιαζόμενα τὴν
θεοείκελον αὐτῆς ἐκείνην καὶ ἐπέραστον ἰδέαν, ὥσπερ δὴ καὶ ὁ προφή-

1 Plato Symp. 199 A — **7** Plato Symp. 210 A. Vgl. De res. II, 4, 7 — **11. 19** Gen. 1, 27 — **12** Plato Tim. 29 A. Phaed. 69 B — **14** Plato Symp. 211 A — **16** I Tim. 6, 16? — **20** Ephes. 6, 12 — **22** De res. I, 43, 5

14—20 Pitra Anal. sacra IV, 206. 438

1 κἀγὼ κατὰ δύν. P **2f** Pl οὐ γὰρ ἂν δυναίμην, οὐ μέντοι· ἀλλὰ . ., εἰ βούλεσθε, ἐθέλω εἰπεῖν **3** οὕτως P **5** προσπηδῴην Po Cb Jh **5f** εἰ οὖν ἀνέξ.] ἢ συνάεσθαι P, ἢ συνᾰ̈ναίνεσθαι B **6** ἂν] οὖν P | ἐπιτεύχῃ P: τύχῃ Cb Jh **7** Pl προθυμίας οὐδὲν ἀπολείψω | ῥητορευ|όντων P 185 | καθυφεμένη B | δ᾿ O **9** ἅπαντι τῷ κεκτημένῳ ohne εἰς τ. κόσμον O **13** ἀνόλεθρον u. ἀπεργάζετο B **13f** διαμένωσιν P **14ff** Syrus Brit. Mus. Addit. 14532 Bl. 78ᵛ B. 12155 Bl. 80ᵛ (17194 Bl 9). S. Einl. | Pl (καλόν,) οὔτε γιγνόμενον οὔτε ἀπολλύμενον οὔτε αὐξανόμενον οὔτε φθῖνον **15** ἀγήρω O | αὐτὸς HSS Ausgg. **15f** αὐτὸ — αὐτὸ] ἐν αὐτῷ Syr **16** εἰς tilgt Jh | αὐτόφως Jh | ἐν φωσὶν ἀφρ. Syr **17** ἐξουσίαις O P | περιέχων κ. κτίζων O Ausgg. | μετασκευάζων Ausgg. **19** (ἀ)θάνατ(ός) ἐστι undeutl. O | (μονο)γενοῦς unleserl. **20** ἀνυπέρβλητον P: ἀφόρητον viell. richtig O | τὸ < P **21** καὶ ἐφεδρεύ(ουσι) unleserl. O **22** (α)ὐτῆς — ἐπέρ(αστ)ον unleserl. O | ἐκείνην] ἁγνὴν 2. Hd. M, αὐγὴν Al

της Ἱερεμίας παρίστησιν ὀνειδίζων Ἱερουσαλήμ | »ὄψις πόρνης ἐγένετό 135
σοι· ἀπηναισχύντησας ἀπέναντι τῶν ἐραστῶν σου«, τὴν παρασχοῦσαν
ἑαυτὴν ταῖς ἀντικειμέναις δυνάμεσιν εἰς βεβήλωσιν λέγων. ἐρασταὶ
γάρ εἰσιν ὁ διάβολος καὶ οἱ περὶ αὐτὸν ἄγγελοι, οἱ τὸ λογικὸν ἡμῶν
καὶ διορατικὸν τῆς φρονήσεως κάλλος μιαίνειν καὶ μολύνειν τῇ ἑαυτῶν
ἐπιμιξίᾳ τεχναζόμενοι καὶ μοιχοὶ γενέσθαι πάσης τῆς τῷ κυρίῳ νενυμ-
φευμένης ἐπιθυμοῦντες ψυχῆς.

II. Ἐὰν οὖν ἀμόλυντον τοῦτο τηρήσῃ τις τὸ κάλλος καὶ ἀσινὲς
καὶ τοιοῦτον, ὁποῖον αὐτὸς ὁ συστησάμενος αὐτὸ καὶ ζωγραφήσας
ἀπετύπωσε, τὴν αἰώνιον ἀπομιμησάμενος φύσιν καὶ νοητήν, ἧς καὶ
χαρακτήρ ἐστιν ὁ ἄνθρωπος καὶ ἀπεικόνισμα, γεγονὼς | οἷον ἄγαλμά 136
τι περικαλλέστατον καὶ ἱερόν, ἐντεῦθεν μετενεχθεὶς εἰς τὴν μακάρων
πόλιν τοὺς οὐρανούς, ὥσπερ ἐν ναῷ κατοικισθήσεται. ἄχραντον γὰρ
τὸ κάλλος ἡμῶν ἄριστα τηρεῖται τότε καὶ ἀσφαλῶς, ὁπόταν δὴ παρ-
θενίᾳ σκεπόμενον ὑπὸ τοῦ καύσωνος ἔξωθεν μὴ μελαίνηται τῆς
φθορᾶς, ἀλλ᾽ αὐτὸ ἐφ᾽ ἑαυτοῦ μένον δικαιοσύνῃ κοσμῆται, νυμφαγω-
γούμενον τῷ υἱῷ τοῦ θεοῦ· ὃν τρόπον δὴ καὶ αὐτὸς εἰσηγεῖται,
χρῆναι παραινῶν ὥσπερ ἐν λαμπάσιν ⟨ἐν⟩ ταῖς σφετέραις σαρξὶ τὸ
φῶς ἄσβεστον ἀνακαίεσθαι τῆς ἁγνείας, ἐπειδήπερ ὁ τῶν δέκα παρ-
θένων ἀριθμὸς τὰς εἰς τὸν Ἰησοῦν πεπιστευκυίας ἀναμετρεῖσθαι βούλεται
ψυχάς, τῷ ῑ τὴν ἀπευθύνουσαν μόνην ὁδὸν εἰς τοὺς οὐρανοὺς ἀπο- 137
τυπούμενος. ἀλλ᾽ αἱ μὲν πέντε ἔμφρονες ἐτύγχανον ἄρα καὶ σοφαί,
αἱ δὲ πέντε »μωραὶ« καὶ ἄσοφοί τινες· οὐ γὰρ ἐπρομηθεύσαντο ἐλαίου
σφῶν τὰ ἀγγεῖα πλήρη παρασκευάσαι, δικαιοσύνης ἀπομείνασαι κεναί.
αἰνίσσεται γὰρ διὰ τούτων τὰς ἐπὶ πέρατα παρθενίας ἐπισπερχομένας

1 Jerem. 3, 3 — **11** Plato Tim. 37 C — **15** vgl. Sir. 31, 19 (Hohel. 1, 6) — **16** Symp. S. 69, 12. 73, 4 — **16f** Mt. 25, 1 — **22** Mt. 25, 2. 3

1 *(π)αρίστησι ὀν. Ἱερ.* unleserl. O: *ὀνειδ.* < Al, *τὴν Ἱερ.* M Al | *π . ρν : ς* O **2** *(ἀπηναι)σχύντησας — (τὴν παρ)ασχοῦσαν* unleserl. O | *ἠπηνεσχύντησας* M Al P 185v | st. *τ. ἐρ. σου* u. *(παρ)ασχοῦσαν* u. 3 *ταῖς — βεβή(λωσιν)* u. 4 *ὁ — οἱ* u. *αὐτὸν — οἱ* Lücke in M **3** *(τα)ῖς — (λέγ)ων* unleserl. O **4** *ὁ. διάβ. — ἡμῶν* unleserl. O | *λογ.] γνωστικὸν* 2. Hd. M Al | *ὑμῶν* Al **5** *καὶ διορ.* O 59 **9** *αὐτὸ ὁ συστ. αὐτὸ* (? P) B V | *ζωγρ.]* ob. S. 15, 17 **11** Pl *τῶν ἀϊδίων θεῶν γεγονὸς ἄγαλμα* | *γεγονὸς* P **14** *τότε τηρεῖται* P Jh | *δὴ* < P **16** *ἐφ᾽ ἑαυτὸ* O, *ἐφ᾽ ἑαυτοῦ* P | *μόνον* P | *κοσμεῖται* P **19** *φῶς* P 186 | *ἄσβεστον* < P Jh **20** *τὸν] Χριστὸν* P Jh | *Ἰησοῦν* < B V (? P) | *ἀναμετρεῖσθαι* O wie 3, 14 S. 45, 9: *ἀριθμεῖσθαι* P Jh **21** *ῑ] ἰῶτα* O: *δέκα* P **22** *ἔμφρονες — πέντε* Z. 23 < B **23** *προεμηθεύσαντο* O **25** *αἰνίσσεταί τοι (τι* B) *διὰ* P | *ἐπισπ.] ἐπεισερχομένας* P

ἐλθεῖν καὶ πάντα εἰς τὸ συμπληρωθῆναι τὸν ἔρωτα τοῦτον κοσμίως δρώσας καὶ σωφρόνως, καὶ τὰς ἐπαγγελλομένας μὲν καὶ σεμνυνομένας τοῦτο σκοπεῖν, ὀλιγωρούσας δὲ καὶ ἡττωμένας τοῦ κόσμου ταῖς ἐξαλλαγαῖς καὶ ὥσπερ σκιαγραφούσας μᾶλλον εἴδωλον ἀρετῆς ἢ αὐτὴν ἐργαζομένας ἔμπνουν τὴν ἀλήθειαν.

III. *Τὸ γὰρ λεγόμενον ὡμοιῶσθαι τὴν βασιλείαν »τῶν οὐρανῶν δέκα | παρθένοις, αἵτινες« ἔλαβον »τὰς λαμπάδας ἑαυτῶν καὶ ἐξῆλθον«* 138 *ἀπαντήσουσαι τῷ νυμφίῳ, σημαίνειν βούλεται τὴν αὐτὴν ὁδὸν τοῦ ἐπιτηδεύματος πάσας ἐπανῃρημένας, διὰ τὴν ἔμφασιν τοῦ ῑ στοιχείου. ἐστείλαντο μὲν γὰρ αἱ ⟨δέκα⟩ παραπλησίως ἑαυτὰς εἰς τοῦτο καθομολογήσασαι, καὶ ταύτῃ κικλήσκονται δέκα, ἐπειδὴ τὴν αὐτήν, ὡς ἔφην, εἵλοντο πρόθεσιν· οὐκέτι δὲ ὁμοίως ἐξῆλθον ὑπαντήσουσαι τῷ νυμφίῳ. αἱ μὲν γὰρ τροφὴν ἄφθονον καὶ εἰσαῦθις ἐπορίσαντο ταῖς ἐλαιοθρέπτοις λαμπάσιν, αἱ δὲ κατερρᾳθύμησαν, τοῦ παρόντος μόνον ἐπιμεληθεῖσαι. διὸ δὴ καὶ ἰσάριθμοι πρὸς πέντε διαιροῦνται, ἐπειδήπερ τὰς πέντε αἰσθήσεις αἱ μὲν αὐτῶν ἐφυλά|ξαντο καθαρὰς καὶ* 139 *παρθένους ἁμαρτημάτων, ἃς οἱ πλεῖστοι σοφίας προσηγόρευσαν πύλας, αἱ δὲ τοὐναντίον πλήθεσιν ἀδικημάτων ἐλωβήσαντο φυράσασαι κακίᾳ.*

4 Plato Symp. 212 A. Meth. De res. I, 28, 2 — **6** Mt. 25, 1—4 — **16** Orig. In Mt. IV, 354 Lomm. (Hier. PL 26, 191 BC) — **17** ? (Zeller, Phil. d. Gr.[4] III, 1, 73 f)

6—S. 67, 19 Phot. Bibl. 237 S. 309b, 12—310a, 13 — **15 ff** vgl. Nilus Epist. III, 298

1 *πάντα τὰ* P | *πληρωθῆναι* P Jh: *συντείνοντα* + P Jh | *ἔρωτα*] *αἰῶνα* P **2** *δράσας* B **4** *σκιογραφούσας* P? O: *σκιαγραφία* Pl Phaed. 69 B | *μᾶλ(λον)* unleserl. O **4 f** Pl *οὐκ εἴδωλα ἀρετῆς, . . ἀλλ' ἀληθῆ* **6** *Τὸ γὰρ — ἁρπασθέντες τοῦ κυρίου* S. 69, 2 bei Ph (eingel. mit *ὅτι φησίν*) mit Auslassung von *ἀνομβρούσης* S. 67, 19 — *αἱ λαμπάδες* S. 68, 20 | *Τὸ γὰρ λεγ(όμενον)* unleserl. O | *ὁμοιοῦσθαι* O | *(οὐρ)ανῶν — αἵτινες* Z. 7 unleserl. O **7** *αἵτινες — νυμφίῳ* Z. 8 < Ph | *αὐτῶν* P **8** *ἀπαν(τή)σουσαι — (σημαί)νειν βούλεται* unleserl. O | *ὑπαντ.* M Al | *βουληθῆναι* M Al | *ὁδὸν — τοῦ ῑ (στοιχείου)* Z. 9 f unleserl. O, sehr abweichend 2. Hd. M Al **9** *πάσας* + Ph M Al Jh **10** *ἐστείλαντο* O 59v | *μὲν* P 186v | *αἱ* < Ph Jh | *δέκα* + Bọ Wd **11** *ταύτῃ*] *πάντῃ* Ph[b] | *δέκα*] *δὲ . καὶ* P | *ἐπειδὴ — πρόθεσιν* Z. 12 < Ph **13** *καὶ εἰσαῦθις* < Ph **14** *τοῦ — ἐπιμελ.* Z. 15 < Ph **15** Nilus *ἐκεῖνον γὰρ ἐγὼ παρθένον καλῶ, τὸν καὶ ψυχῇ καὶ σώματι παρθενεύοντα. . . . . ὁ κύριος τὰς μὲν πέντε εἰς τὸν νυμφῶνα τῆς βασιλείας εἰσήγαγε διὰ τὸ τῇ ψυχῇ καὶ τῇ σαρκὶ καθαρεύειν, τὰς δὲ πέντε ἀπέκλεισεν, ἐπειδὴ τῷ σώματι μόνῳ ἐπαρθένευον, τοῖς δὲ λογισμοῖς ἐρρυπαίνοντο ἑαυτὰς ἀπατῶσαι* **16 f** *κ. π. ἁμαρτ.* < Ph **17** *πύλας προσηγ.* Ph **18** *πλήθ. ἀδικ.* < Ph | *κατελοβήσαντο* Ph | *φύρασαι* HSS: < Ph | *κακίας* O

ἐγκρατευσάμεναι γὰρ καὶ ἁγνεύσασαι δικαιοσύνης εὐφόρησαν μᾶλλον παραπτώμασιν· ἐξ οὗ δὴ καὶ συνέβη τῶν θείων ἔξω περιβόλων ἀποκλεισθείσας ἀπαγορευθῆναι. εἴτε γὰρ κατορθοῦμεν εἴτε πλημμελοῦμεν, διὰ τούτων ἑκάτερα καὶ τὰ ἀνδραγαθήματα κρατύνεται καὶ τὰ κακοπραγήματα. καὶ ὥσπερ ἡ Θάλλουσα καὶ ὀφθαλμῶν ἁγνείαν ἔφη καὶ ὤτων εἶναι καὶ γλώσσης καὶ τῶν λοιπῶν καθεξῆς αἰσθητηρίων, οὕτω δὴ καὶ ἐνταῦθα τὴν πίστιν ἄσυλον ἡ φυλαξαμένη τῶν πέντε διόδων τῆς ἀρετῆς, ὁράσεως, γεύσεως, ὀσφρήσεως, ἁφῆς τε καὶ 140 ἀκοῆς, πέντε προσαγορεύεται παρθένοι, διὰ τὸ τὰς πέντε τῆς αἰσθήσεως ἁγνὰς ἀποκαταστῆσαι τῷ Χριστῷ φαντασίας, ἀφ' ἑκάστης αὐτῶν οἷα λαμπτὴρ τὴν ὁσιότητα λάμπουσα τρανῶς. ἡ γὰρ πεντάφωτος ἡμῶν ὡς ἀληθῶς λαμπὰς ἡ σάρξ ἐστιν, ἣν ἡ ψυχὴ βαστάζουσα δᾳδὸς δίκην τῷ νυμφίῳ παρίσταται Χριστῷ τῇ ἡμέρᾳ τῆς ἀναστάσεως, παραφαίνουσα διὰ πασῶν τῶν αἰσθήσεων διεκθρώσκουσαν λαμπρὰν τὴν πίστιν· καθὼς αὐτὸς ἐδίδαξεν εἰπών »πῦρ ἦλθον βαλεῖν εἰς τὴν γῆν, καὶ τί ἤθελον εἰ ἤδη ἀνήφθη;« γῆν ἡμῶν τὰ σκηνώματα φράσας, εἰς ἃ ἐβούλετο ταχέως ἀναφθῆναι τὴν | ὀξυκίνητον τῆς διδασκαλίας 141 αὐτοῦ καὶ διάπυρον πρᾶξιν. τὸ γὰρ ἔλαιον τῇ σοφίᾳ καὶ τῇ δικαιοσύνῃ παραβλητέον· ἀνομβρούσης γὰρ ταῦτα τῆς ψυχῆς ἀφθόνως καὶ ἐπιχεούσης τῷ σώματι εἰς ὕψος ἀναφλέγεται τῆς ἀρετῆς ἄσβεστον »τὸ φῶς, ἔμπροσθεν τῶν ἀνθρώπων« ἐκλάμπον τὰς πράξεις τὰς καλάς, ὥστε δοξασθῆναι »τὸν πατέρα« »τὸν ἐν τοῖς οὐρανοῖς«.

IV. Τοιοῦτον ἔλαιον ἄρα κἀκεῖνοι προσέφερον ἐν τῷ Λευϊτικῷ, »ἄτρυγον ἔλαιον, καθαρόν, κεκομμένον καῦσαι λύχνον ἔξω τοῦ κατα-

2 Mt. 25, 10. 12 — **6** Symp. 5, 4 S. 57, 5ff — **10** II Kor. 11, 2 — **15** Lk. 12, 49 — **16** vgl. II Petr. 1, 13. 14 — **21** Mt. 5, 16 — **24** Lev. 24, 2. 3

1 *ἐγκρατεύσασαι* Cb | *ἁγνευσάμεναι* O | *μᾶλλον εὐφόρεσαν* Ph **2** *δὴ* < Ph | *τῶν — ἀποκλεισθ.* Z. 3] *αὐτὰς* Ph **3** *ἀποκλεισθεῖσαι* P **4** *κραθύνεται* B **5** *κακὰ πράγματα* Ph *ἁγνείαν* nach *ὤτων* Z. 6 P Jh **7** *οὗτως* P | *δὴ* < P | *ἄϋλον* P **8** *ὀσφράνσεως* B: P 187: < Ph^b **9** *προσαγορεύονται* P Ph^a Jh **10** *αὐτῆς* Ph **11** *λαμπάδα* O Jh | *λάμπ.* B Ph^a Wd: *λάμπουσαν* O P (in Ph^b das *ν* übergeschr.) **12** *ὡς* < O Ph **13** *ἀναστάσεως* undeutl. O **14** (*αἰσθή*-*σ*)*εων διε*(*κθρώ*)*σκουσαν* sehr undeutl. O | *διεκθρώσκουσα* Ph^b: in Lücke 2. Hd. M **15** *καθὼς* undeutl. O | *ἐδίδαξεν — ἦ*(*λθ*)*ον* unleserl. O | *ἐδίδασκεν* M Al **16** *τί* < P Ph; auch B, aber e. Zeichen des Ausfalls | *τί ἤ*(*θελον*) *— ἀνήφθη* unleserl. u. *γῆν ἡμῶν* undeutl. O | *εἰ ἤδη ἀνήφθη* in Lücke 2. Hd. M | (*φρά*)*σας — διδασκαλίας* Z. 17 unleserl. O: *φράζων* M Al, dann bis *ὀξυκ.* Z. 17 ganz abweichend in Lücke 2. Hd. M Al **18** *αὐτοῦ* O 60 **18f** *τῇ δικ. κ. τῇ σοφίᾳ* Ph **19** *ἀνομβρούσης — λαμπάδες* S. 68, 20 < Ph **23** *ἔλαιον . . κἀκεῖνοι* < O

πετάσματος ἔναντι κυρίου«. ἀλλ᾽ ἐκείνοις μὲν βραχύτατον φῶς προσετέτακτο θεραπεύειν »ἀφ᾽ ἑσπέρας εἰς ἕω«. ὁ γάρ τοι λύχνος αὐτῶν ἔοικεν εἰκάζεσθαι τῷ λόγῳ τῷ προφητικῷ τὴν ἐπὶ σωφροσύνῃ φαίνοντι παρρησίαν, τρεφόμενος ἀπὸ τῶν πράξεων καὶ | τῆς 142 πίστεως τοῦ λαοῦ, ὁ δὲ ναὸς τῷ »σχοινίσματι τῆς κληρονομίας«, ἐπειδήπερ λύχνος περὶ οἶκον ἕνα μόνον δύναται φαίνειν. πρὸ τῆς ἡμέρας οὖν ἐχρῆν τοῦτον καίεσθαι τὸν λύχνον· »καύσουσι« γάρ φησιν »αὐτὸν ἕως πρωΐ«, τουτέστιν ἕως τῆς παρουσίας τοῦ Χριστοῦ, ὅτι »τοῦ ἡλίου« τῆς ἁγνείας ἀνατείλαντος καὶ »τῆς δικαιοσύνης« οὐ χρεία λύχνου. ὅσον μὲν οὖν ὁ λεὼς ἐκεῖνος χρόνον ἀπεθησαύριζε τὰ τρέφοντα τὸν λύχνον ἐπιχορηγῶν τὸ ἔλαιον διὰ τῶν ἔργων, ὁ λύχνος αὐτοῖς οὐκ ἔσβεστο τῆς σωφροσύνης, ἀλλ᾽ ἦν φαινόμενος ἀεὶ καὶ λάμπων ἐν τῷ »σχοινίσματι τῆς κληρονομίας«· ὅτε δὲ ἐπέλιπε τὸ ἔλαιον ἀπὸ τῆς πίστεως εἰς ἀκολασίαν αὐτῶν ἐκτρο|παλιζομένων, ὁ 143 λύχνος ἄρδην ἀπεσβέσθη, ἵνα δὴ πάλιν ἐξαστράψωσι τὰς λαμπάδας ἐπαλλήλοις διαδοχαῖς ἄνωθεν αἱ παρθένοι τῷ κόσμῳ πυρσεύουσαι τὴν ἀφθαρσίαν. χορηγητέον οὖν δὴ τὸ ἄτρυγον ἔλαιον καὶ νῦν τῶν καλῶν ἔργων ἀδεῶς καὶ τῆς συνέσεως, πάσης κάτω βριθούσης ἀφυλισμένον φθορᾶς, ἵνα μὴ »χρονίσαντος τοῦ νυμφίου« σβεσθῶσιν ὁμοίως καὶ ἡμῶν αἱ λαμπάδες. ὁ γάρ τοι χρονισμός ἐστι τὸ πρὸ τῆς παρουσίας διάστημα τοῦ Χριστοῦ, ὁ δὲ νυσταγμὸς καὶ ἡ κοίμησις τῶν δέκα παρθένων ἡ ἔξοδος ἀπὸ τοῦ βίου, τὸ δὲ μεσονύκτιον ἡ βασιλεία τοῦ ἀντιχρίστου, καθ᾽ ἣν ὁ ὀλοθρευτὴς ἄγγελος ἐπιπορεύεται τὰς οἰκίας. ἡ δὲ κραυγὴ ἡ γεγενημένη καὶ | λέγουσα »ἰδοὺ ὁ νυμφίος 144 ἔρχεται· ἐξέρχεσθε εἰς ἀπάντησιν αὐτοῦ« ἡ φωνή ἐστιν ἡ ἀπὸ τῶν οὐρανῶν καὶ ἡ σάλπιγξ, ὁπότε πάντες ἐξαναστάντων αὐτοῖς οἱ ἅγιοι

5. 13 Deut. 32, 9. Psal. 104, 11 — **7** Lev. 24, 3 — **9** Mal. 4, 2. Apok. Joh. 21, 23. 22, 5 — **16** Plato Pol. I, 328 A — **19** Mt. 25, 5. 8 — **23** Exod. 11, 4. 12, 23 — **24** Mt. 25, 6 — **26** I Thess. 4, 16. 17

20—S. 69, 2 Phot. Bibl. 237 S. 310a, 4—12

2 ὁ γάρ P 187v **3f** ἐπὶ σωφροσύνην B **7f** γάρ φησιν αὐτὸν O P, γὰρ αὐτόν φησιν V B Jh **8** τῆς < B Jh **10** ἀπεθησαύριζε O: ἀπεθησαύρισε B **13** λάμπων] λαμπρὸς P **14** ἐκτροπαλισθέντων viell. richtig O **16** διαδοχαῖς P Jh: διδαχαῖς O **18** κάτω βριθ. s. Index **20** ὁμοίως undeutl. O | ὁ γὰρ — ἐστι] χρονισμὸν δὲ Ph S. 310a, 4 | ὁ γάρ P 188 **21** τῆς (παρ)ουσίας δ. unleserl. O | ὁ δὲ — κοίμ.] νυσταγμὸν δὲ καὶ κοίμησιν Ph | κίνησις O **22** τῶν — ἔξοδος] τῆς παρθένου τὴν ἔξοδον τὴν Ph | δέκα + O | παρθένων — τ(ὸ) unleserl. O **22f** μεσον. δὲ τὴν βασιλείαν Ph **22** δὲ — βασιλεία Z. 23 undeutl. O **23** καθ᾽ — οἰκίας Z. 24 unleserl. O: Lücke in M, aber Al **24** ἡ δὲ — λέγ.] κραυγὴν δὲ λέγουσαν Ph | κραυ.. O | ἡ γεγ. O 60v: ἡ γενομένη Al Jh **25** ἡ φ. — σάλπ. Z. 26] τὴν ἀ. τ. οὐρ. φωνὴν κ. σάλπιγγα Ph | ἐστὶν ἡ φωνὴ P Jh **26** πάντων O P | οἱ ἅγιοι < Ph

τῶν σωμάτων ἐπὶ νεφελῶν οἰχήσονται, »εἰς τὴν ἀπάντησιν« ἁρπασθέντες »τοῦ κυρίου«. προσεκτέον γὰρ ὅτι μετὰ τὴν κραυγὴν ἐγηγέρθαι πάσας ἔφη τὰς παρθένους ὁ λόγος, τουτέστι μετὰ τὴν ἐκ τῶν οὐρανῶν ἐνεχθεῖσαν βοὴν ἀναστήσεσθαι τοὺς νεκρούς· ὥς που καὶ Παῦλος παρεγγυᾷ, ὅτι »αὐτὸς ὁ κύριος« λέγων »ἐν κελεύσματι, ἐν φωνῇ ἀρχαγγέλου καὶ ἐν σάλπιγγι θεοῦ καταβήσεται ἀπ' οὐρανοῦ, καὶ οἱ νεκροὶ ἐν Χριστῷ ἀναστήσονται πρῶτον« (τουτέστι τὰ σκηνώματα· ἐνεκρώθησαν γὰρ ἀπαμφιασθέντα τῶν ψυχῶν)· »ἔπει|τα ἡμεῖς 145 οἱ ζῶντες ἅμα σὺν αὐτοῖς ἁρπαγησόμεθα«, τὰς ψυχὰς λέγων· ἡμεῖς γὰρ κυρίως οἱ ζῶντές ἐσμεν αἱ ψυχαί, αἵτινες μετὰ τῶν σωμάτων, ἀπειληφυῖαι ταῦτα, ἐν νεφέλαις ὑπαντησόμεθα τὰς λαμπάδας φέρουσαι κεκοσμημένας οὐκ ἀλλοτρίῳ καὶ κοσμικῷ κόσμῳ τινί, ἀλλὰ τῷ φρονήσεως καὶ σωφροσύνης, ἄστρων δίκην ἀποστιλβόντων σέλας αὐγῆς αἰθερίου πεπληρωμένον.

V. Ταῦτα τῶν ἡμετέρων, ὦ καλλιπάρθενοι, τὰ ὄργια μυστηρίων· αὗται τῶν ἐν παρθενίᾳ μυσταγωγηθέντων αἱ τελεταί· ταῦτα τὰ ἐπίχειρα »τῶν ἀμιάντων ἄθλων« τῆς σωφροσύνης. νυμφεύομαι τῷ λόγῳ καὶ τὸν ἀΐδιον τῆς ἀφθαρσίας προῖκα λαμβάνω στέφανον καὶ πλοῦτον παρὰ τοῦ πατρός, καὶ »ἐν τοῖς αἰῶσι στεφανηφοροῦσα πομπεύω« τὰ | λαμπρὰ καὶ ἀμάραντα τῆς σοφίας ἄνθη· συγχορεύω βρα- 146 βεύοντι τῷ Χριστῷ κατ' οὐρανὸν ἀμφὶ τὸν ἄναρχον καὶ ἀνώλεθρον βασιλέα· ἀδύτων γέγονα λαμπαδηφόρος φώτων καὶ ἐφυμνῶ τὸ καινὸν μετὰ τῆς ὁμηγύρεως ᾆσμα τῶν ἀρχαγγέλων, τὴν καινὴν χάριν ἐξαγγέλλουσα τῆς ἐκκλησίας· ξυνέπεσθαι γὰρ ἀεὶ τὸν ὅμιλον τῶν παρθένων τῷ κυρίῳ καὶ συνθιασωτεύειν ἔνθα ἂν εἴη, λόγος ἠχεῖ. καὶ

2 Mt. 25, 7 — **5** I Thess. 4, 16. 17 — **7** De res. II, 21, 4. III, 21, 7 — **10** vgl. De res. III, 21, 12. Plato Axioch. 365 E — **12** Plato Phaed. 114 E — Meth. Symp. S. 65, 16. 73, 4 — **17** Weish. Sal. 4, 2 — **24** Apok. Joh. 14, 3. 4

1 ὀχήσονται P **2** κυρίου] es endet Ph **4** 'ὥπου B **5f** καὶ ἐν φωνῇ P **9f** Pl ἡμεῖς . . ἐσμὲν ψυχή **11** ὑπαντησόμεθα O: ἀπαντησόμεθα P Jh **12f** Pl κοσμήσας τὴν ψυχὴν οὐκ ἀλλοτρίῳ ἀλλὰ τῷ αὐτῆς κόσμῳ, σωφροσύνῃ τε καὶ δικαιοσύνῃ **12** ἀλλὰ P 188v | τῷ] τὸ P **15** καλιπάρθενοι P (nicht B) **18** λαμβάνων B **20** τὰ < P | τὰ ἄνθη P: ἄνθεα O **22** (λαμπαδηφό)ρος φ(ώτ)ων unleserl. O (φωτὸς M, ab. φώτων w. e. sch. O) | λαμπαδιφόρος P (nicht B) | καινὸν w. e. sch. auch O, καινότατον M Al **23** (ἀ)ρ(χ)αγ(γ)έλων τὴν unleserl. O | χάριν P, so auch Jh S. 292 Al: χαρὰν w. e. sch. O (M Al), viell. richtig **24** (ἐκκ)λ(ησ)ίας (ξ)υνέπ. — τὸν unleserl. O | συνέπεσθαι P **25** τῷ — σ(υν)θι(ασω)τεύ(ειν) ἔνθα (ἂν) εἴ(η) unleserl. O | ὁ λόγος P M Al Jh • ἔχει viell. richtig O Jh **25f** ἠχεῖ τοῦτο P | καὶ vor τοῦτο + O 61

τοῦτο καὶ Ἰωάννης ἐν τῇ περὶ τῶν ἑκατὸν τεσσαράκοντα χιλιάδων καὶ τεσσάρων αἰνίσσεται μνήμῃ. ἴτε οὖν, ὦ νεολαία τῶν καινῶν αἰώνων, ἴτε τὰ ἀγγεῖα πληρώσατε σφῶν δικαιοσύνης· ὥρα γὰρ λοιπὸν ἐξεγείρεσθαι καὶ ὑ|παντιάζειν τῷ νυμφίῳ. ἴτε τὰς ἴϋγγας καὶ τὰ 147
θέλγητρα κούφως παραμείψασαι τοῦ βίου τὰ περιδινοῦντα καὶ γοητεύοντα τὴν ψυχήν· τεύξεσθε γὰρ τῶν ἐπαγγελμάτων,

καὶ »μὰ τὸν ἁμετέρας« ζωᾶς δείξαντα κέλευθον.

Σοὶ τόνδε πλεκτὸν στέφανον ἐκ τῶν προφητικῶν λειμώνων, ὦ Ἀρετή, κἀγὼ κοσμήσασα προσφέρω.

Λόγος ζ'.

Πρόκιλλα.

Διαπεραναμένης οὖν ἄριστα καὶ Ἀγάθης, ἔφη, τὸν λόγον καὶ εὐδοκιμησάσης ἐφ' οἷς ἰσηγόρησεν, πάλιν ἡ Ἀρετὴ τὴν Πρόκιλλαν ἐκέλευσε λέγειν.

I. Ἡ δὲ ἀναστᾶσα καὶ ἔμπροσθεν παρελθοῦσα τῆς κλισιάδος ἔλεξε τοιάδε· Ἀπορραθυμεῖν καὶ μετὰ τοσούτους οὐ θέ|μις μοι λόγους, 148
ὦ Ἀρετή, ἀναμφισβητήτως πεπιστευκυῖαν τῇ »πολυποικίλῳ τοῦ θεοῦ σοφίᾳ«, πλουσίως ἐχούσῃ διδόναι καὶ διαφόρως ὅτῳ βούλεται. καὶ γὰρ πελάγιοι πλωτῆρές φασι φέρεσθαι μὲν τοῖς ναυτιλλομένοις τὸ αὐτὸ πνεῦμα, ἄλλους δὲ τὰ περὶ τὸν πλοῦν ἀλλοίως [αὐτῶν] μεταχειριζομένους οὐκ εἰς τὴν αὐτὴν εἰσορμίσασθαι σπεύδειν· οἷς μὲν γὰρ

3 Mt. 25, 4. 6f. Röm. 13, 11 — 7 Diels, Vorsokr. 45, 15 — 8 Eurip. Hippol. 73f, vgl. Symp. 198 Al. De sanguis. 1, 1. Mart. Lugd. bei Eus. KG. V, 1. Klem. Al. Paed. II, 8 — 17 Ephes. 3, 10

15—18 SS Parall. Holl 200

1 περὶ + P 1f χιλιάδων καὶ τεσσαρ. καὶ τ. P Jh 2 νεωλέα P, νεολέα B 2f τῶν κεινεώνων P, τ. κενεώνων VB 3 τὰ < P 5 τὰ P 189 | περιδ. vgl. S. 60, 20: παραδινοῦντα P 7 ζωᾶς Jh: ζωῆς HSS 8 προφητείας πλεκτὸν PB, aber in B mit e. Zeichen über προφ. 10 f Λόγ. ζ' Πρόκ. vor Ἡ δὲ Jh, < O 12 für ein Δ vor ιαπεραν. Raum in O 13 ἠγόρευσε Jh | προκίλλαν P 15 ἀνασθῆσα B 16 Ἀπορρ. — βούλεται Z. 18 in C (nach K Bl. 250). Lemma: τοῦ ἁγίου Μεθοδίου ἐκ τῶν περὶ ἁγνείας συμποσίων | ἀποραθυμεῖν C | ἀπο-Ἀποῤῥαθυμεῖν B | καὶ — Ἀρετή Z. 17] πρὸς τὸ τὰ συμφέροντα διηγήσασθαι οὐ θέμις, ὦ ἄνδρες C | καὶ < B 17 πεπιστευκυῖα B: πεπιστευκότας C | ποικίλῃ O 17f σοφ. τοῦ θεοῦ P Jh 18 ὅτε βούλ. P: τοῖς βουλομένοις C u. endet 20 πλ. ἀλλοίους P | αὐτὸν P (o Correctur in B): getilgt von Wd 21 εἰσαρμόσασθαι σπουδὴν P

τὸ πνεῦμα κατὰ πρύμναν οὔριον ἵσταται, τοὺς δὲ καὶ ἐξ ἐγκαρσίων
φέρει, καὶ ὅμως ἑκατέροις ὁ πλοῦς ἀνύεται ῥᾷστα. ἀτὰρ δὴ καὶ τὸ
τῆς σοφίας »νοερὸν πνεῦμα καὶ ἅγιον καὶ μονογενές«, ἀπὸ τῶν
πατρῴων ἄνωθεν πράως καταπνεόμενον θησαυρῶν, πάσαις ἡμῖν
λιγυρὸν οὖρον πνεῦσαν γνώσεως ἐπαρκέσει τὸν δρόμον ἀλύπως 149
ἀπευθῦναι τῶν λόγων· ἐμοὶ γὰρ καιρὸς ἤδη λέγειν.

Εἷς τρόπος ἀληθὴς ἐπαίνων οὗτός ἐστιν, ὦ παρθένοι, καὶ
σεμνός, ὁπόταν ὁ ἐπαινῶν τοῦ ἐπαινουμένου τῶν ἐπαίνων κρείττονα
παρέχῃ μάρτυρα· πάρεστι γὰρ ἐντεῦθεν μαθεῖν ἀκριβῶς, ὅτι μὴ πρὸς
χάριν μηδὲ ἐξ ἀνάγκης μηδὲ κατὰ δόξαν ἡ εὐφημία γίνεται τῶν
λόγων, ἀλλὰ κατὰ ἀλήθειαν καὶ ἀθώπευτον κρίσιν. καὶ γὰρ οἱ πληρέ-
στερον εἰσηγησάμενοι περὶ τοῦ πρὸ αἰώνων υἱοῦ τοῦ θεοῦ προφῆται
καὶ ἀπόστολοι καὶ μᾶλλον αὐτὸν τῶν ἄλλων θεολογήσαντες ἀνθρώ-
πων οὐκ εἰς ἀγγελικὴν ἀνήγαγον αὐτῷ ῥῆσιν τοὺς ἐπαίνους, ἀλλ'
εἰς αὐτὸν τὸν ἀνημμένον πάντων τὸ κῦρος καὶ τὸ | κράτος· ἦν γὰρ 150
ἐμπρεπὲς τὸν ἁπάντων μείζονα τῶν ἄλλων μετὰ τὸν πατέρα μόνῳ
τῷ ἑαυτοῦ μείζονι πατρὶ χρήσασθαι μάρτυρι. καὶ δὴ καὶ τῆς ἁγνείας
οὐκ εἰς ἀνθρωπίνην ἀνοίσω κἀγὼ δόξαν τοὺς ἐπαίνους, ἀλλ' εἰς
αὐτόν, ᾧ μέλομεν καὶ ὃς τὸ πᾶν ἀνήρηται, γεωργὸν αὐτῆς ἀπο-
δεικνύουσα τοῦτον καὶ ἐραστὴν τῆς ὥρας ὄντα καὶ ἀξιόχρεω μάρ-
τυρα. καὶ τοῦτο καὶ ἐν τῷ τῶν Ἀισμάτων Ἄισματι πάρεστι δια-
θρῆσαι τῷ βουλομένῳ φανερῶς, ἔνθα αὐτὸς ὁ Χριστὸς τὰς ἐν παρ-
θενίᾳ παγίως καταγεγενημένας ἐγκωμιάζων φησίν »ὡς κρίνον ἐν
μέσῳ ἀκανθῶν, οὕτως ἡ πλησίον μου ἐν μέσῳ τῶν θυγατέρων«,
κρίνῳ παρεικάζων διὰ τὸ καθαρὸν καὶ εὔπνουν καὶ ἡδὺ καὶ ἱλα|ρὸν 151
τὸ χάρισμα τῆς ἁγνείας· ἐαρινὸν γὰρ ἡ ἁγνεία καὶ ἐπανθοῦν ἁβρῶς

3 Weish. Sal. 7, 22 — **4** De res. II, 8, 10 — **5** vgl. Odyss. 5, 268 — **7** Plato Symp. 195 A — De autex. 8, 3 — **11** De res. I, 27, 2. 5 — **16** Joh. 14, 28 — **23** Hohel. 2, 2

1 *πρύμνης* B, *πρύμνας* Cb **3** *καὶ* vor *ἅγιον* < P **4** *πάσαις* P 189v **5** *οὔριον* P | *ἐπαρκέσοι* P, *οι* undeutl. B: ? O | Od. *οὖρον .. λιαρόν* | *τὸν δρόμον* < P **6** *(ἀ)πευθ(ῦναι)* unleserl. O | *τὸν λόγον* P | *(λέ)γειν — ἐπαί(νων)* Z. 7 unleserl. O **7** Pl *εἷς δὲ τρόπος ὀρθὸς παντὸς ἐπαίνου* **8** *ὁ(π)όταν — ἐπαιν(ουμένου)* unleserl. O | *τοῦ ἐπαιν.*] *καὶ* + Cb Jh | *ἐπαίνων*] *ἐπαινουμένων* P | *κρείττω* Jh **9** *(π)αρέχῃ — ἐντεῦθε(ν μα)θεῖν* unleserl. O | *παρέχει* M Al | *πρὸς* O 61v **12** *πρὸ αἰώνων υἱοῦ* O: *τοῦ πρὸ αἰώνων* nach *θεοῦ* P: < Cb Jh **14** *αὐτοῦ*? wie *τῆς ἁ.* Z 17 Kl **17** *τῷ* < B | *μείζονι* < P | *πατρὶ* < O | *καὶ* vor *τῆς* < P **18** *ἀνήσω* O **19** *μέλλομεν* O P **20** *ἀξιόχρεον* P: *ἀξιόχρεων* V B **21** *παρέστησε* P **22** *τῷ βουλ.* P 190 | *ὁ Χριστὸς*] *ὁ* $\overline{\chi\varsigma}$' O

ἀεὶ λευκοῖς τοῖς κάλυξι τὴν ἀφθαρσίαν. ὅθεν δὴ καὶ ἐρᾶσθαι τοῦ κάλλους τῆς ἀκμῆς αὐτῆς ὁμολογεῖν οὐκ ἐπαισχύνεται, »ἐκαρδίωσας ἡμᾶς« ἐν τοῖς ἑξῆς »ἀδελφή μου νύμφη«, λέγων »ἐκαρδίωσας ἡμᾶς ἑνὶ ἀπὸ ὀφθαλμῶν σου, ἐν μιᾷ ἐνθέματι τραχήλου σου. ὅτι ἐκαλλιώθησαν μαστοί σου ἀπὸ οἴνου, καὶ ὀσμὴ ἱματίων σου ὑπὲρ πάντα τὰ ἀρώματα. κηρίον ἀποστάζουσι χείλη σου, νύμφη· μέλι καὶ γάλα ὑπὸ τὴν γλῶσσάν σου, καὶ ὀσμὴ ἱματίων σου ὡς ὀσμὴ λιβάνου. κῆπος κεκλεισμένος, ἀδελφή μου νύμφη, κῆπος κεκλεισμένος, πηγὴ ἐσφραγισμένη«. | ταῦτα Χριστὸς ταῖς ἐπὶ πέρατα παρθενίας ἐλθούσαις 152 τὰ ἐγκώμια ψάλλει, πάσας ἑνὶ περιγράψας τῷ νύμφης ὀνόματι, ἐπειδὴ τὴν νύμφην ἡρμόσθαι μὲν δεῖ καὶ κατωνομάσθαι τῷ μνηστευσαμένῳ, ἄχραντον δὲ ἔτι καὶ ἀμιγῆ τυγχάνειν, παράδεισον ὥσπερ ἐσφραγισμένην, ἐν ᾧ πάντα τῆς εὐωδίας τῶν οὐρανῶν φύει τὰ ἀρώματα, ἵνα μόνος ἐλθὼν αὐτὰ δρέψηται Χριστὸς ἀσωμάτοις βλαστήσαντα σποραῖς. ἐρᾷ γὰρ ὁ λόγος οὐδενὸς τῶν σαρκός, ὅτι μὴ πέφυκεν ἀποδέχεσθαί τι τῶν φθειρομένων, οἷον χεῖρας ἢ πρόσωπον ἢ πόδας, ἀλλ' εἰς αὐτὸ τὸ ἄϋλον καὶ πνευματικὸν βλέπων εὐφραίνεται κάλλος, μὴ ἁπτόμενος τοῦ σώ|ματος τῆς ὥρας. 153

II. Ἐπισκέψασθε γὰρ ὅτι τὸ »ἐκαρδίωσας ἡμᾶς«, ὦ παρθένοι, τῇ νύμφῃ πρὸς αὐτοῦ λεγόμενον, »ἑνὶ ἀπὸ ὀφθαλμῶν σου« τὸν διορατικὸν τῆς φρονήσεως ὀφθαλμὸν δείκνυσιν, ὁπότε δὴ τοῦτον ὁ ἔσω σμήξας ἄνθρωπος καθαρῶς τρανότερον τὴν ἀλήθειαν ἐποπτεύει· δισσὴν γὰρ ὄψεως δύναμιν εἶναι παντί που καταφανές, μίαν μὲν ψυχῆς, θατέραν δὲ σώματος. ἀλλ' οὐχὶ τῆς τοῦ σώματος ὁ λόγος ἐρᾶν ὁμολογεῖ, ἀλλὰ τῆς κατὰ διάνοιαν μόνης, »ἐν ἑνί« φάσκων

2 Hohel. 4, 9—12 — **11** vgl. II Kor. 11, 2 — **13** vgl. Hohel. 4, 6. 5, 1 — **16** Plato Symp. 211 A E — **18** vgl. Plato Legg. VIII, 837 B — **21** vgl. Plato Pol. VII, 527 E

1 ἠρᾶσθαι O P **3** νύμφη < P **4** ἐν vor ἑνὶ + Jh | τοῦ vor τραχήλου + P **5** μασθοί P | ἀπὸ οἴνου < B Jh **6** (κηρ)ίον (ἀ)ποστ(άζουσι) unleserl. O **7** γλῶσσαν — ὀσ(μὴ ἱματ.) unleserl. O | (λι)βάνου — ἀδελ(φή) Z. 8 unleserl. O **8** μου auch nach νύμφη P | (κῆ)πος — Χριστὸς außer ταῦτα unleserl. O | κῆπος — ἐσφραγ. Z. 9 in Lücke in M **9** ἐπὶ O 62 **12** ἄκρατον P | τυγχάνειν P 190v **13** φύουσι O **14** βλαστήσασα B **16 f** Pl 211 A οἷον πρόσωπόν τι οὐδὲ χεῖρες. 211 E αὐτὸ τὸ θεῖον καλὸν . . κατιδεῖν **18** Pl τῆς ὥρας ἅπτεσθαι **19** ἐπισκέψασθαι O | ἡμᾶς < B **19 f** λεγ. πρ. αὐτοῦ τῇ νύμφῃ P Jh **20** ἐν vor ἑνὶ + Jh **22** τρανώτερον P **23** ὄψεων P | εἶναι δύναμιν P Jh **24** ἐρᾷν ὁ λόγ. P Jh **25** μόνον P Jh

»ἐκαρδίωσας ἡμᾶς ἀπὸ ὀφθαλμῶν σου, καὶ ἐν μιᾷ, ἐνθέματι τραχήλου
σου«, ὅπερ ἐστίν· ὦ αὕτη, τῷ ἐπεράστῳ σου βλέμματι τῆς συνέσεως
ἀνεπτέρωσας ἡμῶν τὴν καρδίαν εἰς πόθον, ἔσωθεν τὸν ἀρίδηλον
κόσμον ἐξαστράπτουσα τῆς σω|φροσύνης. ἐνθέματα γὰρ τραχήλων 154
καλεῖται τὰ περιδέραια, τὰ ἐκ τιμίων καὶ ποικίλων συντιθέμενα
λίθων. ἀλλ' αἱ μὲν σωμασκοῦσαι ψυχαὶ τὸν αἰσθητὸν τουτονὶ κόσμον
ἀμφὶ τὸν τράχηλον τὸν ἔξω τῆς σαρκὸς περιτιθέασι πρὸς ἀπάτην
τῶν θεωμένων, αἱ δὲ ἁγνεύουσαι ἔνδοθεν ἔμπαλιν τὸν κόσμον
ἐξάπτονται, τὸν ἀπὸ τῶν τιμίων καὶ ποικίλων ὡς ἀληθῶς συγκεί-
μενον λίθων τῆς ἐλευθερίας, τῆς μεγαλοφροσύνης, τῆς σοφίας, τῆς
ἀγάπης, ὀλίγα φροντίσασαι τῶν τῇδε προσκαίρων ποικιλμάτων, ἃ
φύλλων δίκην πρὸς ὥραν θάλλοντα συναφαναίνονται τοῦ σώματος
ταῖς τροπαῖς. διπλοῦς γὰρ ὁ περὶ τὸν ἄνθρωπον φαίνεται κόσμος,
ὧν τὸν ἔνδον ὁ κύριος | ἀποδέχεται, τὸν ἀκήρατον, »ἐν μιᾷ« λέγων 155
»τραχήλων ἐνθέματι« τῆς νύμφης κεκαρδιῶσθαι, οἱονεὶ τὸ τοῦ ἔσω-
θεν ἀνθρώπου τῆς καταστολῆς αἴγλην ἀποστίλβοντος ὠρέχθαι ση-
μαίνων, ὥς που καὶ ὁ ψαλμῳδὸς μαρτυρεῖ, »πᾶσα« λέγων »ἡ δόξα
τῆς θυγατρὸς τοῦ βασιλέως ἔσωθεν«.

III. Μὴ ὑπολαμβανέτω δέ τις ἀποκρούεσθαι τὸν ἕτερον ὅμιλον τῶν πεπιστευκότων, δόξας ἡμᾶς τὰς παρθένους μόνας εἰσηγεῖσθαι τευξομένας τῆς ἐπαγγελίας, οὐ συννοήσας ὅτι καὶ φυλαὶ καὶ πατριαὶ καὶ τάγματα »κατ' ἀναλογίαν« ἑκάστων ἔσονται »τῆς πίστεως«. καὶ τοῦτο καὶ Παῦλος διαγράφει, »ἄλλη δόξα ἡλίου, καὶ ἄλλη δόξα σελή-

4 Plato Pol. IV, 430 E. Meth. Symp. S. 65, 16. 69, 12 — **6** De res. I, 28, 1. 4 — **11** vgl. Plato Phaed. 65 A — **14** vgl. I Petr. 3, 4 — **17** Psal. 44, 14 — **21** 1 De res. I, 49, 2 — **22** Röm. 12, 6 — **23** I Kor. 15, 41

1 *καὶ ἐν — ἐπεράστῳ σου* Z. 2 < B **4** Pl *κόσμος πού τις . . ἡ σωφροσύνη ἐστὶ* | *κόσμον* < P | *ἐνθέματα* P 191 **5** *καλοῦνται* O | *περιδέρραια* O, *περιδέρεα* P, *περί-δέῤῥεα* B | *ποικίλων καὶ τιμίων* P Jh **6** *τουτονὶ* sehr undeutl. O **7** *(σαρ)κὸς περιτιθέασι* unleserl. O **8** *ἁγνεύουσαι* unleserl. O **9** *τιμίων — συγκείμενον* Z. 9f unleserl. O (*ὡς — π. συγκ.* Z. 9f nachträglich eingefügt in M) — *τιμ. ὡς ἀλ. κ. ποικ. σ.* M Al **10** *τῶν τῆς*[1] M | *τῆς μεγ. — φ(ρον)τί(σα)σ(αι)* unleserl. O | *τῆς σοφ. — συναναφ.* Z. 12 in Lücke nachträgl. in M **11** *ἀγάπ.*] *σωφροσύνης* M Al | *φροντίζουσαι* M Al | *προσκαίρων* < O Jh | *(ποι)κιλμάτων — συ(ναφαναίν)ον(ται)* Z. 12 unleserl. O **12** *φύλλων*] *δι' ἀλλήλων* M Al | *πρ. ὥρ. θ.*] anders M Al | *ἐπαφαναίνονται* M Al | *τοῦ σώμ.* O 62v **15** *τὸ* + O **16** *αἴγλην*] *ἀπλῆν* O **19** *ἀποκρίνεσθαι* O Jh **20** *εἰσηγήσασθαι* P **21** *τευξομένους* B | *συννο|ήσας* P 191v **22** *ἕκαστον* P

νης« λέγων »καὶ ἄλλη δόξα ἀστέρων· ἀστὴρ γὰρ ἀστέρος διαφέρει |
ἐν δόξῃ. οὕτως καὶ ἡ ἀνάστασις τῶν νεκρῶν«. καὶ ὁ κύριος δὲ οὐ 156
πᾶσι τὰς αὐτὰς ὁμολογεῖ διδόναι τιμάς, ἀλλ' ἑτέρους μὲν ἐπὶ τὰ
βασίλεια καταριθμεῖται τῶν οὐρανῶν, ἄλλοις κληρονομίαν ἐπαγγέλ-
λεται γῆς, ἑτέροις ὄψεσθαι τὸν πατέρα. καὶ δὴ καὶ ἐνταῦθα πρῶτον
τὸ τάγμα καὶ τὸν χορὸν τὸν ἅγιον αὐτῷ τῶν παρθένων ὥσπερ εἰς
νυμφῶνα τὴν ἀνάπαυσιν τῶν καινῶν αἰώνων ἐφομαρτοῦντα συνεισ-
ελεύσεσθαι χρησμῳδεῖ. ἐμαρτύρησαν γὰρ οὐ κατά τι μόριον χρόνων
ἐν βραχεῖ καρτερήσασαι σωμάτων ἀχθηδόνας, ἀλλὰ διὰ παντὸς ἔτλη-
σαν τοῦ βίου μὴ ἀποδειλιάσασαι τὸν ἀγῶνα τὸν Ὀλυμπιακὸν ἀληθῶς
διαθλῆσαι τῆς ἁγνείας· βασάνοις τε γὰρ ἀγρίαις ἡδονῶν καὶ φόβοις
καὶ λύπαις ἀντισχοῦσαι καὶ τοῖς ἄλλοις τῆς | πονηρίας τῶν ἀνθρώ- 157
πων κακοῖς, ἀποφέρονται τὰ γέρα πρῶται τῶν ἄλλων, εἰς τὸν ἀμεί-
νω τῆς ἐπαγγελίας ἐκτασσόμεναι χῶρον. ἀμέλει ταύτας μόνον
ἐκλεκτὴν νύμφην τὰς ψυχὰς καὶ γνησίαν ὁ λόγος ἑαυτοῦ καλεῖ, τὰς
δὲ λοιπὰς παλλακὰς καὶ νεανίδας καὶ θυγατέρας, λέγων ὧδε· »ἑξή-
κοντά εἰσι βασίλισσαι καὶ ὀγδοήκοντα παλλακαί, καὶ νεανίδες ὧν οὐκ
ἔστιν ἀριθμός. μία ἐστὶ περιστερά μου, τελεία μου· μία ἐστὶ τῇ μητρὶ
αὐτῆς, ἐκλεκτὴ τῇ τεκούσῃ αὐτήν. εἴδοσαν αὐτὴν θυγατέρες, καὶ
μακαριοῦσιν αὐτήν, βασίλισσαι καί γε παλλακαὶ αἰνοῦσιν αὐτήν«.
πολλῶν γὰρ οὐσῶν δηλονότι τῆς ἐκκλησίας τῶν θυγατέρων | μία 158

3 Mt. 5, 3. 5. 8 — **6** vgl. I Kor. 15, 23. Mt. 25, 1. 10. Apok. Joh. 14, 4 — **10** De res. I, 56, 2. Plato Phaedr. 256 B — **13** vgl. Hebr. 8, 6 — **16** Hohel. 6, 7. 8

14—S. **79, 12** Phot. Bibl. 237 S. 310 a, 13—311 a, 19

1 *λέγων* nach *ἀστέρων* O **2** *οὕτω* P Ausgg. **3** *μὲν* < P **3f** *ἐπὶ τὰ βασίλεια* O: *ἐν βασιλείᾳ* P Jh **8** *χρόνον* P, *χρόνου* B Jh **9f** *ἔτλησε* B **10** De res. I, 56, 2 *τὸν ἀληθῶς Ὀλυμπιακὸν ἀγῶνα*, Pl *τῶν ὡς ἀληθῶς Ὀλυμπιακῶν* **11** *διαθλήσασαι* P | *τὲ* (*τὶ*?) O | *ἀγρίοις* Cb Jh **12** *τοῖς* < O **14** *ἀμέλει — τῆς ἀφθαρσίας* S. 79, 12 mit Auslassungen bei Ph. Ph schickt voraus *ὅτι περὶ τῶν παρθένων κ. ἁγνῶν ψυχῶν πλεῖστα εἰπὼν ἐπιφέρει καὶ τοῦτο* | *μό|νον* P 192 **15** *νύμφην* undeutl. O | *κ. γνησίας* B: < Ph **15f** *τ. λοιπ. δὲ* Ph **16** *πελλακὰς* B | *νεανὶ* unleserl. O **17** (*βασ*)*ίλισσαι — παλλακαί* unleserl. O: 2. Hd. M | *καὶ νεανίδες — καί γε* Z. 20 < Ph[b] **18** (*ἀρ*)*ιθμός — ἐ*(*στὶ τῇ*) unleserl. O | *μία — μου* 2. Hd. M | *ἔστιν ἡ π.* M Al **19** (*αὐτῆ*)*ς — θυγατέρες* unleserl. O, etwas abweichend 2. Hd. M Al | nach *ἐκλεκτὴ* + *ἐστι* Ph[b] | *ἴδοσαν* P **19f** *καὶ μακαρ.* O 63 **20** *βασίλισσαι — αὐτήν* < P | *αἰνέσουσιν* Ph Jh

ἐστὶ μόνη ἐκλεκτὴ καὶ τιμιωτάτη ἐν ὀφθαλμοῖς αὐτῆς ὑπὲρ πάσας, τὸ τάγμα τῶν παρθένων.

IV. Ἐὰν δέ τῳ περὶ τούτων ἀμφισβήτησις ᾖ, ὡς οὐδέπω τῶν κεφαλαίων ἱκανῶς ἐπεξειργασμένων, καὶ ἔτι βούλοιτο κατ' ἀναγωγὴν αὐτῶν πνευματικὴν διαρθρωθῆναι πληρέστερον, τίνες εἰσὶν αἱ βασίλισσαι καὶ αἱ παλλακαὶ καὶ αἱ νεάνιδες, λέξομεν δύνασθαι ταῦτα λελαλῆσθαι καὶ ἐπὶ τῶν ἐξ ἀρχῆς κατὰ πρόβασιν χρόνων ἐν δικαιοσύνῃ διαπρεψάντων, οἷον τῶν πρὸ τοῦ κατακλυσμοῦ καὶ τῶν μετὰ τὸν κατακλυσμὸν καὶ τῶν ἀπὸ τοῦ Χριστοῦ καθεξῆς· εἶναι γὰρ νύμφην μὲν τὴν ἐκκλησίαν, βασιλίσσας δὲ τὰς βασιλικὰς ἐκείνας τὰς πρὸ τοῦ κατακλυσμοῦ ψυχάς, εὐαρέστους τῷ θεῷ γεγενημένας, τουτέστι τὰς ἀμφὶ τὸν Ἄβελ καὶ | τὸν Σὴθ καὶ τὸν Ἐνώχ, παλλακὰς δὲ τὰς 159
μετὰ τὸν κατακλυσμὸν τῶν προφητῶν, αἷς πρὸ τοῦ τὴν ἐκκλησίαν ἁρμοσθῆναι τῷ κυρίῳ παλλακίδων δίκην συγγινόμενος ἀληθεῖς ὑπέσπειρε λόγους ἐν ἀφθόνῳ καὶ καθαρᾷ φιλοσοφίᾳ, ἵνα γεννήσωσιν αὐτῷ συλλαβοῦσαι πίστιν, »πνεῦμα σωτηρίας«. τοιαῦτα γὰρ ἀποβλαστήματα φύουσιν αἱ ψυχαί, ἀείμνηστον φέροντα κάλλος, ὁπόσαις ἂν ὁ Χριστὸς συνανακραθῇ. εἰ γὰρ βούλεσθε εἰς Μωσέως ἀποβλέψαι τὰς βίβλους ἢ Δαυὶδ ἢ Σολομῶνος ἢ Ἡσαΐου ἢ τῶν καθεξῆς προφητῶν, ὦ παρθένοι, εἴσεσθε οἷα καταλελοίπασιν ἑαυτῶν ἔκγονα τῷ βίῳ σωτήρια διὰ τὴν πρὸς τὸν υἱὸν τοῦ θεοῦ κοινωνίαν. ὅθεν | τεθεωρημένως παλλακὰς προσηγόρευσε τὰς ψυχὰς τὰς προ- 160
φητικὰς ὁ λόγος, ὅτι μὴ φανερῶς αὐτὰς οὕτως ὥσπερ δὴ καὶ

5 Hohel. 6, 7 — **15** Plato Symp. 210 D — **16** Jes. 26, 18 — Plato Symp. 209 C D

1 *ἐστὶ μόνη* < P | *ἡ ἐκλεκτὴ* Ph | *αὕτη* P **3** *Ἐὰν — ἐκκλησίαν* Z. 10 < Ph | *ᾖ* P O: *ἦν* B: < Cb Jh **4** *κατὰ* O **5** *αὐτῶν* < O · **7** *ἐξ*] *ἀπ'* viell. richtig O | *πρόσβασιν* P **9** *τοῦ* < P **10** *βασίλισσαν δὲ* P: *βασιλίσσας δὲ αἰνίττεσθαι ἡ προφητεία βούλεται* Ph (*ὅτι οὐ ὑφ' ἕνα ἤγοντο βασιλέα βασιλευόμεναι, ἀλλ' ἑκάστη ὥσπερ αὐτοδέσποτος καὶ βασίλισσα ἦν, καὶ ὅτι τῶν μετὰ ταύτας ἀρχαὶ καὶ πρῶται ἦσαν* + Ph a) **11** *κατακλ.* P 192 v **15** *ἀφθόνῳ* Ph Jh mit Pl *λόγους . . τίκτῃ . . ἐν φιλοσοφίᾳ ἀφθόνῳ*: *ἀφθόρῳ* HSS (das *o* undeutl. B) | *γεννήσωσιν* Ph Jh: *γεννῶσιν* O P **16** *πνεῦμα* < Ph | *τοιαῦτα — τεθεωρημένως* Z. 22 < Ph **16 ff** Pl *τοιούτους παῖδας μᾶλλον γεγονέναι, . . εἰς Ὅμηρον ἀποβλέψας κ. Ἡσ. κ. τοὺς ἄλλους ποιητάς . ., οἷα ἔκγονα ἑαυτῶν καταλείπουσιν* **17** *κλέος* P Jh **18** *Μωϋσέως* B Jh **19** *τὰς* < P | *Σολομῶντος* B **20** *αὐτῶν* O **22** *τεθεωρημέναι ὡς* B | *παλλακὰς δὲ* wieder Ph | *προσηγόρ . . σε* O | *τὰς προφ. ψυχὰς* Ph **23** *(φανερ)ῶς (αὐ)τὰς οὕτως* unleserl. O | *αὐτὸς* M Al | *οὕτω* B: < Ph | *ὥσπερ* O Ph: *καθάπερ* P Jh

τὴν ἐκκλησίαν ἐπηγάγετο, θύσας δι᾽ αὐτὴν »τὸν μόσχον τὸν σιτευτόν«.

V. Ἐπαπορητέον δὲ καὶ τοῦτο πρὸς τούτοις, ἵνα μηδὲν ἡμᾶς τῶν ἀναγκαίων διαδρᾶναι δυνηθῇ, τί δήποτε τὰς μὲν βασιλίσσας ἑξήκοντα ἔφη, τὰς δὲ παλλακὰς ὀγδοήκοντα, τὰς δὲ νεάνιδας τοσαύτας, ὅσον μηδὲ ἀριθμεῖσθαι διὰ τὴν πληθύν, τὴν δὲ νύμφην μίαν. — καὶ πρῶτον ⟨μὲν⟩ περὶ τῶν ἑξήκοντα λεκτέον. ἑξήκοντα βασιλίσσας ἐντεῦθεν, ὡς οἶμαι, δὴ τοὺς ἀπὸ τοῦ πρωτοπλάστου μέχρι Νῶε κατὰ διαδοχὴν εὐαρεστήσαντας ἐκάλεσε τῷ θεῷ, ἐπειδήπερ ἑτέρων οὗτοι παραγγελμάτων καὶ θεσμῶν | εἰς τὸ σωθῆναι χρείαν οὐκ ἐσχήκασιν, 161 ἔτι προσφάτου τῆς κατὰ τὴν ἑξαήμερον οὔσης αὐτοῖς τοῦ κόσμου συστάσεως. ἐμέμνηντο γὰρ οὗτοι ὡς ἐν ἓξ ἡμέραις ὁ θεὸς ἐτεκτήνατο τὴν κτίσιν, τά τε ἐν τῷ παραδείσῳ γεγονότα καὶ πῶς ὁ ἄνθρωπος ἐντολὴν ἔχων μὴ ἅψασθαι τοῦ φυτοῦ τῆς φρονήσεως ἐξώκειλεν, ἀποβουκολήσαντος αὐτὸν τοῦ τῆς κακίας σοφιστοῦ. ἐντεῦθεν οὖν δὴ τὰς ἀπὸ τῆς συστάσεως εὐθέως τοῦ κόσμου κατὰ διαδοχὴν τὸν θεὸν ποθεῖν ἑλομένας ψυχὰς καὶ σχεδόν, εἰ χρὴ φάναι, τοῦ πρώτου αἰῶνος οὔσας ἔκγονα καὶ γείτονας τῆς μεγάλης ἑξαημέρου ἑξήκοντα βασιλίσσας ἔφη συμβολικῶς, διὰ τὸ μετὰ τὴν ἑξαήμερον εὐθέως, ὡς ἔφην, γεγονέναι. μεγάλην γὰρ ἐσχήκασιν οὗτοι τιμήν, ἀγγέλοις ὁμιλή|σαντες καὶ τὸν θεὸν ὕπαρ, οὐκ ὄναρ πολλάκις θεασάμενοι. ἐπι- 162 σκέψασθε γὰρ ὅσην ἔσχε παρρησίαν ὁ Σὴθ πρὸς τὸν θεόν, ὅσην ὁ Ἄβελ, ὅσην ὁ Ἐνώς, ὅσην ὁ Ἐνώχ, ὅσην ὁ Μαθουσάλα, ὅσην ὁ Νῶε,

1 Luk. 15, 23 — **4** Hohel. 6, 7. 8 — **12** Gen. 1 — **14** Gen. 3, 3. 6 — **18** vgl. Plato Tim. 40 D

1 *ἐπηγάγετο* Ph: *προσηγάγετο* O, ab. über *ροσ* übergeschr. *ἐπη* (*προεπηγάγετο* M Al): *εἰσηγάγετο* P | *τὸν* vor *μόσχον* < Ph **1f** *τὸν σι(τευτόν)* unleserl. O **3** *Ἐπαπορητέον — λεκτέον* Z. 7 < Ph | *(τούτ)οις — ἀναγ(καίων)* Z. 4 unleserl. O **4** *διαδρᾶναι* O: *ἀποδρᾶναι* P Jh | *(δή)ποτε — πα(λλα)κὰ(ς)* Z. 5 unleserl. O **5** *ἔφη*] *εἶναι λέγει* in Lücke M Al | *ὀ . δοή . οντα* O | *τὰς δὲ* O 63v | *νεάν.* P 193 **6** *ὅσας* O **7** *μὲν* + Cb Jh | *ἑξήκοντα δὲ* wieder Ph **8** *δὴ*] *δεῖν* P **9** *καλέσαι* P **10** *καὶ θεσμῶν* < Ph | *σωθήσεσθαι* Ph **11** *ἔτι δὲ* Ph | *αὐτῆς τοῦ* Ph^a **12** *οὗτοι ὡς* P: *ὅπως* O: *ὅτι* Ph **13** *καὶ πῶς — σοφιστοῦ* Z. 15 < Ph **15** *αὐτὸν τῆς κακίας τοῦ* O | *οὖν* < P Jh **16** *εὐθέως* < P **17** *ἑλομένας ποθεῖν* Ph^b | *τὰς τοῦ* (< Ph^b) *πρ.* Ph **18** Pl *ἐκγόνοις . . θεῶν* **19** *εὐθέως* O P: *ταύτας* Ph | *ὡς* < P **20** *οὗτοι τιμὴν ἐσχήκασιν* Ph **20f** *ὁμιλήσαντες* O Ph: *συνομιλήσαντες* P Jh, *συνομηλήσαντες* B **21** *πολλάκις* < Ph **21f** *ἐπισκ.* P 193v **23** *ὅσην ὁ Ἐνώς* < O Ph | *ὁ* vor *Μαθουσάλα* < Ph | *ὅσην ὁ Νῶε* < P

πρῶτοι δικαιοσύνης γεγονότες ἐρασταὶ καὶ πρῶτοι τῶν »πρωτοτόκων« τέκνων τῶν »ἀπογεγραμμένων ἐν οὐρανοῖς« τῆς βασιλείας καταξιωθέντες, ὥσπερ ἀπαρχή τις τῶν φυτευομένων εἰς σωτηρίαν πρώϊμος τῷ θεῷ βλαστήσαντες καρπός. καὶ περὶ μὲν τούτων αὐτάρκως· περὶ δὲ τῶν παλλακῶν πάλιν λεκτέον.

VI. Τοῖς μετὰ τὸν κατακλυσμὸν ἀπωτέρω λοιπὸν ἡ γνῶσις ἦν
τοῦ θεοῦ, καὶ ἔχρῃζον ἑτέρας διδαχῆς — ἑρπούσης ἤδη τῆς εἰδωλο-
λατρείας — ἥτις αὐτοῖς αὖθις ἀλεξίκακος ἔσοιτο καὶ βοηθός. ὁ οὖν
θεός, | ἵνα μὴ πάντῃ τὸ γένος τῶν ἀνθρώπων ἀϊστωθῇ λήθῃ τῶν 163
καλῶν, τὸν ἴδιον παῖδα τοῖς προφήταις ἐκέλευσεν ὑπηχῆσαι τὴν
ἐσομένην ἑαυτοῦ παρουσίαν διὰ σαρκὸς εἰς τὸν βίον, καθ' ἣν ἡ τῆς
πνευματικῆς ὀγδοάδος χαρὰ καὶ γνῶσις κηρυχθήσεται, ἀφέσεως ἁμαρ-
τημάτων οὖσα καὶ ἀναστάσεως παρεκτική· περιτμηθήσεσθαι γὰρ δι'
αὐτῆς τῶν ἀνθρώπων τὰ πάθη καὶ τὴν φθοράν. καὶ διὰ τοῦτο
τὸν κατάλογον τῶν ἀπὸ τοῦ Ἀβραὰμ προφητῶν, διὰ τὴν τῆς περι-
τομῆς πρεσβείαν τὸν ὀκτὼ περιεχούσης ἀριθμόν, ἧς ἐξήρτηται καὶ ὁ
νόμος, ὀγδοήκοντα παλλακὰς ἐκάλεσεν, ὅτι πρῶτοι, πρὶν τὴν νύμφην
τὴν ἐκκλησίαν κατεγγυηθῆναι τῷ λόγῳ, τὰ θεῖα συλλαβόντες σπέρ-
ματα, τῆς νοητῆς προεξήγγειλαν ὀγδοάδος | τὴν περιτομήν. — νεάνιδας 164
δὲ πάλιν εἰς ἀναρίθμητον συντελούσας ὅμιλον τὰ ὑπὸ τοῖς κρείττοσι
δικαιοπραγήσαντα πλήθη καὶ νεανικῶς καὶ γενναίως διαθλήσαντα
πρὸς τὴν ἁμαρτίαν καλεῖ.

1 Hebr. 12, 23 — **9** Plato Protag. 321 A — **15** vgl. Gen. 17, 12 — **16** Lev. 12, 3. — **21** Plato Theaet. 168 C

1 *καὶ πρῶτοι — καρπός* Z. 4 < Ph | *γεγ.*] *ὄντες* Ph **2** *τῶν* < P **3** *καταξιωθέντες* < O | *ἀπαρχή τις*] *ἀπ' ἀρχῆς* P | *φυτευμάτων* B Jh **4** *βλασθήσαντες,* a. Rand corrig. in *βλαστήσαντες* B | *καρπός* < O (M, nicht Al) | *τούτων μὲν* Ph **6** *ἀνωτέρω* P: *ὁπωτέρω* Ph[a] **7** *ἐχρὴν* P, *ἐχρῆν* B **7f** *εἰδωλολατρίας* P, *ειας* unleserl. O **8** *ἥτις — βοηθός* < Ph **9** *θεὸς — πάντῃ* fast od. ganz unleserl. O | Pl *μή τι γένος ἀϊστωθείη* | *ἀϊστωθῇ* < Ph[a] **10** *τὸν — τοῖς* unleserl. O **10f** (*ἐκέλευσ*)*εν ὑ*(*π*)*ηχ*(*ῆσ*)*αι* (*τὴν ἐσομέ*)*νην ἑ*(*αυ*)*τοῦ παρουσίαν* unleserl. O **10** *ὑπηχῆσαι* P Jh: *ὑφηγῆσαι* Ph (*ὑφηγεῖται* S. 54, 4. 59, 9), *ἀπηχῆσαι* M Al: vgl. De res. II, 4, 6 **11** *αὐτοῦ* Ph[b] | *βί*(*ον*) — *γνῶσις* Z. 12 unleserl. O | *βίον* P: *κόσμον* Ph | *καθ' — χαρὰ καὶ* Z. 12] *δι' οὗ τῆς ἀληθείας ἡ* 2. Hd. (?) M Al **12** *κηρυχθήσεται* O 64 **13** *περι . . . θήσεσθαι* O **14** *τὸν ἄνθρωπον* Ph **16** *τὸν ὄγδοον* P | *περι|εχούσης* P 194 | *ἧ ἐξ.* B: vgl. ob. S. 58, 10 **17** (*ὀγδο*)*ήκοντα* unleserl. O (*ὀγδοήκοντας* M): < Ph | *πρῶτοι, πρὶν*] *πρὸ τοῦ* Ph **18** *προσλαβόντες* Ph[a] **19** *νοητῆς* < P | *ὀγδοάδος προεξήγγειλαν* P **20** *ἀνάριθμον* P, *ἀνα . . θμητον* O, *ἀρίθμητον* Al | *κριταῖς* O **21** Pl *νεανικῶς . . βεβοήθηκας*

VII. *Ἀλλὰ τούτων οὔθ' αἱ »βασίλισσαι« οὔθ' αἱ »παλλακαὶ« οὔθ' αἱ »νεάνιδες« συγκρίνονται τῇ ἐκκλησίᾳ· ἡ γὰρ »τελεία« καὶ »ἐκλεκτὴ« παρὰ πάσας νομιζομένη αὐτάς, ἡ ἐκ πάντων συνεστῶσά τε καὶ συνημμένη τῶν ἀποστόλων, ἐστὶν ἡ ὑπερβάλλουσα νύμφη τῷ κάλλει τῆς ἀκμῆς καὶ τῆς παρθενίας πάσας. διὸ καὶ μακαρίζεται καὶ αἰνεῖται πρὸς τῶν ἄλλων, ὅτι αὕτη καὶ εἶδε καὶ ἤκουσεν ἀφθόνως, ἃ ἐκεῖναι ἐπεπόθησαν κἂν ἐκ βραχέος θεάσασθαι καὶ οὐκ εἶδον, καὶ ἀκοῦσαι καὶ οὐκ | ἤκουσαν. »μακάριοι« γάρ φησιν »οἱ ὀφθαλμοὶ ὑμῶν« ὁ* 165 *κύριος τοῖς μαθηταῖς »οἱ βλέποντες ἃ βλέπετε. λέγω γὰρ ὑμῖν ὅτι πολλοὶ προφῆται ἐπεθύμησαν ἰδεῖν ἃ βλέπετε, καὶ οὐκ εἶδον, καὶ ἀκοῦσαι ἃ ἀκούετε, καὶ οὐκ ἤκουσαν«. οὐκοῦν διὰ ταῦτα μακαρίζουσι ταύτην οἱ προφῆται καὶ θαυμάζουσιν, ὅτι ὧν αὐτοὶ μὴ ἐπέτυχον ἀκροαταὶ γενέσθαι καὶ θεάμονες ἡ ἐκκλησία κατηξιώθη καὶ μετείληφεν. »ἑξήκοντα« ⟨γάρ⟩ »εἰσι βασίλισσαι καὶ ὀγδοήκοντα παλλακαί, καὶ νεάνιδες ὧν οὐκ ἔστιν ἀριθμός. μία ἐστὶν ἡ περιστερά μου, τελεία μου.«*

VIII. *Δυνήσεταί δέ τις καὶ ἑτέρως τὴν νύμφην φάναι τὴν σάρκα τὴν ἀμόλυντον εἶναι τοῦ κυ|ρίου, ἧς χάριν καταλείψας τὸν πατέρα* 166 *κατῆλθεν ἐνταῦθα καὶ προσεκολλήθη καὶ ἐγκατέσκηψεν ἐνανθρωπήσας εἰς αὐτήν. διὸ δὴ καὶ περιστερὰν αὐτὴν ἔφη τροπικῶς, ἐπειδὴ*

1. 2 Hohel. 6, 7. 8. — **8** Mt. 13, 16. 17. Lk. 10, 23. 24 — **14** Hohel. 6, 7. 8 — **17** Tertull., De res. 63. Orig. III, 77, 12 Kl — **20** Hohel. 6, 8. Philo Quis rer. div. haer. III, 30, 6 ff. 52, 23 f Wd

1f *οὔθ' αἱ νεάν.* < Ph **3** *νομιζομέ . . αὐτὰς* O: *αὐτὰς νομ.* P Jh: *ὀνομαζομένη* Ph | *ἡ ἐκ*] *ἐκ τῶν* P | *συνημμένη* O Ph: *συνηνωμένη* P Jh **5** *καὶ αἰνεῖται* < Ph **5f** *πρὸ τῶν* O, aber vgl. Hohel. 6, 8 **6** *καὶ αὕτη* O | *καὶ* vor *εἶδε* < Ph | *ἐκεῖναι*] *ἰδεῖν* + P **7** *ἐπεπόθ.* — *ἤκουσαν* Z. 8] *ἐπεπόθ. ἰδεῖν καὶ ἀκοῦσαι καὶ οὐκ εἶδον οὐδ' ἤκουσαν* Ph | *βραχέως* Al Jh **8** *οἱ ὀφθ. φησίν* Ph **9** *ὅτι* < P **11** *διὰ* P 194v **12** *αὐτὴν* Ph | *καὶ θαυμάζουσιν* < Ph **13** *ἀκροαταὶ* — *θεάμονες* < Ph | *(καθηξι)ώθη* unleserl. O **13f** *μετείληφε καὶ ἠξιώθη* Ph **14** *ἑξήκ.* — *τελεία μου* Z. 16 < Ph | *γὰρ* + Ausgg. **15** *καὶ νεάνιδες* unleserl. O | *ἐστὶ* ohne *ἡ* P Jh **17** *δύναται* Ph | *καὶ* < P | *τὴν* vor *νύμφην* < P **17f** *(σάρ)κα τὴν (ἀμόλ)υντον* unleserl. O **18** *τὸν πατέρα καταλ.* P Jh **19** *κατῆλθεν* — *(προσε)κολλήθη καὶ (ἐγ)κατέσκηψεν* u. bis *πε(ριστε . ὰν)* Z. 20 unleserl. O | *καὶ ἐγκατέσκηψεν* < Ph | *ἐγκατεσκήνωσεν* M Al Jh **19f** *ἐνανθ. ε. αὐτ.* Lücke M | *ἐνανθρωπίσας* P Phb | *αὐτῇ ἐνανθρωπ.* Ph **20** *. . τὴν* O 64v | *ἐκάλεσε τροπ.* O, *τροπ. ἔφη* P Phb, *ἔφη τροπ.* Pha Jh **20ff** Philo (*τρυγὼν* u. *περιστερὰ*) *τιθασὸς . . καὶ διαίτῃ τῇ μετὰ θνητῶν ἀσμενίζουσα* u. *ἐπειδὴ τιθασὸν καὶ σύντροφον ἡμῖν ἐστι τὸ ζῷον*

τιθασὸν τὸ ζῷον καὶ ὑπωρόφιον καὶ διαίτῃ τῇ μετὰ ἀνθρώπων ἀσμενίζον. μόνη γὰρ ὡς ἔπος εἰπεῖν ἄσπιλος καὶ ἀμίαντος εὑρέθη καὶ πάντας ὑπερέχουσα τῷ τῆς δικαιοσύνης κόσμῳ καὶ κάλλει, ὥστε μηδένα καὶ τῶν εἰς ἄκρον εὐαρεστησάντων τῷ θεῷ ταύτης δυνηθῆναι πέλας ὡς πρὸς σύγκρισιν ἀρετῆς στῆναι, καὶ διὰ τοῦτο κατηξιῶσθαι κοινωνὸν αὐτὴν γενέσθαι τῆς βασιλείας τοῦ μονογενοῦς, αὐτῷ καθηρμοσμένην τε καὶ ἑνωθεῖσαν. καὶ ἐν τῷ | τεσσαρακοστῷ 167 δὲ καὶ τετάρτῳ ψαλμῷ ἡ ἐκ τῶν πλειόνων παρισταμένη καὶ δεξιῶν βασίλισσα τοῦ θεοῦ μερῶν, ἡ τῷ διαχρύσῳ τῆς ἀρετῆς κόσμῳ κατεστολισμένη, ἧς ἐπεθύμησε »τοῦ κάλλους« »ὁ βασιλεύς«, ἡ σάρξ ἐστιν, ὡς ἔφην, ἡ ἄχραντος ἐκείνη καὶ μακαρία, ἣν αὐτὸς ἀνακομίσας ὁ λόγος εἰς οὐρανοὺς »ἐκ δεξιῶν« παρέστησε τοῦ πατρός, »ἐν ἱματισμῷ διαχρύσῳ« κεκοσμημένην, ὃ δή ἐστι τοῖς ἐπιτηδεύμασι τῆς ἀφθαρσίας, ἃ συμβολικῶς ἔφησε »χρυσᾶ κροσσωτά«, ἐπειδήπερ ἐκ ποικίλων ποικίλλεται τοῦτο καὶ συγκαθυφαίνεται κατορθωμάτων τὸ ἔνδυμα, οἷον ἁγνείας, φρονήσεως, πίστεως, ἀγάπης, ὑπομονῆς καὶ τῶν λοιπῶν ἀγαθῶν, ἃ δὴ κατακαλύπτοντα τὴν ἀσχημοσύνην τῆς σαρκὸς κοσμεῖ τὸν ἄνθρωπον | κόσμῳ χρυσῷ. 168

IX. Ἔπειτα τί δὴ πάλιν καὶ ἐν τοῖς ἑξῆς τοῦ ψαλμοῦ μετὰ τὸ τὸν ἄνθρωπον »ἐκ δεξιῶν« ἐνθρονισθῆναι τοῦ παντοκράτορος, ὃν ἀνείληφεν ὁ λόγος, τὸ πνεῦμα παραδίδωσιν, ἐπισκεπτέον. »ἀπενεχθήσονται τῷ βασιλεῖ παρθένοι« φησίν« »ὀπίσω αὐτῆς· αἱ πλησίον αὐτῆς ἀπενεχθήσονταί σοι. ἀπενεχθήσονται ἐν εὐφροσύνῃ καὶ ἀγαλλιάσει· ἀχθήσονται εἰς ναὸν βασιλέως.« πάνυ προφανῶς ἐνθάδε λοιπὸν ἔοικεν ἐγκωμιάζειν τὸ πνεῦμα τὴν ἁγνείαν, μετὰ τὴν νύμφην, ὡς

2 Hermas III, 5, 6, 7 — Vgl. Orig. De princ. II, 6, 4 — **6** Hermas III, 5, 6, 6. Symp. S. 7, 13ff. 9, 22f — **7** II Kor. 11, 2 — **8** Psal. 44, 10 — **14** Psal. 44, 14 — **21** Psal. 44, 15. 16

1 *τιθασσὸν* O B Ph^{b}: *τίθασον* P | *ὑπορρόφιον* Ph^{b} | *μετὰ*] < Ph: *τῶν* Cb Jh **2** *ἐνασμενίζον* O Jh: *ἀσμενίζον* Ph (Philo): *ἀσμενιζόμενον· ἣ* P | *μόνη — ἑνωθεῖσαν* Z. 6 < Ph | *μόνη* < P **3** *δικαιοσύν(ης)* unleserl. O **4** *καὶ* vor *τῶν* < P | *εὐ(α)ρεστησ(άντων)* unleserl. O **5** *ἀρ(ετ)ῆ(ς)* unleserl. O **6** *βασιλείας* undeutl. O **7** *καὶ* vor *ἐν* unleserl. O **8** *δὲ* < Ph | *πλειόνων*] *λαώνων* O | *ἡ — μερῶν* Z. 9] *ἐκ τῶν δεξιῶν παρισταμένη λαιῶν καὶ τοῦ θεοῦ μερῶν βασιλίσσα* Ph^{ab} | *παριστ.* nach *κ. δεξ.* O | *ἐκ δεξιῶν* B Jh **9f** *κατε|στολ.* P 195 **11** *ἀνακαινίσας* Ph^{b} **13** *ἐστιν ἐν τοῖς* P: *ἐστι συμβολικῶς τοῖς* Ph | *ἀφθαρσίας*] es endet Ph **14** *ἐπειδὴ γὰρ* P | *ποικίλλων* B **17** *ἀσχημοσύνην* P: *ἀσθένειαν* O | *κοσμοῦσι* O **18** *κόσμῳ*] *γὰρ* + O **20** *παντοκρ.*] *πατρὸς* Cb Jh **21** *νῦν σκεπτέον* M Al, nicht w.e. sch. O **22** *φησίν* < P | *πλησίον* unleserl. O, *παρθένοι* 2. Hd. M Al **25** *τῆς ἁγνείας* B | *ἁγνείαν* unleserl. O

ἀποδεδώκαμεν, τοῦ κυρίου δευτέρας προσιέναι τῷ παντοκράτορι »ἐν ἀγαλλιάσει καὶ εὐφροσύνῃ« τὰς παρθένους ἐπαγγελλόμενον, ὑπ᾽ ἀγγέλων δορυφορουμένας τε καὶ παραπεμπομένας. οὕτω γὰρ ἐπέραστόν τι τὸ τῆς | παρθενίας ἐστὶν ὡς ἀληθῶς καὶ τριπόθητον κλέος, ὥστε 169 *ὀπίσω τῆς βασιλίσσης, ἣν ἀνήγαγεν ὁ κύριος ἀναμάρτητον ἀποτορνεύσας τῷ πατρί, τὸν χορὸν τῶν παρθένων καὶ τὸ τάγμα προσκομίζεσθαι, τὰ δευτερεῖα τῆς νύμφης κεκληρωμένον.*

Ταῦτά σοι καὶ παρ᾽ ἡμῶν, ὦ Ἀρετή, τὰ γυμνάσματα τῶν λόγων ὑπὲρ ἁγνείας ἐστηλιτεύσθω.

Λόγος ή.

Θέκλα.

Εἰπούσης δὲ ταῦτα τῆς Προκίλλης, Ἐμὸς ὁ κλῆρος, ἡ Θέκλα ἔφη, μετὰ ταύτην ἐφεξῆς ἀγωνίζεσθαι, καὶ χαίρω ξυνέμπορον ἔχουσα κἀγὼ τὴν σοφίαν τῶν λόγων, αἰσθανομένη κιθάρας δίκην ἔσωθεν ἁρμοζομένην με καὶ παρασκευάζουσαν εἰς τὸ μεμελημένως εἰπεῖν καὶ εὐσχημόνως.

ΑΡΕΤ. Ἄριστα, ὦ Θέκλα, τὴν | προθυμίαν ἀπεδεξάμην, καὶ 170 *πιστεύω εἰς δύναμιν πρέποντας ἀποδοῦναί σέ μοι τοὺς λόγους· φιλοσοφίας τε γὰρ τῆς ἐγκυκλίου καὶ παιδείας οὐδενὸς ὑστερήσεις· τῆς εὐαγγελικῆς τε αὖ καὶ θείας, τί χρὴ καὶ λέγειν, παρὰ Παύλῳ σεσοφισμένην;*

I. *Οὐκοῦν λέγωμεν δὴ πρῶτον, αὐτόθεν ἀπ᾽ αὐτῆς ἀπαρξάμεναι τῆς ἐπωνυμίας, δι᾽ ἣν αἰτίαν ἐκλήθη παρθενία τοῦτο τὸ κορυφαιότατον καὶ μακάριον ἐπιτήδευμα, οἷόν τε ὂν τυγχάνει καὶ δύναμιν*

13 Plato Phaed. 108 C — De autex. 9, 4 — **14** Athenag. Suppl. 7, 9. Hipp., De antichr. 2. Cohort. 8 — **18** Plato Tim. 26 D — **20** Plato Symp. 218 B. Acta Pauli 7 f. 18 — **24** Plato Phaedr. 237 C

1 *δ..τέρας* O | *(πρ)οσιέναι τῷ* unleserl. O (*προσνεῖμαι τῷ* M Al) **2** *(ἀγαλλ)ιάσει — ἐπαγγελλ(όμενον)* unleserl. O | *καὶ — παρθ.* Lücke in M **2f** *(ἀγγέλ)ων — γὰρ* Z. 3 unleserl. O, Lücke in M **3** *οὕτω γὰρ*] *τοσοῦτον* M Al | *ἐπέραστον* O 65 **5** *ἣν* < P **5f** *ἀποτορνεύσας τῷ πνεύματι* O: *ἀποτορνεῦσαι τῶ πατρὶ* P: *ἀποτορνεύσας τῷ πατρί* Jh **7** *δευτέρια* P **9** *ἐστηλιτεύθω* O **10f** *Λόγος η′ Θέκλα* < O: *Θέκλα λόγ. ῆς′* P **12** größerer Raum, dann *.ιπούσης* O **13** *ξυνέμπορον* O: *συνέμπορον* P: Pl *συνεμπόρων .. θεῶν τυχοῦσα* **15** *μεμελ.* vgl. S. 28, 16 u. De res. II, 5, 3 **17** *ἣ καὶ* P (Jh) **18** Pl *τὸ πρέπον εἰς δύναμιν .. ἀποδοῦναι* **20** Pl *τί δεῖ λέγειν;* **22** *αὐτῆς*] *ἀρχῆς* O Jh **24f** Pl *οἷόν τ᾽ ἐστι καὶ ἣν ἔχει δύναμιν ..., εἴτε ὠφέλειαν .. παρέχει*

ἣν ἔχει, καὶ εἰσύστερον, ὁποίους καρποὺς ἀποτελεῖ. κινδυνεύουσι
γὰρ ὀλίγου ξύμπαντες αὐτὴν ἠγνοηκέναι, καὶ μυρίων διαφέρουσαν 171
τῶν ἄλλων τῆς ἀρετῆς πλεονεκτημάτων, ὁπόσα εἰς κάθαρσιν καὶ
κόσμον διαπονούμεθα τῆς ψυχῆς. παρθεΐα γὰρ ἡ παρθενία κατὰ
μίαν ὑπαλλαγὴν καλεῖται στοιχείου, ὡς δὴ μόνη τὸν ἔχοντα καὶ τετε-
λεσμένον αὐτῆς τὰς ἀφθόρους τελετὰς θεῷ παρεικάζουσα, οὗ μεῖζον
ἀγαθὸν ἀδύνατον εὑρεῖν, ἡδονῆς καὶ λύπης ἀπῳκισμένον· ⟨ᾗ⟩ καὶ
τὸ τῆς ψυχῆς καταρδόμενον ἀληθῶς αὔξεταί τε καὶ κουφίζεται
πτέρωμα, τῶν ἀνθρωπίνων ἐξίπτασθαι καθ᾿ ἡμέραν ἐθιζόμενον
σπουδασμάτων. ἐπειδὴ γὰρ πανήγυριν τὸν βίον ἡμῶν σοφῶν
παῖδες εἰρήκασιν εἶναι, ἡμᾶς δὲ τὸ δρᾶμα τῆς ἀληθείας τὴν δικαιοσύ-
νην ἥκειν ὡς εἰς | θέατρον ἐπιδειξομένους — ἀντιτεχνούντων ἡμῖν 172
καὶ ἀνταγωνιζομένων τοῦ διαβόλου καὶ τῶν δαιμόνων —, ἀνανεύ-
οντας ἄνω δεῖ καὶ ἀνιπταμένους μετεωρίζεσθαι καὶ φεύγειν τὰ θέλ-
γητρα τῆς καλλιφωνίας αὐτῶν καὶ τὰ σχήματα, ἔξωθεν φαντασίᾳ
σωφροσύνης ἐπικεχρωσμένα, ἢ τὰς Σειρῆνας μᾶλλον τὰς Ὁμηρικάς.
κηλούμενοι γὰρ ταῖς ἡδοναῖς τῆς πλάνης πτερορρυοῦσι πολλοὶ καὶ
βαρύνονται εἰς τὸν καθ᾿ ἡμᾶς ἥκοντες βίον, χαυνωθέντων αὐτοῖς καὶ

3 Plato Soph. 227 C — **5** Plato Phaedr. 249 C — **7 ff** Plato Phaedr. 246 E. 248 C. 249 C — **10** Pythagor. bei Diog. Laërt. VIII, 1, 6; Teles ed. Hense zu 15, 11 (Tatian 19 von d. Welt) — **13** C. Porph. 1, 2 — **15** Plato Epist. VII, 340 D — **16** De autex. 1. De res. I, 28, 1 — **17** Plato Pol. III, 413 C — Plato Phaedr. 218 C

4—7 Phot. Bibl. 237 S. 311a, 20—23

1 *εἰς ὕστερον* P 196 **2** *σύμπαντες* B | *καὶ* + O | *μυρίῳ* ansprechend Jh **3** Pl *τῶν τῆς ψυχῆς καθάρσεων* **4** *τῆς* < O | *παρθεία — εὑρεῖν* Z. 7 Ph 311a, 20—23 | *πανθεΐα* P Wd: *παρθεΐα* OKl: *περθεῖα* Ph a, *παρὰ θεῖα* Ph b | *γὰρ* < Ph **5** *ὑπαλλαγὴν* HSS: *ἀπαλλαγὴν* Ph b Jh, schwerl. richtig | *δὴ μόνη* undeutl. O | *μόνην* P **5 f** *καὶ τετελ.* < Ph | Pl *τελέους ἀεὶ τελετὰς τελούμενος* **6** *ἀφθόρους* O: *ἀφθάρτους* P | *τελετὰς* unleserl. O | *παρεικάζουσαν* P: *ἀπεικάζουσα* Ph **7** *εὑρεῖν — κ(αὶ) λύ(πης)* unleserl. O | *ᾗ* + Jh **7 ff** Pl *τούτοις .. αὔξεται .. τὸ τῆς ψυχῆς πτέρωμα .. 248 ᾧ (πτερῷ) ψυχὴ κουφίζεται. 249 ἐξιστάμενος .. τῶν ἀνθρωπίνων σπουδασμάτων* **8** *καταρδευόμενον* B | *(ἀλη)θῶς — πτέρωμα* Z. 9 unleserl. O (von *αὔξεται* an Lücke in M) **9** *(ἀ)νθρωπ(ίν)ων* (*ἀκτίνων* M) — *σπουδα(σμ)άτων* unleserl. O (*ἐξ. — σπουδ.* Lücke in M) **10** *πανήγυριν* O 65v **11** *εἶναι* vor *σοφῶν* Z. 10 O | *εἰρήκεσαν* O P . **12** *ἐπιδειξομένην* P **14 f** *θέλγητρα* P 196v **15 f** Pl *δόξαις .. ἐπικεχρωσμένοι* **17** Pl *ὑφ᾿ ἡδονῆς κηληθέντες* | *πολλοὶ* nach *βαρύνονται* Z. 18 O **17 f** Pl *βαρυνθεῖσα δὲ πτερορρυήσῃ* **18** *εἰς τῶν* (übergeschr. über *τὸ*) O, *τὸν* ab. »verblichen, viell. ausgetilgt« P | *βίον ἥκοντες* P

χαλασθέντων τῶν τόνων, καθ' οὓς ἡ τῶν πτερῶν τῆς σωφροσύνης συγκρατεῖται φύσις, κουφίζουσα τὰ κάτω νεύοντα περὶ τὴν φθορὰν τῶν σωμάτων. ὅθεν, ὦ Ἀρετή, εἴτε . . [δι' ἑαυτὴν] εἴτε διὰ τὸ αἴρειν καὶ μετεωρίζειν πρὸς οὐρανὸν τὰς ψυχὰς ταύτην ἔσχηκας τὴν ἐπωνυμίαν, ἐπὶ λευκοτάτων ἀεὶ βαίνουσα φρενῶν, ἴθι μοι συναντιληψομένη τοῦ 173 λόγου, ὃν αὐτὴ προσέταξας εἰπεῖν.

II. Οἱ γὰρ πτερορρυήσαντες καὶ πεσόντες εἰς τὰς ἡδονὰς οὐ πρότερον λήγουσι λύπης καὶ πόνων, ἔστ' ἂν τῇ τοῦ πάθους ἐπιθυμίᾳ τὴν ἀνάγκην ἐκπληροῦντες τῆς ἀκρασίας ἀμύητοι καὶ ἀτελεῖς τοῦ τῆς ἀληθείας ἀπομείνωσι δράματος, ἀντὶ τῆς μετ' αἰδοῦς καὶ σωφροσύνης παιδοποιήσεως ἀγρίαις ἐρώτων λυττήσαντες ἡδοναῖς. αἱ δὲ εὔπτεροι καὶ κοῦφαι εἰς τὸν ὑπερκόσμιον τόπον ὑπερκύψασαι τοῦ βίου καὶ ἰδοῦσαι μακρόθεν ἃ μὴ ἕτερος ἀνθρώπων ἐθεάσατο, τοὺς λειμῶνας αὐτοὺς τῆς ἀφθαρσίας, ἀμήχανα κάλλη καὶ ἄνθη φέροντας καὶ πεπλη|ρωμένους, ἀεὶ πρὸς αὐτούς εἰσιν, ἀναπολοῦσαι τὰ ἐκεῖ 174 θεάματα, καὶ διὰ τοῦτο μικρὰ ἡγοῦνται τὰ ἐνταῦθα νομιζόμενα καλά, πλούτους καὶ δόξας καὶ γένη καὶ γάμους, καὶ οὐδὲν ἔτι ἐκείνων

2 vgl. zu S. 81, 7f — **3** Plato Kratyl. 415 D. Phaedr. 246 D — **5** Symp. 9, 1. De res. I, 27, 1 — **7** Plato Tim. 42 C — **9** Plato Phaed. 69 C. Phaedr. 248 B — **12** Plato Phaedr. 247 C. 249 C — **13** Plato Axioch. 371 C — Symp. S. 6, 8f. Apok. Petr. 15 — **16** Plato Theaet. 173 E — **17** vgl. Plato Gorg. 523 C

3f Phot. Bibl. 237 S. 311 a, 24—26

3 *ὦ Ἀρ.—ἐπωνυμ.* Z. 4 Ph 311 a, 24ff | *ὦ Ἀρ. εἴτε*] *ἡ ἀρετὴ ἤτοι* Ph | *ὅτι* nach *εἴτε* u. *αἱρετὴ* nach *ἑαυτὴν* + Po Cb Jh nach Pl, *διὰ τὸ εἶναι αἱρετὴν* + Kl **4** Pl Phaedr. *ἄνω μετεωρίζουσα* | *τὰς ψυχὰς* < P | *ἔσχηκε* Ph **7** Pl *οὐ πρότερον πόνων λήξοι* **9f** Pl Phaed. *ἀμύητος καὶ ἀτέλεστος.* Phaedr. 248 *ἀτελεῖς τῆς τοῦ ὄντος θέας ἀπέρχονται* **10** *δράματος*] *ὁράματος* Jh, aber vgl. S. 81, 11 | *μετὰ* B **11** Pl Phaed. 81 A *ἀγρίων ἐρώτων.* Legg. IX, 586 *ἔρωτας λυττῶντας* | *λυσσήσαντες* O **12** *κοῦφοι* P | Pl 247 *τὸν δὲ ὑπερουράνιον τόπον* **13** *μακρόθεν*] *πόρρωθεν* viell. richtig P Jh **13f** Pl *εἰς τὸν τῶν εὐσεβῶν χῶρον οἰκίζονται, ἔνθα . . παντοῖοι . . λειμῶνες ἄνθεσι ποικίλοις ἐαριζόμενοι* **14** *λειμῶνας* P 197 | *αὐτοὺς* undeutl. O **15** *καὶ* vor *πεπλ.* < P | *(αὐτ)ούς* sehr undeutl. O, *αὐταῖς* Po Cb, *αὐτοῖς* M Al Jh | *ἀναπωλοῦσαι* P, *ἀναπλοῦσαι* B **16** *μικρὰ ἡγοῦνται* undeutl. O: *μὴ ῥέπουσαι πρὸς* 2. Hd. in Lücke M Al | Pl *ταῦτα πάντα ἡγησαμένη σμικρὰ καὶ οὐδέν* **17** Pl *γένη καὶ πλούτους* | *(πλού)τους* undeutl. O | *πλοῦτον κ. δόξαν* M Al | *κ. γένη—γάμους* unleserl. O (2. Hd. in Lücke M) | *καὶ* vor *οὐδὲν* < M Al | *οὐδε .* O | *ἔτι* P: *τι* Al Jh, auch wohl O wie Al

περὶ πλείονος ποιοῦνται. ἀλλὰ καὶ εἴ τις αὐτῶν θηρίοις ἢ πυρὶ τὰ σώματα βούλοιτο παραδιδόναι καὶ τιμωρεῖσθαι, ἑτοίμως ἔχουσι τῶν ἀλγηδόνων ἀφροντιστεῖν διὰ τὸν ἐκείνων πόθον καὶ τὴν ἐκείνων ἔκπληξιν, ὥστε δοκεῖν αὐτὰς καὶ ἐν κόσμῳ οὔσας μὴ εἶναι ἐν κόσμῳ, ἀλλὰ τῷ φρονήματι καὶ τῇ ὁρμῇ τῆς ἐπιθυμίας εἰς τὴν ἄγυριν ἤδη τῶν ἐν τοῖς οὐρανοῖς τυγχάνειν. οὐ γὰρ θέμις ἐπὶ γῆς βρίθειν κατὰ τὴν ἑαυτοῦ φύσιν τῷ τῆς παρθενίας πτερῷ, ἀλλ' ἄνω φέρειν εἰς καθαρὸν αἰθέρα καὶ τὸν τῶν | ἀγγέλων γείτονα 175
βίον. ὅθεν καὶ πρῶται τῶν ἄλλων μετὰ τὴν ἀνάκλησιν καὶ τὴν ἐντεῦθεν ἐκδημίαν αἱ ὀρθῶς καὶ πιστῶς παρθενεύσασαι τῷ Χριστῷ τὰ νικητήρια φέρονται τῶν ἄθλων, τοῖς τῆς ἀφθαρσίας ἄνθεσι στεφθεῖσαι πρὸς αὐτοῦ· ἅμα γὰρ τῷ καταλεῖψαι τὸν κόσμον τὰς ψυχὰς λόγος ταῖς παρθένοις ὑπαντῶντας ἀγγέλους μετὰ πολλῆς εὐφημίας εἰς τοὺς προειρημένους παραπέμπειν λειμῶνας αὐτάς, εἰς οὓς καὶ πρόσθεν ἐλθεῖν ἐγλίχοντο, μακρόθεν αὐτοὺς φαντασιωθεῖσαι τότε, ὁπότε ἔτι ἐπενδημοῦσαι τοῖς σώμασιν ἰνδάλλοντο τὰ θεῖα.

III. Ἐνταῦθα οὖν δὴ ἐλθούσας θαυμαστά τινα θεάσασθαι καὶ ἔκλαμπρα καὶ μακάρια κάλλη καὶ ὁποῖα ἐξειπεῖν εἰς ἀνθρώπους δυσχερές. εἶναι γὰρ αὐτὴν δικαιοσύνην καὶ αὐτὴν σωφροσύνην, 176
ἀγάπην αὐτὴν ἐκεῖ καὶ ἀλήθειαν καὶ φρόνησιν καὶ τὰ ἄλλα ὡσαύτως ἐπιφανῆ τῆς σοφίας ἄνθη καὶ φυτά, ὧν ἡμεῖς ἐνθάδε σκιὰς μόνας φασματώδεις ὀνειρώσσοντες ἀπὸ τῶν πράξεων ἡγούμεθα τῶν ἀνθρω-

1 I Kor. 13, 3? — **4** vgl. Plato Symp. 211 D — Ep. ad Diognet. 5 — **6** Symp. S. 49, 16. 68, 18. 85, 7. 92, 15; vgl. Tatian 13 — **9** vgl. Apok. Joh. 14, 4. I Thess. 4, 16 — **10** II Kor. 5, 9 — **13** Apok. Petr. ? — **15** Plato Phaedr. 248 A — **16** II Kor. 5, 6 — **17** Plato Phaedr. 250 B — **18** vgl. Plato Tim. 28 C — **19** Plato Phaedr. 247 DE — **21** Symp. S. 114, 5. Plato Pol. VII, 532 C

1 *πλέονος* P | *ποιοῦνται (ἀλλ)ὰ καὶ εἴ* unleserl. O | *ἀλλὰ*] *ὥστε* M Al | *αὐ* . . . O: *αὐτοῖς* M Al | *(θηρ)ίοις ἢ* undeutl. O **1f** *βούλ. τὰ σώμ.* P Jh | **2** *βούλοιτο* O 66 **3** *πόθων* P (nicht V) **4** *καὶ* vor *ἐν* < Cb Jh | *οὖσαι* B **6** *τῶν ἄστρων ἐν* P **7** *τὸ . . πτερὸν* P | *ἀλλὰ* P **8** *φέρ.*] *εἰς οὐρανόν* + P Jh **10** *παρθενεύουσαι* B **12** *πρ. αὐτ.* auch O (*παρ' ἑαυτοῦ* M Al) **13** *λόγος*] *ἔχει* P **14** *παραπέμ|πειν* P 197ᵛ **15** Pl *γλιχόμεναι . . τοῦ ἄνω* **16** *ἐπενδημοῦσαι* O: *ἐνδημοῦσαι* P Jh: *ἐκδημοῦσαι* Po **17** *οὖν* + O | *θεάσ. θαυμ. τινα* O **17f** Pl *κάλλος δὲ τότ' ἦν ἰδεῖν λαμπρόν, ὅτε . . μακαρίαν ὄψιν τε καὶ θέαν . . εἶδον* **18** *ἐκλάμποντα* O **19f** Pl *καθορᾷ μὲν αὐτὴν δικαιοσύνην, καθορᾷ δὲ σωφροσύνην, καθορᾷ δὲ ἐπιστήμην . .· καὶ τἆλλα ὡσαύτως τὰ ὄντα ὄντως θεασαμένη* | *αὐτὴν* vor *σωφρ.* < Cb Jh | *φρόνησιν . . σωφροσύνην* P **21 f** Pl *φαντάσματα θεῖα κ. σκιάς*

πίνων συνίστασθαι, ὅτι μὴ ἔστιν αὐτῶν δεῦρο μηδὲν εἴδωλον κατα-
φανές, ἀλλ᾿ ἀπεικονίσματα μόνον ἀειδῆ, ἃ δὴ καὶ αὐτὰ σκοτεινῶς
πολλάκις ἀπεικάζοντες αἰσθανόμεθα. οὐ γὰρ ἂν πώποτε δικαιοσύνης
αὐτῆς ἢ συνέσεως ἢ εἰρήνης ὀφθαλμοῖς ἐθεάσατό τις μέγεθος ἢ
σχῆμα ἢ κάλλος· ἐκεῖ δὲ ἐν τῷ ὄντι, ὥς εἰσίν, ὁλοτελῆ βλέπονται
καὶ σαφῆ. εἶναι γὰρ δένδρον τι σωφροσύνης αὐτῆς, εἶναι ἀγάπης,
εἶναι | συνέσεως, ὥσπερ καὶ τῶν ἐνθάδε τὰ φυτὰ καρπῶν, οἷον στα- 177
φυλῆς ἢ ῥόας ἢ μήλων. οὕτω δὴ κἀκείνων βλέπεσθαι μὲν καὶ ἐσθίε-
σθαι τοὺς καρπούς, οὐ μὴν ἀπόλλυσθαι καὶ φθίνειν, ἀλλ᾿ εἰς ἀθανα-
σίαν αὔξειν καὶ θειότητα καὶ τοὺς δρεπομένους· καθὼς κἀκεῖνος, ἐξ
οὗ πάντες ἐσμέν, πρὸ τοῦ παραπεσεῖν καὶ πηρωθῆναι τὰς ὄψεις ἐν
τῷ παραδείσῳ τυγχάνων ἀπεκαρπεύετο, τοῦ θεοῦ θεμιστεύοντος τὸν
ἄνθρωπον τῶν τῆς σοφίας ἐργάτην τεθῆναι καὶ φύλακα φυτῶν.
τοιούτους γὰρ ἦν καρποὺς πεπιστευμένος γεωργεῖν καὶ ὁ πρῶτος
Ἀδάμ. καὶ ὁ Ἱερεμίας δὲ ταῦτα τυγχάνειν ἰδικῶς ἔν τινι τόπῳ καὶ
ἀφεστῶτι μεγάλην ἀπόστασιν τῆς | καθ᾿ ἡμᾶς οἰκουμένης οἶδεν, ἔνθα 178
τοὺς ἐξολισθήσαντας τῶν αἰωνίων ἀγαθῶν κατοικτίζων λέγει »μάθετε
ποῦ ἐστι φρόνησις, ποῦ ἐστιν ἰσχύς, ποῦ ἐστιν ἡ σύνεσις τοῦ γνῶναι,
ἅμα ποῦ ἐστι μακροβίωσις καὶ ζωή, ποῦ ἐστι φῶς ὀφθαλμῶν καὶ
εἰρήνη. τίς εὗρε τὸν τόπον αὐτῆς, ἢ τίς εἰσῆλθεν εἰς τοὺς θησαυ-
ροὺς αὐτῶν;« τούτων οὖν διελθούσας εἰς τοὺς θησαυροὺς ἀποκαρ-
πεύεσθαι λόγος τῶν ἀρετῶν τὰς παρθένους, εὐτάκτοις φωσὶ καὶ
πολλοῖς καταρδομένας, ἃ δίκην πηγῆς αὐταῖς ὁ θεὸς ἀνερεύγεται,
καταλάμπων ἐκεῖνον τὸν αἰῶνα φωσὶν ἀδύτοις. αἱ δὲ χορεύουσιν
ἐμμελῶς γεραίρουσαι τὸν θεόν· περικέχυται γὰρ αὐταῖς ἀὴρ καθαρὸς
καὶ μὴ καθιππευόμενος ἡλίῳ. 179

1 vgl. Plato Phaedr. 250 B — **8f** vgl. Apok. Joh. 2, 7 — **13** Gen. 2, 15 — **17** Baruch 3, 14. 15

1 *συνεστᾶναι* P (*-στάναι* B) **2** *μόνον — ἃ* undeutl. O | *ἀειδῆ* M Al Po Cb Jh, w. e. sch. auch O: *καὶ εἴδη* P | *ἃ δὴ* < P **3** (*αἰσθ*)*ανόμεθα* unleserl. O **4** (*ὀφθαλμ*)*οῖς* undeutl. O | *μέγεθος* < O **5** (*ὁλο*)*τελῆ βλέπ.* unleserl. O | *βλέποντες* M Al **6** (*ἀ*)*γάπης* unleserl. O **7** *συνέσεως — τ*(*ῶν*) unleserl. O, anders auch M Al | *τὰ* O 66ᵛ **8** *ἢ* vor *ῥόας* < B Jh | *ῥοιᾶς* P Jh | *ἢ*] *καὶ* (a. Rand *ἢ*) B Jh | *μὲν* P 198 **8f** *ἐσθίεσθαι* P Jh: *ἔδεσθαι* O **10** *καὶ* vor *τοὺς* + O **12** *ἐπεκαρπεύετο* O, aber vgl. Z. 21f | *θεμιστεύσαντος* viell. richtig P Jh **13** *τῶν* über d. Lin. in P: *τὸν* O **15** *ἐνδικῶς* P **16** *οἰκούμενος* B **18** *ποῦ ἐστιν ἡ*] *ἢ* O | *ἡ* < Jh **20** *τὸν* < B V (ob auch P?) | *τόπον* durchstrichen B | *τοὺς* < P **21** *αὐτῶν* P Jh: *αὐτῆς* O **22** *λόγους* P **23** *αὐτὰς* P **24** *αἱ* O: *ἀεὶ* P Jh

IV. *Νῦν οὖν*, ὦ παρθένοι, σωφροσύνης ἀχράντου θυγατέρες, ὑπὲρ ζωῆς ἡμῖν ἀφθόνου καὶ βασιλείας οὐρανῶν ἡ σπουδή. εἰς τὴν αὐτὴν δόξαν τῆς ἁγνείας καὶ ὑμεῖς προθύμως ταῖς πρὸ ὑμῶν συμφρονήσατε, ὀλίγα φροντίσασαι ⟨τοῦ⟩ βίου· οὐ γὰρ μικρὸν εἰς ῥαστώνην ἀφθαρσίας ἁγνεία, ἀνωφερῆ τὴν σάρκα πρὸς ὕψος αἴρουσα καὶ τὸ κάθυγρον αὐτῆς ἀναξηραίνουσα καὶ πηλῶδες βάρος ὁλκῇ μείζονι. μηδὲ βριθέτω τῆς ἀκοῆς ὁ ῥύπος ῥέπων εἰς τὴν γῆν, μηδὲ μετακοσμείτω λύπη τὴν χαράν, ἐκτήκουσα τὰς ἐπὶ τοῖς κρείττοσιν ἐλπίδας· ἀλλὰ ἀτρύχως ἀποσείεσθε τὰς ἐπισυμβαινούσας ὑμῖν συμφοράς, μὴ θολοῦσαι γόοις | τὸν λογισμόν. νικάτω γὰρ ἡ πίστις πάντῃ, καὶ 180
ἀπωθείσθω τὸ φῶς αὐτῆς τὰ φερόμενα τοῦ πονηροῦ περὶ τὴν καρδίαν φάσματα. ὥσπερ γὰρ ὁπόταν ἡ σελήνη τὸν οὐρανὸν αἴγλης ἐκλάμψασα πληρώσῃ καὶ πᾶς ὁ ἀὴρ αἴθριος γενηθῇ, ἄφνω δὲ νεφέλαι ποθὲν ἐκ δυσμῶν ὑποδραμοῦσαι βάσκανοι πρὸς ὀλίγον τὸ φῶς αὐτῆς ἐπισκιάζουσιν, οὐ μὴν ἀφαιροῦνται, ἅτε εὐθέως τῇ ῥύμῃ τοῦ πνεύματος ἐξωθούμεναι· οὕτω δὴ καὶ ὑμεῖς ἐν τῷ κόσμῳ λάμπουσαι τὴν ἁγνείαν, ὑπὸ θλίψεων ὀχληθεῖσαι καὶ πόνων, ὦ παρθένοι, μὴ ὀκλάσητε πρὸς τὰς ἐλπίδας. ἐξωθοῦνται γὰρ τῷ πνεύματι τὰ ἐκ τοῦ πονηροῦ νέφη, ἐὰν ὥσπερ ἡ μήτηρ ὑμῶν καὶ ὑμεῖς, ἡ γεννῶ|σα 181
τὸν ἄρσενα παρθένος ἐν τῷ οὐρανῷ, μὴ δειλιάσητε λοχῶντα καὶ ἐφεδρεύοντα τὸν ὄφιν· περὶ ἧς ἐγὼ πρὸς ὑμᾶς ἀμηγέπη διεξελεύσομαι δηλοῦσα· καιρὸς γὰρ τὰ νῦν. — »καὶ ὤφθη μέγα σημεῖον ἐν τῷ οὐρανῷ« τὴν Ἀποκάλυψιν ὁ Ἰωάννης ἐξηγούμενος λέγει »γυνὴ περιβεβλημένη τὸν ἥλιον· καὶ ἡ σελήνη ὑποκάτω τῶν ποδῶν αὐτῆς· καὶ

4 Plato Legg. III, 684 D — **7** Plato Phaedr. 247 B. Vgl. zu S. 83, 6 — **13** vgl. 96, 16f — **16** Mt. 5, 16 — **22** Apok. Joh. 12, 1—6

1 *Νῦν* P 198ᵛ | ὦ < P **2** *ὑμῖν* Jh | *οὐρανῶν* undeutl. O **3** *συμφρονήσα . . .* O **4** *τοῦ* + Ausgg. | *τοῦ β(ίου)* unleserl. O (in Lücke in M) | Pl *οὐ σμικρὸν εἰς ῥαστώνην* **5** *ἀφθαρσία καὶ* O | *ἀνωφερῆ τὴν σάρκα* P, w. e. sch. auch O: *ἄνω φέρουσα καὶ* (außer *ἄνω φερ.* in Lücke M) Al Jh **6** *(κάθ)υγρον·(καθαρὸν* M) . . *(αὐ . . ῆς ἀν . ξηραίν)ουσα* unleserl. O | *αὐτῆς* P: *αὐτῇ* M: < Al Cb Jh | *ἀναξυραίνουσα* B **7** *μηδὲ — ῥέπων* unleserl. O (*μηδὲ — ῥύπος* Lücke in M) | *ῥύπος* auf Rasur P **7 f** *μετακοσμεῖτο — ἐκτήκουσα* unleserl. O (Lücke in M) **8** *κρείττοσιν* O 67 **9** *ἐπισείεσθε* P **10** *παντὶ* P **11** *τὸ* nach *φῶς* O | *φερ.]* *φαινόμενα* O **12** *ὅταν* P Jh **13** *αἴθρηος* B **14 f** *τὸ φῶς αὐτῆς* vor *πρ. ὀλίγον* P Jh **16** *δὴ* < O **17** *ὀχληθεῖσαι* P 199 **18** *ὀκλά* (στ) O **19** *καὶ ὑμεῖς* vor *μὴ* Z. 20 mit Recht Kl **20** *παρθένον* (*παρ* (θν) O) Al Po Cb, *παρθένοι* Jh **21** *ἀμηγέπῃ* Jh wie Pl Pol. V, 474 C *ἀμῇ γέ πῃ*

ἐπὶ τῆς κεφαλῆς αὐτῆς στέφανος ἀστέρων δεκαδύο· καὶ ἐν γαστρὶ ἔχουσα κράζει ὠδίνουσα καὶ βασανιζομένη τεκεῖν. καὶ ὤφθη ἄλλο σημεῖον ἐν τῷ οὐρανῷ· καὶ ἰδοὺ δράκων πυρρὸς μέγας, ἔχων κεφαλὰς ἑπτὰ καὶ κέρατα δέκα, καὶ ἐπὶ τὰς κεφαλὰς αὐτοῦ ἑπτὰ διαδήματα· καὶ ἡ οὐρὰ αὐτοῦ σύρει τὸ | τρίτον μέρος τῶν ἀστέρων τοῦ οὐρανοῦ, 182 καὶ ἔβαλεν αὐτοὺς εἰς τὴν γῆν· καὶ ὁ δράκων ἕστηκεν ἐνώπιον τῆς γυναικὸς τῆς μελλούσης ἐκτεκεῖν, ἵνα ὅταν τέκῃ τὸ τέκνον αὐτῆς καταφάγῃ. καὶ ἔτεκεν υἱὸν ἄρσενα, ὃς μέλλει ποιμαίνειν πάντα τὰ ἔθνη ἐν ῥάβδῳ σιδηρᾷ· καὶ ἡρπάσθη τὸ τέκνον αὐτῆς πρὸς τὸν θεὸν καὶ πρὸς τὸν θρόνον αὐτοῦ· καὶ ἡ γυνὴ ἔφυγεν εἰς τὴν ἔρημον, ὅπου ἔχει ἐκεῖ τόπον ἡτοιμασμένον ὑπὸ τοῦ θεοῦ, ἵνα ἐκεῖ τρέφωσιν αὐτὴν ἡμέρας χιλίας διακοσίας ἑξήκοντα.« καὶ τὰ μὲν οὖν περὶ τῆς γυναικὸς ἱστορούμενα καὶ τοῦ δράκοντος ὡς ἐν ἐπιτομῇ τέλος ἔχει· περὶ δὲ τοῦ τὴν ἐπίλυσιν αὐτῶν ἀνευράσθαι καὶ εἰπεῖν μεῖζον ἢ καθ' ἡμᾶς. ὅμως τολμητέον, πιστεύσασαν τῷ κελεύσαντι »τὰς γραφὰς« ἐρευνᾶν. 183 εἰ οὖν καὶ σφῷν τὰ λεγόμενα συνδοκεῖ, χαλεπὸν οὐδὲν ἤδη στείλασθαι· πάντως γὰρ συγγνώσεσθε, πρὸς τὴν ἀκρίβειαν τῆς γραφῆς ἐὰν μὴ δυνηθῶ διαρκέσαι.

V. Ἡ ὀφθεῖσα περιβεβλημένη τὸν ἥλιον ἐν τῷ οὐρανῷ γυνὴ καὶ στέφανον ἐξ ἀστέρων περικειμένη δώδεκα, ἧς τὴν ἕδραν εἶχεν ἡ σελήνη πρὸς τοῖς ποσί, καὶ ὠδίνουσα καὶ βασανιζομένη τεκεῖν, αὕτη κυρίως ἐστὶ κατὰ τὸν ἀκριβῆ λόγον ἡ μήτηρ ἡμῶν, ὦ παρθένοι.

12 S. 25, 3. 33, 19. 42, 3. Plato Tim. 40 D — **15** Joh. 5, 39 — **22** vgl. Symp. S. 37, 1 ff

19 ff Phot. Bibl. 237 S. 311 a, 42—b, 4 — Andreas PG 106, 320 B (Cramer Cat. 8, 535, 13)

1 *καιφαλῆς,* a. Rd. *κε,* B | *δώδεκα* P Jh, *δόδεκα* B **4** *διαδ . ματα* O **5** *τῶν ἀστέρων* < O (viell. etw. a. Rd., *μέρ. . . τ. οὐρ.* < M Al) **6** *καὶ ἔ(βαλ)εν αὐτοὺς* unleserl. O **7** *(μελλού)σης ἐκτεκεῖν* unleserl. O (*μελλ. τεκεῖν* M Al) **8** *καταπίῃ* P | *ἔτεκεν υἱὸν* undeutl. O | *ἄρσενα — ποιμαί(νειν)* unleserl. O | *ποιμένειν* B **9** *ἐν* < P | *σ . . ηρᾶ* O, *σιδηροῦ* P | *καὶ — τέκνον* unleserl. O | *ἡρπάγη* Po Cb Jh **10** *θρόνον* P 199^{v} | *αὐτοῦ — ἔρημον* unleserl. O **11** *ἐκεῖ* < O | *τόπον* O 67^{v} **12** *καὶ* vor *τὰ* + O **12 ff** Pl *ταῦτα . . τὰ περὶ . . εἰρημένα . . ἐχέτω τέλος . περὶ δὲ τῶν . . μεῖζον ἢ καθ' ἡμᾶς* **14** *ἀνευρᾶσθαι* P **15** *τολμητέον*: vgl. auch Pl Phaedr. 247 C | *πιστεύσαντας* P, *πιστεύσαντες* B **19** *Ἡ ὀφθεῖσα* etc. c. 5—8] Ph kurz zusammenfassend *ὅτι τὰ πλεῖστα τῆς τοῦ Ἰωάννου Ἀποκαλύψεως ῥητὰ εἰς τὴν ἐκκλησίαν κ. τὰς παρθενευούσας ψυχὰς ἀνάγει. ἀλλὰ σχεδὸν καὶ ὅσα ἂν ῥητὰ καὶ ἄλλοθεν ἔλαβεν, ἀλληγορικῶς αὐτὰ καὶ οὐ κατὰ τὸ γράμμα διηγεῖται ἐν τῷδε τῷ διαλόγῳ* | s. Andr zu S. 89, 7 ff **20** *ἐξ*] *ἐκ τῶν* Cb Jh **22** *κυρίως* < O | *ἡ* < P | *ὑμῶν* P | *ὁ παρθένοι* B

δύναμίς τις οὖσα καθ' ἑαυτὴν ἑτέρα τῶν τέκνων, ἣν ὁτὲ μὲν Ἱερου-
σαλὴμ οἱ προφῆται κατὰ τὴν σύνοψιν τῶν ἐπιφερομένων, ὁτὲ δὲ
νύμφην, ὁτὲ δὲ Σιὼν ὄρος, ὁτὲ δὲ ναὸν καὶ σκηνὴν τοῦ θεοῦ κεκλή-
κασιν. ἡ γὰρ | παρορμωμένη φωτίζεσθαι δύναμις ἐν τῷ προφήτῃ, 184
»φωτίζου, φωτίζου« κεκραγότος αὐτῇ τοῦ πνεύματος »Ἱερουσαλήμ·
ἥκει γάρ σου τὸ φῶς, καὶ ἡ δόξα κυρίου ἐπὶ σὲ ἀνατέταλκεν. ἰδοὺ
καλύψει σκότος καὶ γνόφος γῆν, καλύψει ἐπ' ἔθνη· ἐπὶ δὲ σὲ φανή-
σεται κύριος, καὶ ἡ δόξα κυρίου ἐπὶ σὲ ὀφθήσεται. καὶ πορεύσονται
βασιλεῖς ἐν τῷ φωτί σου καὶ ἔθνη ἐν τῇ λαμπρότητί σου. ἀνά-
βλεψον κύκλῳ τοῖς ὀφθαλμοῖς σου καὶ ἴδε συνηγμένα τὰ τέκνα σου.
ἥκασι πάντες οἱ υἱοί σου μακρόθεν, καὶ αἱ θυγατέρες σου ἐπ' ὤμων
ἀρθήσονται« ἔστιν ἡ ἐκκλησία, ἧς τὰ τέκνα πασσυδὶ ἐν τῷ βαπτί-
σματι μετὰ τὴν ἀνάστασιν πάντοθεν πρὸς αὐτὴν ἥξει καταθέοντα
αὐτῇ, δεχομένη τε τὸ φῶς τὸ ἀνέσπερον, τὴν λαμπρότητα στολῆς 185
σχήματι περιβεβλημένη τοῦ λόγου, ἥδεται. ποίῳ γὰρ ἄλλῳ τιμαλ-
φεστέρῳ κόσμῳ ἢ τιμιωτέρῳ τὴν βασίλισσαν ἔπρεπε κοσμηθεῖσαν
νυμφαγωγηθῆναι τῷ κυρίῳ, »φῶς ὡς ἱμάτιον« λαβοῦσαν, δι' ὃ καὶ
αὐτὴν ὑπὸ τοῦ πνεύματος ἀνακληθῆναι; ἴτε γὰρ ἀναβᾶσαι τῷ λόγῳ
θεάσασθε ὥσπερ τὰς πρὸς γάμον παρθένους γυναῖκα μεγάλην, καθα-
ρὸν καὶ ἄχραντον ὅλον καὶ μόνιμον κάλλος καὶ οὐδὲν ἐλαττούμενον
τῆς λαμπρότητος τῶν φώτων ἀθοστίλβουσαν, καὶ ἀντὶ μὲν στολῆς
αὐτὸ φῶς ἠμφιεσμένην, ἀντὶ δὲ λίθων τιμίων ἀστράσι φαιδροῖς τὴν
κεφαλὴν κεκοσμημένην. ὃ γὰρ ἡμῖν ἐσθής, τοῦτο ἐκείνη φῶς· ὃ δὲ

1. 3 Hebr. 12, 22 (8, 2). I Kor. 3, 16f. II Kor. 6, 16. Ephes. 2, 21 — **5** Jes. 60, 1—4 — **15** Psal. 44, 9 — **17** Psal. 103, 2

12. 23—S. **88, 3** Andreas PG 106, 320 B (Cramer Cat. 8, 535, 13 ff)

3 τοῦ < P Jh **4** παρορμωμένη O: παρωρμημένη P Jh **5** d. 2. φωτίζου < Po Cb Jh | κεκραγότι V Jh: P 200, dann Rasur | αὐτῇ — πνεύματος < P Jh **7** ἐπὶ ἔθνη O **8** κυρίου O: αὐτοῦ P **9** ἐν + O | ἐν + O **10** τοὺς ὀφθαλμοὺς w. e. sch. O (M) **11** οἱ w. e. sch. < O | καὶ — ἐπ' unleserl. O **12** ἧς τὰ undeutl. O | τέκνα πασσυδὶ unleserl. O (a. d. Seite e. Bemerkung): ἥξει hier Al **12 f** ἐν τῷ βαπτίσματι + O, viell. vor πασσυδὶ zu lesen **13** πάντ. πρ. αὐτὴν sehr undeutl. O | ἥξει < O | καταθεὸν O **14** αὐτῇ verbindend mit dem Folgenden Jh: < O | . . . ομένη O | τε < O | (ἀνέσπερ)ον — (λαμπρό)τητα — περι(βεβλημένη) Z. 15 unleserl. O (st. τὴν λ. στολῆς Lücke in M) **15** (ἥδε)ται — τιμιωτέρῳ Z. 16 unleserl. O (nur κόσμῳ u. Lücke in M) **16** ἢ τιμιωτέρῳ < Al | βασίλειαν O | ἔπρεπε O 68 **17** διὸ καὶ δὴ O **18** πν. Bo, vgl. Z. 5: πατρὸς O P | ἀναβληθῆναι O | ἴθε, ab. a. Rd. corr. ἴτε, B **19 f** ψαθαρὸν P (nicht B) **21** ἀντὶ P 200ᵛ **22** τιμίων λίθων O **23** ὁ γὰρ (ὁ δὲ Andr) — εὐφεγγεστέρα S. 88, 3 auch Andr | τοῦτ' ἐκείνης P

ἡμῖν χρυσὸς ἢ διαφανεῖς λίθοι, τοῦτο ἐκείνη τὰ | ἄστρα, ἄστρα δὲ οὐχ 186
ὁποῖα ταῦτα τὰ ἐν τῷ ὁρατῷ κείμενα τόπῳ, ἀλλά τινα κρείττω καὶ
εὐφεγγέστερα, ὥστε εἰκόνας ἐκείνων μᾶλλον νομίζεσθαι ταῦτα καὶ
ἀπεικονίσματα.

VI. Βεβηκέναι τε ἐπὶ τῆς σελήνης, σελήνην, ὡς ἡγοῦμαι, τροπικῶς
τὴν πίστιν τῶν ἀποκαθαιρομένων τὴν φθορὰν τῷ λουτρῷ λέγων, διὰ τὸ
προσεοικέναι τὸ φῶς αὐτῆς μᾶλλον ὕδατι χλιαρῷ καὶ πᾶσαν ἐξ αὐτῆς
ἠρτῆσθαι τὴν ὑγρὰν οὐσίαν. ἐφέστηκεν οὖν ἐπὶ τῆς πίστεως καὶ
προσλήψεως ἡμῶν ἡ ἐκκλησία κατὰ τὴν τῆς σελήνης σύνοψιν, μέ-
χριπερ ἂν »εἰσέλθῃ τὸ πλήρωμα τῶν ἐθνῶν«, ὠδίνουσα καὶ ἀναγεν-
νῶσα τοὺς ψυχικοὺς εἰς πνευματικούς, καθ᾽ ὃν λόγον καὶ μήτηρ ἐστίν.
ὥσπερ γὰρ σπορὰν ἀνδρὸς ἀμόρφωτον ὑποδεξαμένη γυνὴ περιό|δοις 187
χρόνων ἄνθρωπον ὁλόκληρον ἀποκύει, ταύτῃ δὴ καὶ τοὺς προσφεύ-
γοντας τῷ λόγῳ φήσειεν ἄν τις συλλαβοῦσαν ἀεὶ τὴν ἐκκλησίαν, καὶ
τὴν καθ᾽ ὁμοίωσιν ἰδέαν αὐτοὺς καὶ μόρφωσιν μορφοῦσαν τοῦ Χρι-
στοῦ, περιόδοις χρόνων πολίτας τῶν μακαρίων ἐκείνων αἰώνων
ἐργάζεσθαι. ὅθεν ἐξ ἀνάγκης αὐτὴν ἐφεστάναι δεῖ τῷ λουτρῷ τοὺς
λουομένους γεννῶσαν· τούτῳ γὰρ καὶ σελήνη κέκληται τῷ τρόπῳ ἡ
περὶ τὸ λουτρὸν αὐτῆς ἐνέργεια, ἐπειδὴ νέον σέλας ἀνανεασθέντες οἱ
ἀναγεννώμενοι λάμπουσιν, ὅ ἐστι νέον φῶς, ὅθεν καὶ νεοφώτιστοι
καλοῦνται περιφραστικῶς, τὴν πνευματικὴν αὐτοῖς πανσέληνον κατὰ
τὴν περίοδον τοῦ πάθους καὶ τὴν ἀνάμνησιν νέαν ἀεὶ παραφαινού-
σης, | ἔστ᾽ ἂν ἡ αὐγὴ καὶ τὸ φῶς τὸ τέλειον ἀνατείλῃ τῆς μεγάλης 188
ἡμέρας.

3 vgl. Symp. S. 62, 10 — **10** Röm. 11, 25 — **11** vgl. I Kor. 2, 14. 15 — **15** Gal. 4, 19 — **18** Plato Kratyl. 409 B

5—16 Andreas PG 106, 320 B (Cramer Cat. 8, 535, 15—19)

1 τὰ + O Andr **1f** οὐχ — τινα < Andr **2** ταῦτα < O | ὁρατῷ P, nach Pl Pol. VII, 532 D ἐν τῷ . . ὁρατῷ τόπῳ auch Jh: οὐρανίῳ viell. richtig O **3** ἐμφανέστερα Andr **4** ἀπεικάσματα P Jh **5** Βεβ. — Χριστοῦ Z. 15f Andr | ἐπιβέβηκε δὲ Andr | τε < P | τῆς < Andr **5f** δὲ τρ. ἡγ. τ. π. Andr | τὴν πίστιν τροπικῶς P **6** τὴν φθορὰν < O | λέγων — αὐτῆς² Z. 7] τῷ ἐκ τῆς σελήνης Andr **7** λιερῷ B, λιαρῷ Po **8** ἐφ. — ἐθνῶν Z. 10 < Andr **9** προσλήμεως P **11** καθ᾽ — ἐκκλ. Z. 14 < Andr **13f** προσφυγόντας P Jh **14** φύσειεν B **15** μορφοῦσα Andr **15f** Χριστοῦ unleserl. O **16** (πολ)ίτας unleserl. O (πολλῶν M) | τῶν < P **17** ὅθεν P 201 | ἀνάγκης unleserl. O | ἐφεστάναι δεῖ unleserl. O (ἐφιστ. δὴ M Al) **18** γεννῶσαν· (τού)τῳ — σε(λήνη κέ)κλ(ηται) unleserl. O | γὰρ < M Al | καὶ < Cb Jh **19** λουτρὸν — (σέ)λας ἀνανεασ(θέντες) unleserl. O | οἱ O 68ᵛ **21** παραφραστικῶς Jh | αὐτ. πανσέληνον O: πανσ. αὐτ. P Jh **23** ἡ αὐγὴ] αὐτῇ P

VII. Ἐὰν δέ τις (οὐδὲν γὰρ χαλεπὸν ἔτι διαρρήδην εἰπεῖν) ἀγανακτήσας φράσῃ πρὸς τὰ εἰρημένα, Καὶ πῶς ὑμῖν ἡ ἐξήγησις ἔτι, ὦ παρθένοι, γίνεται κατὰ νοῦν τῆς γραφῆς, ὁπότε ἡ μὲν Ἀποκάλυψις ἄρσενα τὴν ἐκκλησίαν διορίζεται γεννᾶν, ὑμεῖς δὲ ἐπὶ τῶν ἀπολουμένων παρειλήφατε τὰς τελεσφόρους ὠδῖνας αὐτῆς πληροῦσθαι λουομένας; λέξομεν, Ἀλλ', ὦ φιλαίτιε, ἀλλ' οὐδέ σοι πάρεστιν ἀποδεῖξαι τὸν Χριστὸν αὐτὸν εἶναι τὸν γεννώμενον· πάλαι γὰρ πρὸ τῆς Ἀποκαλύψεως ἐπεπλήρωτο τὸ μυστήριον τῆς ἐνανθρωπήσεως τοῦ λόγου, ὁ δὲ Ἰωάννης περὶ παρόντων καὶ | μελλόντων θεσμῳδεῖ. ὁ 189 δὲ Χριστὸς πάλαι κυηθεὶς οὐχ ἡρπάσθη ὁπότε ἐτέχθη πρὸς τὸν θρόνον τοῦ θεοῦ, φόβῳ τοῦ μὴ λυμήνασθαι αὐτὸν τὸν ὄφιν· ἀλλὰ διὰ τοῦτο ἐγεννήθη καὶ κατῆλθεν αὐτὸς ἀπὸ τῶν θρόνων τοῦ πατρός, ἵνα τὸν δράκοντα χειρώσηται μείνας προστρέχοντα τῇ σαρκί. ὥστε ἀνάγκη ὁμολογεῖν δὴ καὶ σὲ τὴν ἐκκλησίαν εἶναι τὴν ὠδίνουσαν καὶ γεννῶσαν τοὺς ἀπολυτρουμένους, ὥς που καὶ ἐν Ἡσαΐᾳ τὸ πνεῦμά φησι »πρὶν τὴν ὠδίνουσαν τεκεῖν καὶ πρὶν ἐλθεῖν τὸν πόνον τῶν ὠδίνων, ἐξέφυγε καὶ ἔτεκεν ἄρσεν. τίς ἤκουσε τοιοῦτο; καὶ τίς ἑώρακεν οὕτως; εἰ ὤδινεν ἡ γῆ ἐν μιᾷ ἡμέρᾳ, εἰ δὲ καὶ τέκοι ἔθνος εἰσάπαξ, ὅτι ὠδίνησε Σιὼν καὶ ἔτεκεν ἄρσενα«. τίνα ἐξέφυγεν ἢ 190

1 Plato Legg. X, 898 C — **11** vgl. Symp. S. 32, 19 — **16** Jes. 66, 7. 8

7—9. 13—S. **90, 2** Andreas PG 106, 320 BC (vgl. Arethas, Cramer Cat. 8, 352 f)

1 ἔτι διαρρ.] ἐπιδιαρρήδην P | οὐδὲν — εἰπεῖν Pl **2** προειρημένα O | ἡ < P | ἔτι + O **4** ἄρρενα O | ἐπὶ Kl: ἀπὸ O P **4 f** ἀπολουομένων O P: ἀπολουμένων B: ἀπολουτρουμένων Po Jh (auch Z. 15) **5** τελεσφορουμένας O **6** λέξωμεν O **6 f** ἐπιδεῖξαι Cb Jh **7 ff** Andr S. 320 A ὁ δὲ μέγας Μεθόδιος εἰς τὴν ἁγίαν ἐκκλησίαν ἐξέλαβεν, ἀνάρμοστα τῇ δεσποτικῇ γεννήσει τὰ περὶ αὐτῆς ἡγησάμενος διὰ τὸ ἤδη πρὸ πολλοῦ τετέχθαι τὸν κύριον. S. 320 B C καὶ πάλιν φησίν (Meth.)· οὐ χρὴ τ. Χρ. α. ε. νομίζειν τὸν γενν. etc. — θεσμῳδεῖ Z. 9 **7** πρὸ] τὸ P **8** ἐπηπλήροτο B | τὸ < P **9 f** ὁ δὲ P 201ᵛ **11** τοῦ²] τῷ B **13** μινας P | τρέχοντα P: ἐπιτρέχοντα Po Cb Jh | ὥστε — ἄρσενα S. 92, 2 Andr (καὶ μεθ' ἕτερα· ὥστε etc.) **14** δὴ] δεῖ P Andr | κ. σὲ u. που καὶ Z. 15 < Andr **15** ἀπολελυτρωμένους Andr **15 f** φησιν vor ἐν Andr **16** καὶ — ὠδίνων Z. 17 u. τίς — ἄρσενα Z. 19 < Andr **17** τοιοῦτ. O: τοιοῦτον M Al **18** ἡ γῆ O: γυνὴ B, in P üb. ausradiertem γῆ | καὶ εἰ P | ἐγενήθη P, ἐγέννησεν Jh; unleserl. O aber wohl τέκοι wie Justin Dial. 85, 28 (Kl), τέκοι 2. Hd. M Al **19** ἄρσενα: τὰ τέκνα w. e. sch. O, dann etwas verwischt (τὰ τέκνα αὐτῆς M Al)

πάντως τὸν δράκοντα, ἵνα γεννήσῃ τὸν λαὸν ἡ νοητὴ Σιὼν τὸν ἄρσενα, τὸν τῶν γυναικείων παθῶν καὶ τῆς ἐκλύσεως εἰς τὴν ἑνότητα τοῦ κυρίου καταντήσαντα καὶ ἀπαρσενωθέντα τῇ σπουδῇ;

VIII. Λέγωμεν οὖν πάλιν ἐξ ἀρχῆς ἐπαναπολήσασαι, μέχριπερ ἂν καθεξῆς πρὸς τὸ τέλος ἔλθωμεν ἐξηγούμεναι τὰ εἰρημένα. σκόπει οὖν, ἐάν πως καὶ σοὶ δοκῇ πρὸς εὐδοξίαν ὁ λόγος πληροῦσθαι. ἐγὼ γὰρ τὸν ἄρσενα ταύτῃ γεννᾶν εἰρῆσθαι νομίζω τὴν ἐκκλησίαν, ἐπειδὴ τοὺς χαρακτῆρας καὶ τὴν ἐκτύπωσιν καὶ τὴν ἀρρενωπίαν εἰλικρινῶς τοῦ Χριστοῦ προσλαμβάνουσιν οἱ φωτιζόμενοι, τῆς καθ' ὁμοίωσιν μορφῆς ἐν αὐτοῖς ἐκτυπουμένης τοῦ λόγου καὶ | ἐν αὐτοῖς γεννωμένης 191 κατὰ τὴν ἀκριβῆ γνῶσιν καὶ πίστιν, ὥστε ἐν ἑκάστῳ γεννᾶσθαι τὸν Χριστὸν νοητῶς. καὶ διὰ τοῦτο ἡ ἐκκλησία σπαργᾷ καὶ ὠδίνει, μέχριπερ ἂν ὁ »Χριστὸς« ἐν ἡμῖν »μορφωθῇ« γεννηθείς, ὅπως ἕκαστος τῶν ἁγίων τῷ μετέχειν Χριστοῦ Χριστὸς γεννηθῇ· καθ' ὃν λόγον καὶ ἔν τινι γραφῇ φέρεται τὸ »μὴ ἅψησθε τῶν Χριστῶν μου, καὶ ἐν τοῖς προφήταις μου μὴ πονηρεύησθε«, οἱονεὶ Χριστῶν γεγονότων τῶν κατὰ μετουσίαν τοῦ πνεύματος εἰς Χριστὸν βεβαπτισμένων, συμβαλλούσης ἐνταῦθα τὴν ἐν τῷ λόγῳ τράνωσιν αὐτῶν καὶ μεταμόρφωσιν τῆς ἐκκλησίας. βεβαιοῖ δὲ τοῦτο καὶ Παῦλος φανερῶς διδάσκων, | ἔνθα φησί »τούτου χάριν κάμπτω τὰ γόνατά μου πρὸς 192 τὸν θεὸν καὶ πατέρα, ἐξ οὗ πᾶσα πατριὰ ἐν οὐρανῷ καὶ ἐπὶ γῆς ὀνομάζεται, ἵνα δῷ ὑμῖν κατὰ τὸν πλοῦτον τῆς χρηστότητος αὐτοῦ δυνάμει κραταιωθῆναι διὰ τοῦ πνεύματος αὐτοῦ εἰς τὸν ἔσω ἄνθρω-

4 Plato Legg. IV, 723 D — **13** Gal. 4, 19 — **15** Psal. 104, 15 — **20** Ephes. 3, 14—17

11—14 Andreas PG 106, 320 C (Cramer Cat. 8, 535, 19—22. Arethas, ebenda 353, 8 ff)

2 ἄρρενα Andr | τῆς (ἐκλύσ)εως — καταντ. Z. 3 unleserl. O (Lücke in M) **3** τῇ — ἐπ(αναπ.) Z. 4 unleserl. O (σπουδῇ — ἀρχῆς Lücke in M) **4** Pl πάλιν οὖν . . ἐξ ἀρχῆς . . ἐπαναπολήσωμεν | ἐπαναπ. mit Pl Jh: ἐπαναποδίσασαι HSS (. . αναποδίσασαι O) | μέχρ. O 69 **5** προσειρημένα P nach Berendts, προειρημένα VB **6** εὐδο|ξίαν P 202 **7** ταύτην O **8** εἰλικρινῶς < Cb Jh **9** Χρ.] Ἰησοῦ O **10** ἐκτυπ. — αὐτοῖς < P **10 f** γεννωμένοις O **11** ὥστε — γεννηθῇ Z. 14 Andr (Areth) **12** σπαργανοῖ Andr **13** μέχριπερ] ἄχρις Andr | μορφ. ἐν ἡμῖν Andr **14** τῶν ἁγίων < Andr | γένηται viell. richtig (Kl) Andr **15** τὸ + O **16** πονηρεύεσθε HSS **17** πνευμ.] πατρὸς B **18** συμβ.] συλλαμβανούσης O **19** τοῦτο καὶ O: καὶ ταῦτα P Jh **21** ἐν οὐρανοῖς O **22** χρηστ.] δόξης O **23** δύναμιν O, viell. O überall richtig

που, κατοικῆσαι τὸν Χριστὸν διὰ τῆς πίστεως ἐν ταῖς καρδίαις ὑμῶν«. εἰς γὰρ τὰς ἀναγεννωμένων ψυχὰς ἀναγκαῖον ἐξομοργνύμενον ἐκτυποῦσθαι τὸν λόγον τῆς ἀληθείας.

IX. Ἔοικε δὲ τοῖς εἰρημένοις καὶ τοῦτο μάλιστα προσεοικέναι καὶ συμφωνεῖν τὸ χρησμῳδούμενον ἄνωθεν ἐξ αὐτοῦ τοῦ πατρὸς τῷ Χριστῷ ἐπὶ τὸν ἁγνισμὸν ἥκοντι τοῦ ὕδατος ἐν τῷ Ἰορδάνῃ »υἱός μου εἶ σύ· ἐγὼ σήμερον γεγέννηκά σε«. παρατηρητέον γὰρ ὅτι τὸ μὲν υἱὸν αὐτοῦ εἶναι ἀο|ρίστως ἀπεφήνατο καὶ ἀχρόνως· »εἶ« γάρ 193
»υἱός« αὐτῷ ἔφη, καὶ οὐ »γέγονας«, ἐμφαίνων μήτε πρόσφατον αὐτὸν τετυχηκέναι τῆς υἱοθεσίας, μήτε αὖ προϋπάρξαντα μετὰ ταῦτα τέλος ἐσχηκέναι, ἀλλὰ προγεννηθέντα καὶ ἔσεσθαι καὶ εἶναι τὸν αὐτόν. τὸ δέ »ἐγὼ σήμερον γεγέννηκά σε« ὅτι προόντα ἤδη πρὸ τῶν αἰώνων, λέγει, ἐν τοῖς οὐρανοῖς ἐβουλήθην καὶ τῷ κόσμῳ γεννῆσαι, ὃ δή ἐστι πρόσθεν ἀγνοούμενον γνωρίσαι. ἀμέλει τοῖς μηδέπω τῶν ἀνθρώπων συνῃσθημένοις τὴν πολυποίκιλον σοφίαν »τοῦ θεοῦ« ὁ Χριστὸς οὐδέπω γεγέννηται, ὅπερ ἐστὶν οὐδέπω ἐγνώσθη, οὐδέπω πεφανέρωται, οὐδέπω ἐφάνη. εἰ δὲ αἴσθοιντο καὶ οὗτοι τῆς χάριτος τὸ μυστή|ριον, 194
τότε δὴ καὶ αὐτοῖς, ὁπότε ἐπέστρεψαν καὶ ἐπίστευσαν, κατὰ τὴν γνῶσιν καὶ τὴν σύνεσιν γεννᾶται. διὸ καὶ προσηκόντως ἐντεῦθεν ἡ ἐκκλησία τὸν ἄρσενα λόγον ἐν τοῖς ἁγνιζομένοις ἀεὶ μορφοῦν λέγεται καὶ γεννᾶν. — καὶ τὰ μὲν δὴ περὶ τῶν ὠδίνων αὐτῆς εἰς δύναμιν εἴρηται· τὰ δὲ περὶ τοῦ δράκοντος καὶ τῶν ἄλλων τῇδε μεταληπτέον. οὐκοῦν πειρώμεθα πάλιν ἀμωσγέπως δηλοῦν, ὦ παρθένοι, μηδὲν

2 Plato Legg. VI, 775 D — **6** Luk. 3, 22 — **15** Ephes. 3, 10 — **21** Symp. S. 25, 3. 33, 17 ff. 42, 1 ff. De res. I, 25, 1. 39, 5. Plato Symp. 196 BD — **23** vgl. De lepra 13, 2

4—16 Phot. Bibl. 237 S. 311 A, 27—41

2 *Εἰς* P 202^{v} | *εἰς — ἐκτυπ.* Pl **4** *Ἔοικε — πεφανέρωται* Z. 16 Ph | *προσεοικ. καὶ* < Ph **5** *χρησμ.* unleserl. O **6** *ἐπὶ — ὕδατος* < Ph | *ἥκοντι — ἐν* unleserl. O: *κατὰ τ. ὕδ. ἐν* M Al **7** *(σή)μερον — γὰρ* unleserl. O (*παρατ.* in Lücke in M) **7 f** *τὸν μὲν* B **8** *εἶναι*] *εἶναι αὐτὸν* Ph^{b} | *(ἀορ)ίστως — αὐτῷ* Z. 9 unleserl. O: *ἀορ. ἀπεφ. ἅτε ἀχρ. συνόντα αὐτῷ* in Lücke in M Al **9** *καὶ οὐ* O 69^{v} | *κ. οὐ γέγ.* < Ph^{a} (Lücke) **10** *προϋπάρξαντα* O Ph: *ὑπάρξαντα* P | *μετὰ ταῦτα* < Ph **11** *προγ. κ. ἔσ. καὶ* < Ph | *καὶ ἔσεσθαι* < O | *εἶναι ἀεὶ* Ph | *τὸν* < P **12** *προόντα — ἐν τοῖς* Z. 13 < P **13** *λέγει — ἀμέλει* Z. 14 < Ph^{a} | *λέγει* < O Ph^{b} | *οὐρ.*] *χρόνοις* P | *ἐβουλήθη* P **15** *συνειθισμένοις* P | *τοῦ θεοῦ σοφίαν* Ph **16** *πεφαν.*] es endet Ph **19** *διὸ* P 203 | *καὶ* vor *προσηκ.* + O **21** *εἰς* unleserl. O **22** *μεταληπτέον* Jh: *μεταβλητέον* O P, *βεταβλητέον* B **23** *ἀλλῶσ γέ πως* O, *ἄλλως γέπως* P, *ἀμωσγέπως* Jh

ἀποδειλιᾶσαι πρὸς τὸ μέγεθος τῶν αἰνιγμάτων τῆς γραφῆς· εἰ δέ τι δύσκολον ἐμπίπτοι τοῖς λόγοις, ἐγὼ πάλιν ὑμᾶς ὥσπερ ποταμὸν διαβιβάσω.

X. Ὁ »δράκων« ὁ »μέγας«, ὁ »πυρρός«, ὁ πολύτροπος, ὁ πολυσχιδής, ὁ ἑπτακέφαλος, ὁ κερασφόρος, ὁ σύρων »τὸ τρίτον τῶν ἀστέρων«, ὃς »ἕστηκεν« ἐφεδρεύων, ἵνα »τὸ τέκνον« τῆς ὠδινούσης γυ- 195 ναικὸς »καταφάγῃ«, ὁ διάβολος οὗτός ἐστιν ὁ ἐνεδρεύων, ὁ λοχῶν λυμήνασθαι τῶν φωτισθέντων τὸν χριστόληπτον νοῦν καὶ τὴν ἐκτύπωσιν καὶ τράνωσιν τὴν ἐν αὐτοῖς ἀποτεχθεῖσαν τοῦ λόγου. ἀλλ' ἀστοχεῖ καὶ σφάλλεται τῆς ἄγρας, ἄνω πρὸς ὕψος ἁρπαζομένων τῶν ἀναγεννωμένων »πρὸς τὸν θρόνον τοῦ θεοῦ«· ὅ δή ἐστιν, ἄνω περὶ τὴν θείαν ἕδραν καὶ τὴν ἀσκανδάλιστον ὑπόβασιν τῆς ἀληθείας αἴρεται τὸ φρόνημα τῶν ἀνακαινισθέντων, τὰ ἐκεῖ βλέπειν καὶ τὰ ἐκεῖ φαντάζεσθαι παιδαγωγούμενον, ἵνα μὴ ἀπατηθῇ πρὸς τοῦ δράκοντος βρίθοντος κάτω· οὐ γὰρ αὐτῷ θέμις τοὺς ἄνω νεύοντας καὶ τοὺς ἄνω βλέποντας ἀφανίσαι. οἱ δὲ ἀστέρες εἰσίν, οὓς τῷ τῆς οὐρᾶς 196 ἄκρῳ κατὰ κορυφῆς ἐφαπτόμενος εἰς τὴν γῆν κατασπᾷ, τῶν αἱρέσεων αἱ συστροφαί· ἀστέρας γὰρ σκοτεινούς, ἀμυδροὺς καὶ ταπεινοστρεφεῖς τὰς ἐπισυνόδους εἶναι τῶν ἑτεροδόξων φραστέον, ἐπειδὴ τῶν οὐρανίων ἐπιστήμονες εἶναι δὴ βούλονται καὶ αὐτοὶ καὶ εἰς Χριστὸν πεπιστευκέναι καὶ τὴν ἕδραν ἔχειν τῆς ψυχῆς ἐν τοῖς οὐρανοῖς καὶ πλησιάζειν τοῖς ἄστροις ὡς »φωτὸς τέκνα«. ἀλλὰ κατασύρονται τοῦ δράκοντος ἐκσεισθέντες ταῖς πλοκαῖς, ὅτι μὴ τῶν τριγώνων εἴσω τῆς εὐσεβείας ἔστησαν σχημάτων, πταίσαντες αὐτῆς περὶ τὴν ὀρθό-

1 Plato Legg. X, 900 C — **4** Apok. Joh. 12, 3. 4 — **10** Apok. Joh. 12, 5 — **13** Plato Phaedr. 250 A — **15** Symp. S. 49, 16. 68, 18. 83, 6. 85, 7 — **18** vgl. Jud. v. 12f — **20** De lepra 11, 4 — **22** Ephes. 5, 8 — **23** Symp. S. 11; vgl. Plato Tim. 53 C

4—7. 9—11 Andreas PG 106, 321 C (Arethas, Cramer S, 355, 25—29 — **23** Antonius Melissa I, 13

1 ἀποδ. Wd, vgl. 96, 22: ἀποδειλιῶσαι O P Jh | εἰ — διαβ. Z. 3 aus Pl | εἰ P: ἐὰν O Jh: ἂν Pl **2** ἐμπίπτοι O P: ἐμπίπτει B, ἐμπίπτῃ Jh mit Pl **2f** διαβιβῶ τ. ποτ. Pl **4** ὁ δράκων — ἐστιν Z. 7 Andreas (περὶ δὲ τούτων καὶ ὁ μακάριος Μεθόδιός φησιν οὕτως ἐπὶ λέξεως· ὁ δρ. etc.) **4f** ὁ πολύτρ. ὁ πολυσχ. u. ὁ κερασφ. < Andr **6f** γυναικὸς < Andr **7** καταφάγῃ undeutl. O | οὗτος < Andr | ἐστιν] καὶ τὰ ἑξῆς + Andr | ὁ ἐνεδρεύων < O **9** (κ)αὶ τράν(ωσιν) unleserl. O (κ. τ. ἅλωσιν M) | ἀλλ' — ἀναγεννωμένων Z. 11 wieder Andr **10** καὶ σφ(άλλεται) unleserl. O **11** θρόνον — ἐστιν unleserl. O **12** θείαν — ὑπόβασιν außer ἀσκ unleserl. O **12f** αἴρεται O 70 **13** Pl εἶδον τότε τἀκεῖ | ἐκεῖ P 203ᵛ **14** παιδαγωγουμένων P **15f** τοὺς ἄνω vor βλέποντας < P **18** σκοτεινούς < O **18f** ταπεινοστεφεῖς P, ταπινοστεφεῖς B **19** τῶν ἑτεροδ. εἶναι P Jh **20** δὴ < O

δοξον θρησκείαν, ὅθεν καὶ τρίτον τῶν ἀστέρων ἐκλήθησαν μέρος,
οἷον περὶ ἕνα τῶν ἀριθμῶν τῆς τριάδος διεσφαλμένοι, ὁτὲ μὲν τὸν
τοῦ πατρός, ὡς Σαβέλλιος, αὐτὸν τὸν παν|τοκράτορα λέξας πεπον- 197
θέναι, ὁτὲ δὲ τὸν τοῦ υἱοῦ, ὡς Ἀρτεμᾶς καὶ οἱ δοκήσει αὐτὸν ἀπο-
φηνάμενοι πεφηνέναι, ὁτὲ δὲ περὶ τὸν τοῦ πνεύματος, ὡς Ἐβιωναῖοι,
ἐξ ἰδίας κινήσεως τοὺς προφήτας φιλονεικοῦντες λελαληκέναι· Μαρ-
κίωνος γὰρ καὶ Οὐαλεντίνου καὶ τῶν περὶ τὸν Ἐλχασαῖον καὶ τοὺς
ἄλλους καλὸν μηδὲ μνημονεῦσαι.

XI. Ἡ δὲ γεννήσασα καὶ γεννῶσα τὸν ἀρρενωπὸν ἐν ταῖς καρδίαις
τῶν πιστευόντων λόγον, καὶ ἄχραντος καὶ ἀβλαβὴς ἀπὸ τοῦ θηρὸς
τῆς ὀργῆς εἰς τὴν ἔρημον παραγεγενημένη, ἡ μήτηρ ἡμῶν ἐστιν, ὡς
ἀποδεδώκαμεν, ἡ ἐκκλησία. ἡ δὲ ἔρημος, εἰς ἣν ἐλθοῦσα τρέφεται
τὰς χιλίας καὶ διακοσίας ἡμέρας καὶ ἑξήκοντα, ἡ κακῶν ἔρημος ἀλη-
θῶς καὶ | ἄγονος καὶ στεῖρα φθορᾶς καὶ δυσπρόσιτος καὶ δύσβατος 198
τοῖς πολλοῖς, εὔκαρπος δὲ καὶ εὔβοτος καὶ εὐθαλὴς καὶ εὐεπίβατος
ἁγίοις καὶ πλήθουσα σοφίας καὶ βλαστάνουσα ζωήν, ἐστὶ τοῦτο αὐτὸ
δὴ τῆς Ἀρετῆς τὸ κάλλιστον καὶ καλλίδενδρον καὶ καλλίπνουν χω-
ρίον, ἔνθα »ἐξηγέρθη ὁ νότος καὶ διέπνευσεν ὁ βορρᾶς, καὶ ῥέουσι
τὰ ἀρώματα« καὶ πάντα τῶν ἀμβροσίων πεπλήρωται δρόσων, ἀθα-

1 De lepra 11, 4 — **12** Symp. S. 86f — **15** Plato Kritias 111 A — **18** Hohel. 4, 16

1f. 12—14 Andreas PG 106, 321 C (Arethas, Cramer 8, 355, 31ff)

1 *καὶ* < P | *τρίτον — διεσφαλμένοι* Z. 2 Andr **1f** *τρίτον δὲ τ. ἀστ. ἐκλήθη μέρος οἱ* Andr **2** *τῶν ἀριθμῶν* P: *τὸν ἀριθμὸν* O: *τοῦ ἀριθμοῦ* Andr | *τ. τρ. διεσφ.* auch Andr vgl. Areth **3** *τοῦ* < O **5** *πεφηνέναι* O: < P: *πεφυκέναι* Al Jh | *δὲ* < B | vor *περὶ* in O etw. getilgt, darunter Punkte | *Ἐμβιωναῖοι* P **6** *τοὺς* P 204 | *λελαλ. φιλον.* B Jh **7** *τὸν περὶ ἐλκ.* O | *Ἑλκεσαῖον* O **8** *μηδὲ μνημ.* unleserl. O **9** *γεννῶσα κ. γεννήσασα* P Jh **9f** *καρ(δ)ίαις (τ)ῶν* unleserl. O **10** *τὸν π.* M Al | *πιστευσάντων* P Al, *πιστεύοντα* M | *ἀπὸ*] *ὑπὸ* Al Jh | *τοῦ* (< Al w. e. sch. auch O, nicht? M) | *θ(η)ρὸς* unleserl. O **11** *παραγεγενημένη* P Jh: *παραγενομένη* O **12** *ἡ δὲ ἔρ. — φθορᾶς* Z. 14 auch Andr | *ἡ ἔρ. δὲ* Andr **12f** *ἣν (ἐ)λθ. τρε(φ). τὰ(ς)* unleserl. O **12** *ἐλθ. τρ.*] *ἐλθὼν ἐπέφερε* 2. Hd. M Al **13** *τὰς — ἑξήκ.*] *ἡ ἐκκλησία* Andr | *ἡμέρας* unleserl. O | *ἔρημος .. κ. ἄγονος — δυσ(πρόσιτος)* Z. 14 unleserl. O | *ἔρημος*] *πλήρης* M Al **13f** *ἀλ. κ. ἄγ.* < Andr **14** *κ. στ. φθ.* 2. Hd. in Lücke M | *καὶ δύσβατος* O 70v **15** *εὔβοτος* Po Cb Jh: *εὔβατος* P, üb. *α* übergeschr. *ο* O: Pl *εὔκαρπον .. καὶ τοῖς ζῴοις πᾶσιν εὔβοτον* **16** *πληθύνουσα* O **16f** *ἔστι τοῦτο αὐτὸ δὴ* O: *αὐτὸ δὴ τοῦτο .. ἐστιν* P (*ἐστι* B) B Jh **18** *ἐνθάδ᾽* P **19** *καὶ πάντα* < P | *πεπλήρωνται* O

*νάτου ζωῆς βλάσταις ἀμαράντοις κατεστεμμένα, εἰς ὅ ἐσμεν ἡμεῖς
ἀνθολογοῦσαι νῦν καὶ πλέκουσαι τῇ βασιλίσσῃ τὸν ἁλουργῆ στέφανον
καὶ ἔκλαμπρον τῆς παρθενίας ἀθίκτοις δακτύλοις· Ἀρετῆς γὰρ κοσμεῖ-
ται καρποῖς ἡ νύμφη τοῦ λόγου. | αἱ δὲ χίλιαι καὶ διακόσιαι ἡμέραι* 199
*καὶ ἑξήκοντα, ἃς ἐνθάδε ἐσμὲν εἰς ἐπιδημίαν, ἡ περὶ τοῦ πατρός
ἐστιν, ὦ παρθένοι, καὶ τοῦ υἱοῦ καὶ τοῦ πνεύματος κατ' εὐθεῖαν ἀκρι-
βὴς καὶ ἀρίστη σύνεσις, ᾗ γέγηθεν ἡμῶν ἡ μήτηρ αὐξανομένη καὶ
ἀγάλλεται τουτονὶ τὸν χρόνον, μέχριπερ ἂν τῆς ἀποκαταστάσεως τῶν
καινῶν αἰώνων εἰς τὴν ἄγυριν ἐλθοῦσα κατὰ τοὺς οὐρανοὺς μηκέτι
δι' ἐπιστήμης κατασκέψηται τὸ ὄν, ἀλλὰ τρανῶς ἐποπτεύσῃ Χριστῷ
συνεισβᾶσα. τὰ γὰρ χίλια ἐν ἑκατοντάσι δεκαπλασιασθέντα τέλειον
ἀριθμὸν καὶ πλήρη περιέχει, ὃ δή ἐστι σύμβολον αὐτοῦ τοῦ πατρὸς
τοῦ ἀφ' ἑαυτοῦ δημιουργήσαντος καὶ ἐν ἑαυτῷ συγκρατοῦντος τὸ
πᾶν, τὰ δὲ διακόσια τὸν ἐκ δύο τελείων | ἀριθμῶν συνεζευγμένον, ὃ* 200
*δή ἐστι σύμβολον τοῦ ἁγίου πνεύματος, καθὸ τῆς γνώσεώς ἐστι τοῦ
υἱοῦ τοῦτο καὶ τοῦ πατρὸς παρεκτικόν. τὰ δὲ ἑξήκοντα τὸν ἓξ ἀριθ-
μὸν ἐν δεκάσιν ἔχει, ὃ δή ἐστι σύμβολον τοῦ Χριστοῦ, ἐπειδήπερ ὁ
τῶν ἓξ ἀπὸ μονάδος προϊὼν ἀριθμὸς ἐκ τῶν ἰδίων συντίθεται μερῶν,
ὥστε μήτε λείπειν ἐν αὐτῷ τι μήτε πλεονάζειν· εἰς τὰ ἑαυτοῦ γὰρ
μέρη ἀναλυόμενος συμπληροῦται, οἷον τῶν ἓξ εἰς ἴσα μέρη ἐξ ἴσων
τεμνομένων μερῶν ἀνάγκη τὴν αὐτὴν ἐκ τῶν διαμερισθέντων τμη-
μάτων πάλιν ποσότητα πληροῦσθαι. πρῶτον γὰρ μέρος κατὰ μέσον*

1 Symp. 6, 5 ob. S. 70, 8 — De sanguis. 1. Eurip. Hipp. 73f — **8** vgl. Act. 3, 21 — **9** Symp. 8, 2 S. 83, 5f — **10** vgl. I Kor. 13, 12 — De res. I, 30, 5

11f Andreas PG 106, 321 D — **17—S. 96, 10** vgl. Theophan. Keram. hom. 18 PGr 132, 405 AB; vgl. ders. hom. 53 zu S. 95, 15

1 *βλαστοῖς* O **4** *αἱ δὲ* P 204ᵛ **5** *περὶ* + O **9** *κατὰ τ. οὐρ.* < O | *κατὰ* Po Jh, vgl. S. 83, 5f: *καὶ* P **10** *κατασκέπτηται* P **11** *γὰρ*] *δὲ* Andr | *τὸν ἐν ἑκ. πολλαπλ.* Andr **14** *ἀριθμὸν* P | *(σὺνεζευγ)μένον ὃ* undeutl. O **15f** *τοῦτο τοῦ υἱ . .* O **16** *τοῦ* vor *πατρ.* < P | *περιεκτικόν* Cb Jh: *ον* unleserl. O **17** *ἐπειδήπερ — συγκείμενος* S. 96, 10 auszugsweise bei Theoph. | *ἐπειδὴ γὰρ* Theoph. **17f** *ὁ ἀπὸ τῶν μονάδων τῶν ἓξ* Theoph. **18** *ἐκ* unleserl. O | *ἰδίων συντίθεται* undeutl. O | *μερῶν συντιθέμενος ὡς* Theoph. **19** *(μή)τε . . ἐν — (μή)τε (πλε)ονά(ζ)ειν* unleserl. O | *τὸ ἐλλείπειν* Theoph. | *ἑαυτῷ* Theoph. Cb Jh | *τι* < Theoph. | *εἰς γὰρ ἑ.* Theoph. | *γὰρ* nach *μέρη* O **20** *(ἀνα)λυόμενος* unleserl. O | *συμπλ. — ἑαυτὸν* S. 95, 3 < Theoph. | *συμπληροῦται οἷον* O | *τῶν . . εἰς* unleserl. O | *τῶν* Jh: *τὰ* P: *τὸν* Al Po Cb | *καὶ εἰς* M Al | *ἴσον μέρος* P | *(μέρ)η* unleserl. O *ἐξ ἴσων* O 71 **22** *πρῶτον* P 205

διαιρούμενος ποιεῖ τὸν τρία, εἶτα εἰς τρία διαιρούμενος μέρη ποιεῖ
τὸν δύο, εἶτα εἰς ἓξ μερισθεὶς ποιεῖ τὸν ἕνα, καὶ συμπληροῦται πάλιν
εἰς ἑαυτόν· εἰς γὰρ δὶς τρία καὶ τρὶς δύο καὶ ἑξάκις ἓν διαιρούμενος, 201
συντιθεμένων τῶν τριῶν καὶ τῶν δύο καὶ τοῦ ἑνός, πάλιν ἀναπλη-
ροῖ τὸν ἕξ. τέλειον δὲ πᾶν ἐξ ἀνάγκης ἐστὶ τὸ μήτε προσδεόμενον
εἰς συμπλήρωσιν ἑτέρου μήτε πλεονάζον ἑαυτοῦ πώποτε. τῶν δὲ
ἄλλων ἀριθμῶν οἱ μὲν ὑπερτέλειοί εἰσιν, ὡς ὁ δώδεκα (τὸ γὰρ ἥμισυ
αὐτοῦ μέρος τὰ ἕξ, καὶ τὸ τρίτον τὰ τέσσαρα, καὶ τὸ τέταρτον τὰ
τρία, καὶ τὸ ἕκτον τὰ δύο, καὶ τὸ δωδέκατον τὸ ἕν, εἰς ἃ δύναται
μερίζεσθαι, συντεθέντα ὑπερβάλλουσι τὸν δώδεκα, οὐ τηρήσαντος
ἑαυτὸν ἴσον τοῖς ἑαυτοῦ μέρεσιν, ὡς ὁ ἕξ), οἱ δὲ ὑποτέλειοι, ὡς ὁ
ὀκτώ. τὸ γὰρ ἥμισυ αὐτοῦ τὰ τέσσαρα, καὶ τὸ τέταρτον τὰ δύο,
καὶ τὸ ὄγδοον τὸ ἕν, εἰς ἃ τέμνεται μέρη, συντεθέντα | ποιεῖ τὸν 202
ἑπτά, καὶ προσδεῖται μονάδος εἰς τὴν ἑαυτοῦ συμπλήρωσιν, οὐχ ὡς
ὁ ἓξ παντοίως ἑαυτῷ σύμφωνος ὤν. διὸ καὶ τὴν ἀναφορὰν εἰς τὸν
υἱὸν ἀνείληφε τοῦ θεοῦ, ἀπὸ τοῦ πληρώματος »τῆς θεότητος« εἰς
τὸν βίον ἐληλυθότος· κενωθεὶς γὰρ καὶ τὴν »μορφὴν« τοῦ »δούλου«
προσλαβὼν εἰς τὴν ἑαυτοῦ τελειότητα πάλιν ἀνεπληρώθη καὶ τὴν

16 Kol. 2, 9 — **17** Phil. 2, 7

15—S. **96, 4** Theophan. Keram. hom. 53 PGr 132 S. 932f

1 *εἶτα τὸν* P **2** *εἶτα τὸν* P **3** *εἰς — διαιρούμενος*] *φημὶ δὲ εἰς τρὶς δύο, καὶ δὶς τρεῖς, καὶ ἑξάκις ἓν ἐξ αὐτῶν πάλιν συνίσταται* Theoph. **4** *τῶν τριῶν καὶ* < O, ab. üb. *δύο καὶ* steht *καὶ τριῶν* (*τ. δύο καὶ τριῶν* M Al) | *τοῖν δυοῖν* Theoph. | *πάλιν — ἕξ* Z. 5] *τέλειός ἐστι* Theoph. **5** *δὲ*] *γὰρ* Theoph. **5f** *μήτε πλεον. ἑ. π.* vor *μήτε — συμπλ. ἑ.* Theoph. | *τινὸς ἑτέρου προσδ. εἰς συμπλ.* Theoph. **7** *εἰσιν ὑπερτ.* Theoph. | *ὁ δωδέκατος* Theoph. | *τὸ γὰρ — ὁ ἕξ* Z. 11] *οὗ τὰ μέρη συντιθέμενα ὑπερεκπίπτει τὰ δώδεκα* Theoph. **8** *τὸ* vor *τέταρτον* < P **11** *αὐτοῦ μέρ.* Cb Jh | *οἱ δέ εἰσιν ἀτέλειοι* Theoph. | *ὁ*² < Theoph. **12** *τὸ γὰρ — ἑπτά, καὶ* Z. 14] *οὗ τὰ μέρη συντιθέντα* Theoph. **14** *τὴν ἑ. συμπλ.*] *τὸ γενέσθαι ὄκτω* Theoph. | *οὐχ ὡς — ποιητική* S. 96, 8 anders Theoph. hom. 18 (doch s. S. 96, 4) **15ff** *διὸ καὶ* etc. vgl. Theoph. hom. 53 *φασὶ δὲ καὶ τὸν ἕκτον ἀριθμὸν τέλειον ὄντα, ὡς ἐκ τῶν ἰδίων μερῶν συμπληρούμενον, τὴν ἀναφορὰν ἔχειν εἰς τὸν υἱὸν τοῦ θεοῦ, θεὸν τέλειον ὄντα καὶ τέλειον ἄνθρωπον. καὶ ὥσπερ οὗτος ὁ ἀριθμὸς εἰς τὰ ἴδια μέρη ἀναλυόμενος, συντεθέντων αὖθις τῶν μερῶν εἰς ἑαυτὸν πάλιν ἀποκαθίσταται, οὕτως ὁ τοῦ θεοῦ μονογενὴς υἱός, κενωθεὶς καὶ δούλου μορφὴν λαβὼν καὶ οἱονεὶ σμικρυνθείς, εἰς τὴν ἑαυτοῦ τελειότητα καὶ ἀξίαν πάλιν ἀνεπληρώθη, οὐδέποτε τοῦ τέλειος εἶναι ζημιωθείς* **16** *εἴληφε* Jh | (*θεό*)*τη*(*τος*) undeutl. O **18** (*προσ*)*λαβὼν εἰς* unleserl. O | *προσλα|βὼν* P 205ᵛ

ἀξίαν. αὐτὸς γὰρ ἐν ἑαυτῷ σμικρυνθείς, καὶ ἐν τοῖς ἑαυτοῦ μέρεσιν
ἀναλυθείς, ἐκ τῆς ἑαυτοῦ σμικρότητος καὶ τῶν ἑαυτοῦ μερῶν εἰς τὴν
συμπλήρωσιν πάλιν τὴν ἑαυτοῦ καὶ τὸ μέγεθος κατέστη, οὐδέποτε
τοῦ τέλειος εἶναι μειωθείς. ἀλλὰ καὶ ἡ τοῦ κόσμου κτίσις ἐκ τούτου
φαίνεται πᾶσα συγκειμένη | τοῦ ἀριθμοῦ καὶ τῆς ἁρμονίας, »ἐν ἓξ 203
ἡμέραις« ποιήσαντος τοῦ θεοῦ »τόν τε οὐρανὸν καὶ τὴν γῆν καὶ τὰ
ἐν αὐτοῖς«, τῆς ποιητικῆς δυνάμεως τοῦ λόγου τὸν ἓξ ἐμπεριέχοντος
ἀριθμόν, καθ' ὃν ἡ τριὰς σωμάτων ἐστὶ ποιητική· μῆκος γὰρ καὶ
πλάτος καὶ βάθος σῶμα ἐργάζεται, ὁ δὲ ἓξ ἐκ τῶν τριγώνων ἐστὶ
συγκείμενος. — καὶ περὶ μὲν τούτων οὐκ ἔστι καιρὸς πρέπων ἐν τῷ
παρόντι δι' ἀκριβείας διεξελθεῖν, ἵνα μὴ τὸ προκείμενον ἐάσαντες τὸ
πάρεργον σκοπῶμεν.

XII. Οὐκοῦν δεῦρο εἰς τὴν ἔρημον ἐλθοῦσα ταύτην καὶ ἄγονον
κακῶν, καθὼς καὶ πρόσθεν εἰρήκαμεν, ἡ ἐκκλησία τρέφεται, πτερου-
μένη τοῖς οὐρανοπόροις τῆς παρθενίας πτεροῖς, ἃς ἀετοῦ μεγάλου
πτέρυγας ὁ λόγος ἔφη, νικήσασα τὸν ὄφιν καὶ τῆς πληροσελήνου |
τῆς ἑαυτῆς τὰς νεφέλας τὰς δυσχειμέρους ἀπωσαμένη. τούτων γὰρ 204
χάριν οἱ μεταξὺ πάντες οὗτοι παρηνέχθησαν λόγοι, διδάσκοντες ὑμᾶς
ὦ καλλιπάρθενοι, κατὰ κράτος μιμεῖσθαι τὴν μητέρα, μὴ ἐπιθολοῦ-
σθαι δὲ ταῖς ἀχθηδόσι καὶ τροπαῖς καὶ θλίψεσι τοῦ βίου, ἵνα συνεισ-
έλθητε γαῦροι μετ' αὐτῆς εἰς τὸν νυμφῶνα, παραφαίνουσαι τὰς
λαμπάδας. μὴ οὖν ἀποδειλιάσητε »πρὸς τὰς μεθοδείας« καὶ διαβολὰς
τοῦ θηρός, ἀλλὰ καρτερῶς ἐνσκευάσασθε πρὸς τὴν μάχην, τὴν κόρυν

5 Exod. 20, 11 — **8** Plato Legg. X, 896 D — **14** Symp. S. 93, 9ff — **15** Symp. S. 82, 1. 83, 7 — Ezech. 17, 3 — **16** vgl. Symp. S. 85, 12ff — **21** Mt. 25, 10 — **22** Ephes. 6, 11. 17. 19

4 ff. 8 ff Theophan. Keram. hom. 18 PGr 132 S. 405 B

1 γὰρ ἐν ἑαυτῷ (σμικρ)υνθείς, καὶ unleserl. O | ἐ(ν) — (ἑαυτοῦ) σμι(κρότητος) Z. 2 unleserl. O **3** τὴν ἑαυτοῦ unleserl. O **4** μειωθείς unleserl. O | ἀλλὰ — αὐτοῖς Z. 7] ὅθεν καὶ ἡ τοῦ κόσμου κτίσις τὴν τῆς ἑξάδος ἁρμονίαν οὐκ ἔφευγεν. ἐν γὰρ ἓξ ἡμέραις ὁ δημ. πᾶν τὸ φαινόμ. ἐτεκτήνατο Theoph. S. 405 B | καὶ ἡ τοῦ (κ)όσμου unleserl. O **5** (σ)υγκ(ειμ). τ. ἀριθμοῦ unleserl. O | συγκ.] συνεστεικέναι M Al **6** ποιήσαντος O 71^{v} | τε < P Jh **7** περιέχοντος P **8** ἡ τριὰς < P | ἐστι σωμ. P **8 f** Pl μήκους σωμάτων κ. πλάτους κ. βάθους **8** μῆκος — συγκ. Z. 10] μῆκος κ. βάθος κ. πλάτος, ὡς ἐκ τριγ. συγκείμενος· ἐκ τούτων δὲ πάντων τὸ σῶμα Theoph. hom. 18 S. 405 B **11** διεξ. δι' ἀκριβείας B **11 f** τὰ πάρεργα P **13** ἐλθοῦσαν P **14** καθὼς — εἰρήκαμεν < Po Cb Jh **15** ἃς] αἳ B **16** προσελήνου O, üb. π e. Punkt **17** ἀπεωσαμένη HSS **18** οἱ < O Jh | πάντες P 206 | ἡμᾶς O **23 f** (κό)ρυν τοῦ unleserl. O

»τοῦ σωτηρίου« καὶ »τὸν θώρακα« καὶ τὰς κνημῖδας ἐξωπλισμέναι. μυρίαν γὰρ αὐτῷ κατάπληξιν παρέξετε μετὰ πολλοῦ λήμματος καὶ εὐψυχίας προσβάλλουσαι, οὐδὲ στήσεται πάντως ἐκ τοῦ κρείττονος 205 *ὁρῶν τὰς ἀντιπάλους παρατεταγμένας, ἀλλ᾽ αὐτόθεν ἄρασθαι τῶν ἑπτὰ παλαισμάτων ὑμᾶς συγχωρήσει τὰ ἀριστεῖα ὁ πολυκέφαλος καὶ πολυπρόσωπος θήρ,*

> *πρόσθε λέων, ὄπιθεν δὲ δράκων, μέσση δὲ Χίμαιρα,*
> *δεινὸν ἀποπνείουσα πυρὸς μένος αἰθομένοιο·*
> *καὶ τὴν μὲν κατέπεφνε πατρὸς τεράεσσι πιθήσας*
> *Χριστὸς ἄναξ· πολλοὺς γὰρ ἀπώλεσεν, οὐδέ τις ἔτλη*
> *λοίγιον ἐκ γενύων ἀφρὸν ἐρευγομέναν,*

εἰ μὴ πρότερον ἐκλύσας αὐτὴν κατειργάσατο καὶ ἀσθενῆ καὶ εὐκαταφρόνητον ἡμῖν παντελῶς ἐποίησε Χριστός.

XIII. *Διὸ θυμὸν ἄρρενα λαβοῦσαι καὶ νήφοντα ἐναντία θέσθε τῷ θηρὶ σφριγῶντι τὰ ὅπλα, μηδὲ ὑποχωρήσητε τὸ σύνολον, ἐφ᾽* 206 *οἷς θρασύνεται ταραχθεῖσαι· μυρίον γὰρ ἕξετε κλέος, ἐὰν ἀφέλητε νικήσασαι τοὺς ἐπ᾽ αὐτῷ στεφάνους ἑπτά, δι᾽ οὓς ὁ ἀγὼν ἡμῖν πρόκειται καὶ ἡ πάλη κατὰ τὸν διδάσκαλον Παῦλον. ἡ γὰρ καταγωνισαμένη τὸν διάβολον πρότερον καὶ νεκρώσασα τὰς ἑπτὰ κεφαλὰς τῶν ἑπτὰ στεφάνων τῆς ἀρετῆς ἐγκρατὴς γίνεται, τοὺς ἑπτὰ μεγάλους ἀγῶνας διαθλήσασα τῆς ἁγνείας. κεφαλὴ γὰρ τοῦ δράκοντός ἐστιν ἡ ἀκρασία καὶ ἡ τρυφή· ὁ ταύτην θλάσας ἀναδεῖται τὸν στέφανον*

5 Plato Pol. IX, 588 C — **7 ff** Ilias 6, 181—183 — **14** vgl. Apok. Joh. 12, 5 — **17** I Kor. 10, 24f — **18** Ephes. 6, 12 — **19** Apok. Joh. 13, 1

18—20 Andreas PG 106, 321 D

1 *κνυμήδας* B **2** *(μυρ)ίαν γὰρ* unleserl. O | *κατάπλ. αὐτῶ* O | *πολλοῦ* unleserl. O **3** *εὐψυ(χ)ίας* undeutl. O | *(κρ)είττονος* unleserl. O **5** *(παλαισμ)άτων* unleserl. O | *τὰ ἀρίστια* P: unleserl. O **5f** Pl *θηρίου ποικίλου κ. πολυκεφάλου* **7** *(πρ)όσθε λέων* unleserl. O (a. Rd. v. 2. Hd. in M, *ν ἐὼν* im Text) **8** *δει(νὸν ἀπο)πνείουσα πυρὸς μένος* unleserl. O **9** *(κατέπ)εφνε (πατρὸς)—πιθήσας* unleserl. O: *κατέπ. πρὶν ὁ Πέρσευς, τὴν δὲ* v. 2. Hd. in M Al | *τετράεσι* B: *τεράτεσσι* Po Jh **10** *ἄναξ* undeutl. O | *γὰρ* auch O: *δὲ* M Al | *οὐδὲ* O 72 **11** *ἐρευγόμενον* P Al **12 f** *(εὐκατα)φ(ρόνη)το(ν)* undeutl. O **14** *Διὸ*] P 206v | *ἄρσενα* O **15** *σφρίνοντι* P, am Rand corr. | *ὑταναχω* ... w. e. sch. O, *ὑπαναχωρήσητε* viell. richtig M **15f** *ἐφ᾽ οἷς* undeutl. O **16** *θρασύνεται—γὰρ* < P | *(ἕξ)ετε κλέος* unleserl. O | *ἀφέλησθε* O **17** *αὐτοῦ* P Jh | *(στεφ)άνους* unleserl. O | *δι᾽ (οὓς ὁ) ἀγὼ(ν)* unleserl. O **18** *ἡ δὲ καταγ.—γίνεται* Z. 20 Andr **19** *τοῦ διαβόλου* P: *κατὰ τοῦ διαβ.* Andr | *κεφαλὰς* undeutl. O **20** *γίγνεται* P | *μεγάλους* P: unleserl. O: *μεγίστους* M Al Jh **22** *συνθλάσας* B Jh

τῆς σωφροσύνης. κεφαλή ἐστι καὶ ἡ δειλία καὶ ἡ θρύψις· ὁ ταύτην πατήσας τὸν στέφανον ἀναιρεῖται τοῦ μαρτυρίου. κεφαλή ἐστι καὶ ἡ
ἀπιστία καὶ ἡ ἄνοια καὶ τὰ ἄλλα ὡσαύτως τῆς πονηρίας πλεο|νεκτή- 207
ματα· ὁ ταῦτα κατεργασάμενος καὶ ἀνελὼν τὰς ἐπ᾿ αὐτοῖς τιμὰς ἀποφέρεται, πολυτρόπως ἐκκεραϊζομένης τοῦ δράκοντος τῆς ἰσχύος. καὶ γὰρ καὶ τὰ δέκα κέρατα καὶ κέντρα, ἅπερ ἐπὶ ταῖς κεφαλαῖς ἐλέχθη φέρειν, αἱ δέκα ἀντιθέσεις εἰσίν, ὦ καλλιπάρθενοι, τῆς δεκαλόγου, αἷς ἀνακερατίζειν εἴωθε καὶ βάλλειν τὰς τῶν πλείστων ψυχάς, τῇ »ἀγαπήσεις« ἐντολῇ »κύριον τὸν θεόν σου« τὰ ἐναντία φρονῶν καὶ τεκταινόμενος καὶ τοῖς ἑξῆς νομοθετήμασιν. ἰδὲ γὰρ κέρας αὐτοῦ διάπυρον καὶ πικρὸν τὴν πορνείαν, ᾧ τοὺς ἀκράτορας βάλλει, ἰδὲ τὴν μοιχείαν, ἰδὲ τὸ ψεῦδος, ἰδὲ τὴν φιλαργυρίαν, ἰδὲ τὴν κλοπὴν
καὶ τὰ ἄλλα τούτων ἀδελφὰ καὶ συγγενῆ, ὁπόσα ἐξισχύουσιν ἀμ|φὶ 208
ταῖς κεφαλαῖς αὐτοῦ ταῖς ἀνθρωποκτόνοις πεφυκότα· ἃς ὑμεῖς συμμαχήσαντος Χριστοῦ ἐκκεραΐσασαι λήψεσθε, τοῖς κατὰ τοῦ δράκοντος καταυθεμοῦσαι στεφανώμασιν ὑμῶν τὰς θείας κεφαλάς. ἡμέτερον προκρίνειν γὰρ τὰ κρείττω καὶ προτάσσειν πρὸ τῶν γηγενῶν, αὐτοκράτορα καὶ αὐτεξούσιον τὸν λογισμὸν εἰληφότας καὶ πάσης ἀνάγκης ἐκτὸς εἰς τὸ αὐτοδεσπότως αἱρεῖσθαι τὰ ἀρέσκοντα, οὐ δουλεύοντας εἱμαρμένῃ καὶ τύχαις ... ὡς οὐκ ἄνθρωπος ἀλλ᾿ ὡς μακάριος ἔσοιτο καὶ ἀγαθός, εἰ [μὴ] τῷ ἀνθρωπίνῳ παραδείγματι χρώμενος τοῦ Χρι-

6 Apok. Joh. 12, 3 — 9 Deut. 6, 5 — 17 De autex. 16, 2. 5. 7. 17, 1. De res. I, 38, 3

2 zu *ἀναιρ.* vgl. S. 134, 12 (Kl) **2f** *ἐστιν ἡ ἀπιστ.* O **8** *αἷς*] *ἧς* P | *ἀνακ. εἴωθε* unleserl. O **9** *(ἀγαπ)ήσεις — τὰ* unleserl. O **10** *(τεκ)ταιν. (καὶ) — (μ)οι(χείαν)* Z. 12 außer *τὴν πορ* fast ganz unleserl. O | *τὴν ἑξῆς* M | *νομοθ.*] *τήμα* anders M | *ἴδε* stets B, P 207 | *γὰρ* < M Al **11** *καὶ διάπυρον* P | *ἀκρατεῖς ἀναβάλλει* viell. richtig P **12** *ἴδε τὴν — ἄλλα* Z. 13 unleserl. O **13** *καὶ συγγ. — κεφαλαῖς* Z. 14 unleserl. O | *ὑπερεξισχύουσιν* M Al **14** *ἀνθρωπ. — ἐ(κκεραΐσασαι)* Z. 15 unleserl. O | *πεφυκότα* 2. Hd. in Lücke in M **14f** *συμμαχίᾳ* M Al **15** *λήψεσθε* O 72ᵛ | *δρακῶντος* O **16** *καταυθ.* Wd: *καθανθεμῶσαι* O P **17** *γὰρ προκρίνειν καὶ* B, aber *καὶ* a. Rd. corr. in *γὰρ* | *πρὸ* < Po Jh | *τῶ(ν)* unleserl. O **18** . *άσης* O **19** *οὐ δ(ουλ.)* unleserl. O **20** nach *τύχαις* wohl etwas ausgefallen | *οὐκ — μα(κ)άρι(ος)* unleserl. O | *ἀλλ᾿ ὡς μακάριος*] *αὐτοῦ (αὔτοῦ* Jh) *κύριος,* v. 2. Hd. in Lücke in M, Al Jh | *ἔστω* P **21** *ἀγαθός . . μὴ* unleserl. O | *μὴ* < Po | *ἀνθρωπίνω* w. e. sch. O: *ἀνθρωπείω* P **21f** *(χρ)ώμενος τοῦ Χριστοῦ* unleserl. O

στοῦ καὶ πρὸς ἐκεῖνον ἑαυτὸν ζωγραφῶν κἀκεῖνον μιμούμενος βιώσει.
πάντων γὰρ κακῶν μέγιστον | ἔμφυτον τοῖς πολλοῖς τὸ τὰς αἰτίας 209
τῶν ἁμαρτημάτων εἰς τὰς τῶν ἀστέρων κινήσεις ἀναφέρειν καὶ τὸν
βίον ἡμῶν οἰακίζεσθαι τῆς εἱμαρμένης ταῖς ἀνάγκαις λέγειν, καθάπερ
οἱ μετὰ ἀλαζονείας πολλῆς ἀστεροσκοπήσαντες· ὑπονοίᾳ γὰρ μᾶλλον
ἢ τῷ φρονεῖν πεπιστευκότες, ὃ μεταξὺ τῆς ἀληθείας ἐστὶ καὶ τοῦ
ψεύδους, πολὺ τῆς τῶν ὄντως ὄντων θέας ἐξηπατήθησαν. ὅθεν εἰ
παρείης, ὦ Ἀρετή, πληρωθέντος ἤδη μοι τοῦ λόγου, ὃν αὐτὴ προσέ-
ταξας, δέσποινα, ῥηθῆναι, πειράσομαι δὴ συναγωνιζομένης σου καὶ
συμπνεούσης πρὸς τοὺς χαλεπαίνοντας καὶ ἀμφισβητοῦντας, ὡς οὐκ
ἀληθῆ λέγομεν αὐτεξούσιον εἶναι φά|σκουσαι τὸν ἄνθρωπον, διευκρι- 210
νήσασθαι ὅτι

σφῇσιν ἀτασθαλίῃσιν ὑπέρμορον ἄλγε᾽ ἔχουσιν,

αἱρούμενοι τὰ ἡδέα πρὸ τῶν συμφερόντων.

ΑΡΕΤΗ. Ἀλλὰ παρίημι καὶ συναγωνίζομαι· τελέως γὰρ ὁ λόγος κεκοσμήσεται καὶ τούτων προσαφθέντων.

XIV. ΘΕΚΛΑ. Πάλιν οὖν δὴ πρῶτον περὶ τῶν τοιούτων εἰς δύναμιν εἴπωμεν, τὴν γοητείαν αὐτῶν, ἐφ᾽ ᾗ θρασύνονται, γυμνώ-

13 Odyss. 1, 34, vgl. Symp. S. 107, 14

2—S. **107, 14** SS Parall. S. 200—205 Holl

1 πρὸς undeutl. O | βιώσει M Al Jh: βιώσῃ P: (βιώ)σει unleserl. O **2** πάν-των] es beginnt C in K (Vat. 1553) Bl. 93ᵛ—98ʳ; Lemma τοῦ ἁγίου Μεθοδίου ἐκ τῶν περὶ ἁγνείας συμποσίου (so) | γὰρ] τῶν C | τοῖς < C | αἰ(τίας) undeutl. O **3** (ἁμαρτη)μάτων unleserl. O | φέρειν C **4** τῆ(ς) εἱμαρμ. unleserl. O **5** μετ᾽ C | (π)ολλ(ῆ)ς unleserl. O: < C | ἀστ . . ο . . . πήσαντος O **6** τῷ] τὸ C | (πεπιστευ)κότες ὁ μεταξὺ unleserl. O | ὃ] ἃ C **7** ὄντων ὄντως C | ὄντως < P | ὄντων P 207ᵛ | θέας ἐ unleserl. O: ἀληθείας 2. Hd. in Lücke M Al | ὅθεν—χαλεπ. καὶ Z. 10 < C **8** παρείης O P (πᾶρείης P): παρίῃς Jh | (λό)γου unleserl. O **9** (συν)αγωνι(ζομένης) unleserl. O **10** ἀμφισ . ητοῦν . . . O, ἀμφισβητοῦντες C **11** φάσκουσαι < C | τὸν ἄνθρ. διευ unleserl. O **11f** διευκρ. < C: Pl nur Parm. 135 B διευκρινησάμενον **12** ὅτι unleserl. O **13** σφίσιν C | ἀτασθαλ . . σ . . O **13f** (ἄλ)γε᾽ ἔχουσιν αἱρ(ού)μεν(οι) unleserl. O **14** (συμφερ)όντ(ων) unleserl. O **15** Ἀρετή unleserl. O | Ἀλλὰ—ὑποθέσεις S. 100, 2 < C | παρίημι κ. συναγ. unleserl. O (st. συναγ. Lücke in M) | παρίημι Jh: πάρειμι P Al | γὰρ—Πάλ(ιν) Z. 17 unleserl. O (Παλ. οὖν Lücke in M) **17** (πρ)ῶτον—γοητεί(αν) Z. 18 unleserl. O | τῶν—δύν. Z. 18 in Lücke in M | τῶν τοιούτων] τούτων Cb Jh **18** εἴπ. τ. γοητ. Lücke in M | ᾗ—κατειλη(φότων) S. 100, 1 unleserl. O **18f** μώσαντες (so)—οὐρανὸς S. 100, 1 in Lücke in M

σαντες, ὡς μόνων κατειληφότων ἐξ οἵων ὁ οὐρανὸς κεκόσμηται σχη-
μάτων κατὰ τὰς Χαλδαϊκὰς ὑποθέσεις. φάσκουσι γὰρ ὥσπερ σφαίρας
ἐντόρνου στροφαῖς ἀπεικάζεσθαι τὴν περιφέρειαν τοῦ κόσμου, τῆς
γῆς κέντρου καὶ σημείου τόπον ἐχούσης. περιφορᾶς | γὰρ οὔσης σφαι- 211
ρικῆς, ἀνάγκη, φασί, κατὰ τὰς ὁμοίας διαστάσεις τῶν αὐτῶν ὄντων
διαστημάτων μέσην τοῦ παντὸς τὴν γῆν τυγχάνειν, περὶ ἣν ὁ οὐρα-
νὸς περιδινεῖται προγενεστέραν οὖσαν. εἰ γὰρ ἐκ σημείου καὶ κέντρου
περιφέρεια συνέστηκεν, ὃ δὴ κύκλος εἶναι δοκεῖ, ἀδύνατον δὲ χωρὶς
σημείου καταγραφῆναι κύκλον, κύκλον δ' ἔσεσθαι ἀδύνατον ἄνευ
σημείου, πῶς οὐ πρὸ πάντων ἡ γῆ, φασί, συνέστηκε καὶ τὸ κατ'
αὐτὴν χάος καὶ βάθος; εἰς χάος γὰρ ὄντως καὶ βάθος κατωλίσθησαν
οἱ σχέτλιοι πλάνης, ὅτι »γνόντες τὸν θεὸν οὐχ ὡς θεὸν ἐδόξασαν ἢ
ηὐχαρίστησαν, ἀλλ' ἐματαιώθησαν ἐν τοῖς διαλογισμοῖς αὐτῶν, καὶ
ἐσκοτίσθη ἡ ἀσύνετος αὐτῶν καρδία«, καὶ ταῦτα καὶ τῶν παρ' αὐτοῖς
εἰρηκότων σοφῶν ὡς οὐδὲν Ὀλυμπίων ἐντιμότερον γηγενὲς καὶ
πρεσβύτερον. ὅθεν οὐκ ἀεὶ παῖδες ὄντως | οἱ Χριστὸν ἐγνωκότες, 212

2 Plato Legg. X, 898 B — **6** vgl. Plato Phaed. 108 E — Plato Tim. 40 BC — **12** Röm. 1, 21 — **15** Plato Legg. V, 727 E — **16** Plato Tim. 22 B; vgl. I Kor. 14, 20 — vgl. Gal. 4, 9

1 *μόνον* B Al: < M | *ὑπειληφότων* M Al | *οἵων — τὰς* Z. 2 unleserl. O **2** *χαλδαϊκὰς* O: *αἰγυπτιακὰς* P: *Αἰγυπτίων καὶ Χαλδαίων* M Ausgg., schwerl. ist *Αἰγυπτιακὰς καὶ Χαλδαϊκὰς* zu lesen | *ὑποθ. — ἀπεικά(ζεσθαι)* Z. 3 unleserl. O | *φάσκοντες* M | *γὰρ ὥ. σφ.* < M | *γὰρ] τοίνυν* C **2 f** Pl *σφαίρας ἐντόρνου ἀπεικασμένα φοραῖς* **3** *ἐκτόρν. στρ. ἀπ.* in Lücke in M | *ἐντόρνους* P: *ἐν τόρνῳ* C | *στροφὰς* C | *τὴν — τόπον* Z. 4 unleserl. O **3 f** *τῆς γῆς κ.* in Lücke in M, *κ. σημ.* < M **4** *σκοπὸν* M | *ἐπεχούσης* B Jh (*ἰχούσης* M): *ἔχουσιν* C | *περιφορᾶς — τυγχάνειν* Z. 6 außer (*ὁμ*)*οίας διαστ*(*άσεις*) unleserl. O **5** *ἀνάγκη* in Lücke in M | *φησίν* C M | *κατὰ] καὶ* C | *τ. ὁμ.* u. *ὄντ. — τυγχ.* Z. 6 Lücke in M **6** *περὶ* O 73 | *ἣν* P 208 **7** *περιδ . νεῖται* O, *περιδίνεται* P, *περιδείνεται* C | *προγενέστερον* P **8** *περιφερείας* C | *συνέστηκεν — φασί* Z. 10 < O P **9** *κύκλος δὲ* C | *δυνατὸν* C **10** *φασί* Bo: *φησίν* C Jh **11** *βάθος* undeutl. O | *εἰς χάος γὰρ ὄντως καὶ βάθος* C: *εἰς χ. γὰρ καὶ β . . ος ὄντως* O: *εἰς βάθος γὰρ καὶ χάος ὄντως* P Jh **12** *ὅτι] οἳ* O | *γνῶντες* C | *ὡς* u. *ἢ* unleserl. O **13** *διαλογισμοῖς* (w. e. sch. O) C: *λογισμοῖς* P | *αὐτῶν* nach *διαλ.* + C **14** (*ἐσκοτί*)*σθη ἡ* unleserl. O | *παρ' αὐτ*(*οῖς*) unleserl. O **15** (*σο*)*φῶν ὡς οὐδ*(*ὲν*) unleserl. O | *οὐδὲν — γηγ.* Pl | *. λ . . πίων* O | *γηγενὲς — οὐκ* Z. 16 unleserl. O | *γηγενοῦς* M Al: *γενέσθαι* C **15 f** *κ. πρεσβ. ὅθεν* < C **16** *ὄντως* undeutl. O: < C | (*ἐ*)*γνω*(*κότες*) unleserl. O

καθάπερ Ἕλληνες οἱ μύθοις μᾶλλον καὶ πλάσμασιν ἢ τέχνῃ τῶν
λόγων τὴν ἀλήθειαν χώσαντες καὶ τοῖς οὐρανίοις τὰς τῶν ἀνθρώ-
πων προσαρμόσαντες συμφοράς, οὐδὲν αἰσχύνονται καταγράφοντες
τὴν τῆς οἰκουμένης περιφορὰν γεωμετρικοῖς θεωρήμασι καὶ σχήμασι,
καὶ τὸν οὐρανὸν εἰδώλοις πτηνῶν καὶ νηκτῶν καὶ χερσαίων εἰση-
γούμενοι κεκοσμῆσθαι καὶ τὰς ποιότητας τῶν ἀστέρων ἐκ τῶν περὶ
τοὺς ἀρχαίους ἀνθρώπους συμφορῶν κατεσκευάσθαι, ὥστε τὰς τῶν
πλανητῶν αὐτοῖς κινήσεις ἐκ τῶν τοιούτων ἠρτῆσθαι σωμάτων.
εἱλίσσεσθαι γὰρ περὶ τὴν τῶν δώδεκα ζωδίων φύσιν φασὶ τοὺς ἀστέ-
ρας, ἑλκομένους τοῦ ζωδιακοῦ κύκλου τῇ φορᾷ, ὡς καὶ διὰ τῆς συγ-
κράσεως αὐτῶν ὁρᾶσθαι τὰ ἀποβαίνοντα πολλοῖς κατὰ τὰς πρὸς 213
ἀλλήλους αὐτῶν συναφείας τε καὶ ἀπορροίας, ἀνατολάς τε αὖ καὶ δύσεις.
σφαιροειδὴς γὰρ ὑπάρχων πᾶς ὁ οὐρανὸς καὶ κέντρῳ καὶ σημείῳ κατ᾽
αὐτοὺς τῇ γῇ χρώμενος, διὰ τὸ πάσας ἀπὸ τῆς περιφορᾶς τὰς προσ-
πιπτούσας εὐθείας ἐπὶ τὴν γῆν ἴσας ἀλλήλαις εἶναι, ὑπὸ τῶν περιεχόν-
των αὐτὸν διακρατεῖ⟨ται⟩ κύκλων· ὧν μείζων μὲν ὁ μεσημβρινὸς δοκεῖ,
καὶ δεύτερος ὁ εἰς ἴσα τέμνων μέρη καλούμενος ὁρίζων, τρίτος δὲ ὁ
τούτους ἐπιδιαιρῶν ἰσημερινός. παρ᾽ ἑκάτερα δὲ τούτου τροπικοὶ
τεύξεται τῆς ἀναπαύσεως, μὴ πληρώσας τὴν ἐντολὴν τοῦ θεοῦ κατὰ τὸν νόμον, οὐδὲ εἰς τὴν γῆν ἐπιδημήσει τῆς ἐπαγγελίας, μὴ ἑορτάσας πρῶτον τὰς σκηνάς. οἱ γὰρ ἑορτάσαντες μόνοι τὴν σκηνοπηγίαν εἰς τὴν ἁγίαν καταίρουσι γῆν, ἀπάραντες ἀπὸ τῶν καλουμένων σκηνῶν, ἔστ᾽ ἂν εἰς τὸν νεὼν φθάσωσιν ἐλθεῖν καὶ τὴν πόλιν τοῦ θεοῦ, εἰς τὴν μείζονα καὶ ἐνδοξοτέραν προκόψαντες χαράν, καθὼς καὶ οἱ τύποι συνιστᾶσιν οἱ γεγονότες ἐπὶ Ἰουδαίων. ὥσπερ γὰρ ἐξελ|θόντες τῶν 254 ὅρων ἐκείνων τῆς Αἰγύπτου ὥδευσαν πρῶτον καὶ ἦλθον εἰς τὰς σκηνὰς κἀκεῖθεν ἀπάραντες πάλιν ἦλθον εἰς τὴν γῆν τῆς ἐπαγγελίας, οὕτω δὴ καὶ ἡμεῖς. ὁδεύσασα γὰρ ἐντεῦθεν καὶ ἐξελθοῦσα κἀγὼ τῆς Αἰγύπτου τούτου τοῦ βίου, ἔρχομαι πρῶτον εἰς τὴν ἀνάστασιν, τὴν ἀληθινὴν σκηνοπηγίαν, κἀκεῖ τοῖς καρποῖς τῆς ἀρετῆς πήξασα τὴν σκηνήν μου κεκοσμημένην, τῇ πρώτῃ τῆς ἑορτῆς ἀναστάσεως ἡμέρᾳ, τῇ κρίσει, συνεορτάζω τῷ Χριστῷ τὴν χιλιονταετηρίδα τῆς ἀναπαύσεως, τὰς ἑπτὰ καλουμένας ἡμέρας, τὰ σάββατα τὰ ἀληθινά. εἶτα αὖθις ἑπομένη τῷ διεληλυθότι »τοὺς οὐρανοὺς« Ἰησοῦ ἔρχομαι πάλιν καθάπερ κἀκεῖνοι μετὰ τὴν ἀνάπαυσιν τῆς σκηνοπηγίας εἰς τὴν γῆν τῆς ἐπαγγελίας, τοὺς οὐρανούς, | ἐν σκηναῖς μὴ ἀπομείνασα, τουτέστι 255 τοῦ σκηνώματός μου μὴ ἀπομείναντος τοιούτου, ἀλλὰ μετὰ τὴν χιλιονταετηρίδα μεταβληθέντος ἀπὸ τοῦ σχήματος τοῦ ἀνθρωπίνου καὶ τῆς φθορᾶς εἰς ἀγγελικὸν μέγεθος καὶ κάλλος· ἔνθα λοιπὸν ἀπὸ τοῦ θαυμαστοῦ τῆς σκηνῆς, ὦ παρθένοι, τόπου μετὰ τὸ συμπερασθῆναι τὴν ἑορτὴν τῆς ἀναστάσεως εἰς τὰ μείζω καὶ κρείττω διερχόμεθα, εἰς τὸν οἶκον αὐτὸν ἀναβαίνουσαι τὸν ὑπὲρ τοὺς οὐρανούς »τοῦ θεοῦ, ἐν φωνῇ ἀγαλλιάσεως καὶ ἐξομολογήσεως ἤχους ἑορτάζοντος«, καθώς φησιν ὁ ψαλμῳδός.

Τούτῳ κἀγώ, ὦ Ἀρετή, κατὰ τὴν ἐμαυτῆς, δέσποινα, δύναμιν δωροῦμαί σε τῷ πέπλῳ.

ΕΥΒΟΥΛ. Λίαν | ἀγωνιῶ, ὦ Γρηγόριον, κατ᾽ ἐμαυτὴν ἐννοουμένη 256 ἐν ὁποίῳ θορύβῳ νῦν ἄρα ἡ Δομνίνα ἦν, ταρασσομένης αὐτῇ τῆς καρδίας καὶ φοβουμένης μὴ ἀπορήσῃ λόγων καὶ ἐνδεέστερόν τι τῶν

5 Hebr. 12, 22. Apok. Joh. 21, 2 — **14** Barn. 15, 7 — Symp. S. 114, 18 — **16** Hebr. 4, 14 — **25** Psal. 41, 5 — **31** Symp. S. 113, 2. 121, 6. Plato Symp. 193 E

4 *ἀπαιρούμενοι* Cb **5** von *ἐστ᾽* an w. e. sch. v. neuer Hand B 149 ff **9** *πάλιν* P 220ᵛ **14** *χιλιονταεταιρίδα* hier u. Z. 20 P (nicht B) **19** *μου* nach *ἀπομ.* + P (nicht B) **22** *ὦ* Kl: *αἱ* P **22 f** *συμπερανθῆναι* B **25** *ἤχου* B **27** *Τούτῳ*] P 221 | *ἐμαυτὴν* B **29** *ον* in *Γρηγ.* auf Rasur in P | *ἐμαυτὸν* Jh | *ἐννοουμένα* P, *α*(?) auf Rasur: *ἐννοούμενος* Jh **30** *ἆρα* P | *αὐτῇ* Po Cb Jh: *αὐτῆς* P **31** Pl *ἐφοβούμην μὴ ἀπορήσωσι λόγων*

ἄλλων παρθένων ἀποφθέγξηται, τοσούτων ἤδη ῥηθέντων εἰς τὸ προκείμενον καὶ ποικίλων. εἰ οὖν εὔδηλος ἐγένετο κεκινημένη, φέρε καὶ τοῦτο περαίωσον· θαυμάζω γὰρ εἴ τι ἔσχεν εἰπεῖν τελευταία κεκληρωμένη.

ΓΡΗΓΟΡ. Τεταράχθαι μὲν αὐτήν, ὦ Εὐβούλιον, καὶ σφόδρα, ἔφη μοι ἡ Θεοπάτρα, οὐ μὴν ἠπορηκέναι λόγων. μετὰ ⟨δὲ⟩ τὸ παύσασθαι τὴν Τυσιανὴν ἡ Ἀρετὴ τὸν ὀφθαλμὸν εἰς αὐτὴν ἐπιβαλοῦσα, Δεῦρο δὴ καὶ σὺ θύγατερ, ἔφη, τὸν λόγον ἀπόδος, ἵνα | πληρώσωμεν ἐντελῆ 257
τὴν εὐωχίαν.

Λόγος ι'.

Δομνίνα.

I. Τὴν οὖν Δομνίναν ἐρυθριάσασαν ἐπιπολὺ μόλις ἀναπνεῦσαι καὶ εἰς εὐχὴν ἐξαναστᾶσαν τραπῆναι καὶ καλεῖν τὴν σοφίαν παραστῆναί οἱ βοηθόν. εὐξαμένη δὲ αὐτῇ θάρσος, φησίν, εὐθέως ἐγγίγνεται, καί τις αὐτὴν θεία ἀνακωχὴ κατέλαβε, καὶ ἔφη, Ὦ Ἀρετή, κἀγὼ παραλείψασα τὰς μακρολογίας τῶν προεξηγημάτων εἰς αὐτὰ τὰ προκείμενα κατὰ δύναμιν εἰπεῖν πειράσομαι, ἵνα δὴ μὴ τῷ μηκύνεσθαι τὰ πάρεργα πλείονα χρόνον ὧν ἕνεκα λέγονται παράσχω· ἡγοῦμαι γὰρ μέγιστον μέρος φρονήσεως εἶναι τὸ μὴ μακροὺς ἐκ πε|-
ριόδων πρὸ τῶν ἐπερωτηθέντων ποιεῖσθαι τοὺς λόγους κηλοῦντας 258
τὰ ὦτα, ἀλλ' αὐτόθεν εὐθέως περὶ ὅτου τὸ ἐπερώτημά ἐστιν ἄρχεσθαι. διὸ ἐνθένδε κἀγὼ κατάρξομαι· καιρὸς γάρ.

Οὐδὲν οὕτως ὀνῆσαι δυνήσεται πρὸς τὸ καλὸν τὸν ἄνθρωπον, ὦ καλλιπάρθενοι, ὡς ἁγνεία· τὸ γὰρ κάλλιστα καὶ ἄριστα διακυβερνηθῆναι τὴν ψυχὴν καὶ κηλίδων καὶ μιασμάτων καθαρὰν ἀπολου-

8 vgl. z. B. Plato Symp. 194 D — **15** vgl. Plato Phaedr. 245 A. Ion 536 C — **17** Symp. S. 110, 16f — **23** Plato Pol. X, 600 D — **24** Plato Pol. IX, 573 D

19—21 SS Parall. S. 207 Holl

3 *περαίωσαι* P, *περαίωσε* B **5** *Εὐβ.* auf Rasur in P, *Εὐβούλιε* Jh **6** *δὲ* + Kl **10f** *Δομνίνα. Λόγος ι̅τος* nach *ἔφη* Z. 15 in P **12** *ἀνανεῦσαι* P, aber vgl. S. 19, 6 u. De res. I, 27, 1 **14f** *ἐγγίγνεται* P: *ἐγγίνεσθαι* B Jh **15** *ἀνακωχὴ* über d. Lin. P: *κατοκωχὴ* Cb Jh, vgl. Pl Ion. *θείᾳ . . κατοκωχῇ* **16** *τῶν* P 221ᵛ | *προεξηγησαμένων*? Kl **19** *μέγ. μέρος ἡγοῦμαι* C (H = Hieros. s. Sep. 15), ohne Lemma **20** *ἐρωτηθέντων* Cb Jh | *ποιεῖσθαι*] *ἀποτείνεσθαι* viell. richtig C | *τοὺς* < C | *κηλοῦντες* C **21f** *ἄρχ.*] es endet C **22** *κατάρξομαι* < B **23** Pl *πρὸς ἀρετὴν ὀνῆσαι* (od. *ὀνεῖναι*) *ἀνθρώπους* **24f** Pl *διακυβερνᾷ τὰ τῆς ψυχῆς* **25f** *ἀπολουθῆναι* Bo: *ἀπολυθῆναι* P Jh

θῆναι τοῦ κόσμου. μόνη ποιεῖ τοῦτο καὶ ἐργάζεται ἁγνεία. ἀφ᾽ οὗ γὰρ ὁ Χριστὸς ἐδίδασκεν αὐτὴν ἀσκεῖν ἡμᾶς καὶ ἐμήνυσεν ἡμῖν τὸ ἀνυπέρβλητον κάλλος αὐτῆς, ἡ βασιλεία τοῦ πονηροῦ καθηρέθη, πρότερον ἀεὶ πάντας αἰχμα|λωτίζοντος καὶ δουλουμένου, ὡς μὴ τῶν 259 παλαιοτέρων εὐάρεστον γεγονέναι κυρίῳ τινά, ἀλλὰ πάντας ἐπικρατηθῆναι πταίσμασιν, οὐ σφόδρα τοῦ νόμου τῆς φθορᾶς ἀρκέσαντος ἐλευθερῶσαι τὴν ἀνθρωπότητα, μέχρις ἡ παρθενία διαδεξαμένη τὸν νόμον Χριστοῦ ταγαῖς τῶν ἀνθρώπων ἐβασίλευσεν. οὐ γὰρ ἂν οὕτως οἱ πρόσθεν εἰς μάχας καὶ φόνους καὶ ἔρωτας καὶ εἰδωλολατρείας συνελαύνοντο πολλάκις, εἰ ἦν αὐτοῖς ἡ ἐκ τῶν νόμων αὐτάρκης πρὸς σωτηρίαν δικαιοσύνη. νυνὶ δὲ τότε μὲν μεγάλαις καὶ πολλαῖς πολλάκις ἐνεφύροντο συμφοραῖς· ἀφ᾽ οὗ δὲ Χριστὸς ἐνηνθρώπησε καὶ παρθενίᾳ τὴν σάρκα κοσμήσας ὥπλισεν, ὁ ὠμοτύραννος ἄρχων τῆς ἀκρα|σίας ᾑρέθη καὶ εἰρήνη καὶ πίστις κρατεῖ, οὐκέτι τῶν ἀνθρώπων 260 ὡσαύτως τρεπομένων εἰς εἰδωλολατρείαν ὥσπερ καὶ πάλαι.

II. Ἀλλ᾽ ἵνα μὴ δόξω τισὶ σοφίζεσθαι καὶ ἀπὸ τῶν εἰκότων τεκμαίρεσθαι ταῦτα καὶ φληναφᾶν, ἐκ τῆς παλαιᾶς ὑμῖν, ὦ παρθένοι, κἀγὼ παρέξομαι διαθήκης ἔγγραφον προφητείαν, ὡς ἀληθῆ λέγω, τοὺς Κριτάς, ἔνθα φανερῶς ἡ βασιλεία τῆς ἁγνείας ἤδη προκατήγγελτο. φησὶ γάρ »πορευόμενα ἐπορεύθησαν τὰ ξύλα τοῦ χρῖσαι ἐφ᾽ ἑαυτῶν βασιλέα, καὶ εἶπαν τῇ ἐλαίᾳ· βασίλευσον ἐφ᾽ ἡμᾶς. καὶ εἶπεν αὐτοῖς ἡ ἐλαία· ἀφεῖσα τὴν πιότητά μου, ἣν ἐδόξασεν ὁ θεὸς καὶ οἱ ἄνθρωποι, πορευθῶ ἄρχειν τῶν ξύ|λων; καὶ εἶπαν τὰ ξύλα πάντα 261 τῇ συκῇ· δεῦρο βασίλευσον ἐφ᾽ ἡμᾶς. καὶ εἶπεν αὐτοῖς ἡ συκῆ· ἀφεῖσα τὴν γλυκύτητά μου καὶ τὸ γέννημά μου τὸ ἀγαθὸν πορευθῶ ἄρχειν τῶν ξύλων; καὶ εἶπαν τὰ ξύλα τῇ ἀμπέλῳ· βασίλευσον ἐφ᾽ ἡμᾶς. καὶ εἶπεν αὐτοῖς ἡ ἄμπελος· ἀφεῖσα τὸν οἶνόν μου, τὴν εὐφροσύνην τῶν ἀνθρώπων, πορευθῶ ἄρχειν τῶν ξύλων; καὶ εἶπαν τὰ

3 vgl. Ignat. Ad Ephes. 19 — **10** vgl. Gal. 3, 21 — **13** vgl. Symp. S. 136, 10 — **16** Symp. 1, 3 S. 11, 1ff — **20** Richt. 9, 8—15

20—S. 126, 19 Phot. Bibl. 237 S. 312a, 12—313a, 10

7 *διαδεξομένη* B **8** *οὕτως* P 222 **9** *εἰδωλολατρίας* P **10** *συνηλαύνοντο* P (nicht B) **12** *ἐνανθρώπισε* P (nicht B) **15** *εἰδωλολατρίαν* P **19f** *προκατηγγέλλετο* P **20** *φησὶ γάρ*] Ph *ὅτι ἀναγωγικῶς* (*ἀναλόγως* Ph[a]) *ἐκδέχεται τὸ εἰς τοὺς Κριτὰς εἰρημένον* etc. | *ἐπορεύοντο* Ph **21** *ἑαυτῶν* auch Ph | *εἶπον* stets d. Ausgg. | *ἐφ᾽ ἡμῶν* Ph **23** *πάντα* < Ph[b] **24** *σὺ βασίλ.* Ph | *ἐφ᾽ ἡμῶν* Ph **25** *γένημα* Ph **26** *τῇ* P 222[v] | *βασίλευσον — Λιβάνου* S. 123, 4] *κ. ἕως οὗ* (*κ. ἕ. οὗ* < Ph[a]) *εἶπαν τῇ ῥάμνῳ* (*τὴν ῥάμνον* Ph[a]) *καὶ ἑξῆς . φησὶν γάρ* Ph

ξύλα πρὸς τὴν ῥάμνον· δεῦρο βασίλευσον ἐφ᾽ ἡμᾶς. καὶ εἶπεν ἡ
ῥάμνος πρὸς τὰ ξύλα· εἰ ἐν ἀληθείᾳ χρίετέ με ὑμεῖς εἰς βασιλέα ἐφ᾽
ὑμᾶς, δεῦτε πεποίθατε ἐν τῇ σκέπῃ μου· εἰ μή, ἐξέλθῃ πῦρ ἐκ τῆς
ῥάμνου καὶ καταφάγῃ τὰς κέδρους τοῦ Λιβάνου.« ταῦτα δὲ ὅτι μὴ
περὶ ξύλων τῶν ἐκ γῆς φυομένων ἐλέχθη, σαφές· οὐ γὰρ ἂν ἑαυτοῖς 262
τὰ δένδρα τὰ ἄψυχα χειροτονήσοντα βασιλέα συνήρχοντο, ταῖς ῥίζαις
εἰς τὴν γῆν κατεστηλωμένα. ἀλλὰ πάντως περὶ ψυχῶν ἱστορεῖται
ταῦτα, αἵ, πρὸ τῆς ἐνανθρωπήσεως τοῦ Χριστοῦ καθυλομανήσασαι
τοῖς παραπτώμασιν, προσίασιν, οἶκτον αὐτῶν ἀξιοῦσαι λαβεῖν τὸν
θεὸν καὶ βασιλεῦσαι τὸν ἔλεον ἐπ᾽ αὐτὰς ἤδη καὶ τὴν εὐσπλαγχνίαν,
ἣν ἐλαίας τύπῳ παρέλαβεν ἡ γραφὴ διὰ τὸ ἀρωγὸν τὸ ἔλαιον σω-
μάτων εἶναι καὶ λυτήριον καμάτων καὶ πόνων, φωτός τε παρεκτικόν.
ἐλαίῳ γὰρ καταρδόμενον πᾶν τὸ λυχνιαῖον αὔξεται σέλας· λυτήριοι
δὲ καὶ οἱ τοῦ θεοῦ πάντως οἰκτιρμοὶ θανάτου καὶ ἁμαρτημάτων καὶ
ἀρωγοὶ τῆς ἀνθρωπότητος καὶ τοῦ τῆς καρδίας φωτὸς θρεπτικοί. 263
καὶ ἐπισκέψασθε μήποτε τὰς ἀπὸ τοῦ πρωτοπλάστου μέχρι τοῦ
Χριστοῦ καθεξῆς ἡ γραφὴ νομοθεσίας δηλοῖ, ὧν ὁ διάβολος ἀντιμί-
μοις ἐξηπάτησε πλάσμασι τὸ τῶν ἀνθρώπων γένος· τὴν μὲν οὖν
συκῆν ἀπεικάζουσα τῇ κατὰ τὸν παράδεισον δοθείσῃ τῷ ἀνθρώπῳ
ἐντολῇ, ἐπειδὴ τὴν γύμνωσιν ἀπατηθεὶς οὗτος πετάλοις ἐπεκάλυψε
συκῆς, τὴν δὲ ἄμπελον τῇ ἐπὶ τοῦ κατακλυσμοῦ τῷ Νῶε διὰ τὸ οἴνῳ
κοιμηθέντα χλευασθῆναι, τὴν δὲ ἐλαίαν τῇ κατὰ τὴν ἔρημον τῷ
Μωσεῖ, ἐπειδὴ τὸ χάρισμα τὸ προφητικόν, τὸ ἔλαιον τὸ ἅγιον, ἀνο-
μησάντων αὐτῶν ἐκλελοίπει τῆς κληρονομίας, τὴν δὲ ῥάμνον τῇ ἐπὶ
τῇ σωτηρίᾳ τοῦ κόσμου τοῖς ἀποστόλοις, ἐπειδή|περ δι᾽ αὐτῶν ἐδι- 264
δάχθημεν ἁγνείαν, ἧς ἀπατηλὸν μόνης εἴδωλον οὐκ ἴσχυσεν ὁ διάβολος

6 vgl. De res. II, 9, 4. 5 — **11** Plato Prot. 334 B — **16** Symp. 1, 2. 3. 7, 4. 5. Iren. Adv. haer. III, 11, 8. IV, 15. 16. Tert. De virg. vel. 1 — **17** vgl. Hipp. De antichr. 6 — **20** Gen. 3, 7 — **21** Gen. 9, 21. 22 — **22** Num. 14, 23. 20, 12

5 *τῶν ἐκ γ. φυομ.* < Ph | *σαφές ἐστιν* Ph | *οὐ γὰρ — κατεστηλωμένα* Z. 7 < Ph | *ἂν*] *ἐν* Cb Jh **7** *πάντως* < Ph **9** *προσιᾶσιν* P **10** *ἐπ᾽ αὐτὰς ἤδη* + Ph | *τὴν* < B **11** *διὰ τὸ — θρεπτικοί* Z. 15 < Ph **13** *λυγχνϊαῖον* B **14** *πάντως* Al Jh: *πάντες* P **15** *θρεπτικοί* P 223 **16** *ἀπὸ*] *ἐπὶ* Ph **18** *ἐξηπ.* Ph Jh: *ἐξήτασε* P, aber vgl. *ἀπατηθεὶς* Z. 20 und *ἀπατηλὸν* Z. 26 | *τῶν* < Ph | *οὖν* + Ph **21** *τοῦ Νῶε* P | *οἴνῳ* < P **22** *χλευασθέντα κοιμηθῆναι* Ph **23** *μωυσεῖ* B, *μωυσῇ* Phb **24 f** *ἐπὶ τῆς σωτηρίας* Pha **25** *τῇ* vor *σωτ.* < B Jh | *ἐπειδήπερ* Ph: *ἐπειδὴ γὰρ* P **26** *ὁ διαβ. οὐκ ἴσχυσε* Ph

σκευάσαι. καὶ διὰ τοῦτο καὶ εὐαγγέλια τέσσαρα παραδέδοται, τετράκις εὐαγγελισαμένου τοῦ θεοῦ τὴν ἀνθρωπότητα καὶ παιδαγωγήσαντος τέσσαρσι νόμοις, ὧν οἱ καιροὶ σαφῶς ἀπὸ τῆς διαφορότητος δηλοῦνται [διὰ] τῶν καρπῶν. ἡ μὲν γὰρ συκῆ διὰ τὴν γλυκασίαν καὶ τὸν ὡραϊσμὸν τὴν τρυφὴν τὴν πρὸ τῆς παραβάσεως ἐν παραδείσῳ τοῦ ἀνθρώπου παρίστησι γεγενημένην· ἔστι γὰρ ὅτε δὴ καὶ σφόδρα πολλαχῶς τῆς συκῆς τὸν καρπὸν τὸ πνεῦμα τὸ ἅγιον ἐπὶ τοῦ κρείττονος λαμβάνει, καθὼς ἀποδείξομεν ὕστερον. ἡ δὲ ἄμπελος, διὰ τὴν ἱλαρότητα τὴν ἐκ τοῦ οἴνου καὶ τὴν εὐφροσύνην τῶν περισωθέντων τῆς ὀργῆς καὶ τοῦ κατακλυσμοῦ, τὴν ἀπὸ τοῦ φόβου καὶ
τῆς | φροντίδος [τὴν] εἰς τὴν χαρὰν αὐτῶν μεταβολὴν αἰνίσσεται. ἡ 265
δὲ ἐλαία διὰ τὸν καρπὸν τοῦ ἐλαίου τὴν εὐσπλαγχνίαν τοῦ θεοῦ μηνύει, πάλιν ἀνεξικακήσαντος τοῦ θεοῦ μετὰ τὸν κατακλυσμόν, τῶν ἀνθρώπων ἐκτραπέντων εἰς ἀθεότητα, δοῦναι νόμον καὶ ἐμφανισθῆναί τισιν καὶ ὥσπερ ἀποσβεννυμένην ἤδη τὴν αὐγὴν τῆς ἀρετῆς ἐλαίῳ λιπᾶναι.

III. Ἡ δὲ ῥάμνος τὴν ἁγνείαν συνίστησι· τὸ γὰρ αὐτὸ δένδρον ῥάμνος καὶ ἄγνος ἐστίν, ὑφ' ὧν μὲν ῥάμνος καλούμενον, ὑφ' ὧν δὲ ἄγνος. καὶ τάχα διὰ τὸ συγγενὲς τὸ φυτὸν τοῦτο τῇ παρθενίᾳ πεφυκέναι, ταύτῃ ῥάμνος καὶ ἄγνος προσηγορεύθη, ῥάμνος μὲν παρὰ τὸ στερέμνιον καὶ καρτερὸν πρὸς τὰς ἡδονάς, ἄγνος δὲ παρὰ τὸ διὰ
παντὸς ἁγνεύειν. ὅθεν καὶ τὸν Ἠλί|αν, ἐκ προσώπου τῆς Ἰεζάβελ 266
γυναικὸς φεύγοντα, λόγος ὑπὸ ῥάμνον ἐλθεῖν πρῶτον, καὶ εἰσακουσθέντα ἐνισχῦσαι καὶ λαβεῖν τροφήν, ὅτι τῶν φευγόντων τὸν οἶστρον καὶ τὴν γυναῖκα τὴν ἡδονὴν τὸ καταγώγιον καὶ ἡ σκέπη τὸ τῆς ἁγνείας ἐβλάστησε ξύλον, ἀπὸ τῆς παρουσίας τοῦ ἀρχιπαρθένου Χρι-

8 vgl. c. 5 — 9 Psal. 103, 15 — vgl. Röm. 5, 9. I Thess. 1, 10 — 22 I Kön. 19, 4

1 καὶ vor διὰ + Ph 1f τέτρασιν Ph a, τοῖς τέτρασι Ph b 4 διὰ + P 5 τὸν ὡραϊσμὸν < Ph 5f ἐν παραδ. < Ph 6f δὴ κ. σφ. πολλ. < Ph 7 τὸν κ. — ἅγιον] ὁ καρπὸς τῇ γραφῇ Ph | ἅγιον P 223v 7f ἐ. τὸ κρεῖττον ἐκλαμβάνεται Ph 8 καθ. ἀποδ. ὕστ. < Ph 9 τὴν ἐκ Ph: < P 11 τὴν vor εἰς < JhBekker 12 ἐλέου Ph a | τοῦ θεοῦ B Ph: αὐτοῦ P 13 τοῦ θεοῦ + Ph 15 καὶ ὥσπερ — λιπᾶναι Z. 16 < Ph 18 ὑφ' ὧν — ἄγνος Z. 19 < Ph 19 τὸ vor φυτὸν < P 20 πεφυκέναι < Ph 23f εἰσακ. ἐν.] εἰσακουσθῆναι Ph 24 ὅτι P 224 | ὅτι τὸν φεύγοντα οἶστρον P 25 τὴν ἡδονὴν P: καὶ τὴν ἡδ. Ph

στοῦ βασιλεῦσαν τῶν ἀνθρώπων. τῶν γὰρ πρώτων ἀδυνατησάντων σῶσαι νομοθετημάτων τὸν ἄνθρωπον, τῶν ἐπὶ τοῦ Ἀδὰμ καὶ τοῦ Νῶε καὶ τῶν ἐπὶ τοῦ Μωσέως, ἡ κατὰ τὸ εὐαγγέλιον ἔσωσε μόνη νομοθεσία πάντας. — ἡ γὰρ συκῇ ταύτῃ λέγεται μὴ βασιλεῦσαι — τῶν ξύλων τῶν ἀνθρώπων νοουμένων, συκῆς δὲ τῆς ἐντολῆς —, ἀνθ' ὧν ὁ ἄνθρωπος μετὰ τὸ πεσεῖν ἤθελε πάλιν ὑπὸ τῆς ἀρετῆς
βασιλεύεσθαι καὶ τῆς ἀφθαρσίας τοῦ πα|ραδείσου τῆς τρυφῆς μὴ 267
ἀποβληθῆναι, ἀλλ' ἀπεκρούσθη παραβὰς καὶ ἀπεβλήθη μακράν, ὡς μὴ δυνάμενος ὑπὸ τῆς ἀφθαρσίας ἔτι μηδὲ χωρῶν βασιλεύεσθαι. καὶ πρῶτον αὐτῷ τὸ κήρυγμα μετὰ τὴν παράβασιν πέμπεται τὸ διὰ Νῶε, ἵν' ἐὰν πρόσσχῃ κἂν τούτῳ σωθῆναι τῆς ἁμαρτίας ἰσχύσῃ, ἀνάπαυσιν ἐπαγγελλόμενον τὴν ἀπὸ τῶν κακῶν καὶ εὐφροσύνην, εἰ ἀσκήσαιεν αὐτὸ κατὰ κράτος, ὥσπερ καὶ τὸν οἶνον ἡ ἄμπελος ἐπαγγέλλεται γεννᾶν τοῖς ἀσκοῦσιν αὐτὴν καὶ ἐργαζομένοις. ἀλλὰ καὶ τοῦτο οὐκ ἐβασίλευσε τὸ νομοθέτημα τῆς ἀνθρωπότητος, ὅτι μὴ ἐπείσθησαν αὐτῷ κηρυσσομένῳ σπουδαίως πρὸς τοῦ Νῶε. ἀλλὰ καὶ μετὰ τὸ συνέχεσθαι ἤδη καὶ πνίγεσθαι τοῖς ὕδασιν ἤρξαντο μετανοεῖν καὶ
ἐπαγγέλλεσθαι πα|ρέχειν ἑαυτοὺς πεισθησομένους ταῖς ἐντολαῖς. ὅθεν 268
καὶ ὑπερηφανοῦνται βασιλεύεσθαι, τουτέστιν ὑπὸ τοῦ κηρύγματος ὑπερηφανοῦνται βοηθεῖσθαι τῆς ἐντολῆς, ἀνταποκρινομένου τοῦ πνεύματος αὐτοῖς καὶ ὀνειδίζοντος, οἵπερ κατέλειψαν οἷς ἐκέλευσεν ὁ θεὸς ἀνθρώποις, ὦ ἀτεράμονες, βοηθεῖν μὲν καὶ σῴζειν τούτους καὶ εὐφραί-

8 Gen. 3, 24 — **10** Gen. 9, 1ff — **13** Psal. 103, 15

1 *τῶν γὰρ — ἐντολαῖς* S. 126, 11 Ph nur dem Sinn nach *ταύτην γὰρ μόνην τὴν τῆς ἁγνείας βασιλείαν ἀπὸ τῆς τοῦ Χριστοῦ παρουσίας ἀμεταμελητὶ προσήκαντο οἱ ἄνθρωποι, ἑκάστης* (A 324ᵛ) *τῶν προδεδομένων αὐτοῖς ἐντολῶν πρὸ τῆς Χριστοῦ παρουσίας κατὰ τάχος βασιλείας ἑαυτοὺς ἀφηνιάζοντες, καὶ τῇ ἀντιμίμῳ μᾶλλον πειθαρχεῖν καὶ ὑπ' αὐτῆς βασιλεύεσθαι προαιρούμενοι, εἰ καὶ μεταμελόμενοι* (*μεταμελώμενοι* Ph b) *πολλάκις ἐπεζήτουν πάλιν τὴν πρὸς θεοῦ δεδομένην αὐτοῖς βασιλικωτάτην ἐντολὴν καὶ ἀνακαινισμὸν τῶν διαφθαρέντων αὐτῶν ἐκ κακίας ψυχικῶν κατορθωμάτων. παραδιδόμενοι γὰρ εἰς χεῖρας ἐχθρῶν καὶ πάθη ἀτιμίας, ἐπεζήτουν βασιλεύεσθαι τῇ ἐντολῇ καὶ τοῖς προστάγμασι τοῦ θεοῦ, ἵνα γένηται αὐτοῖς λύσις τῶν πολυπλόκων συμφορῶν καὶ ἀπαλλαγὴ τῶν κακῶν. αἱ δὲ διὰ τὸ προσόζειν αὐτῶν καὶ ἀνιάτως ἔχειν τοὺς τῆς ψυχῆς μώλωπας οὐκ ἐβούλοντο βασιλεύειν αὐτῶν* | *πρῶτον* B | *ἀδυνατ.* Jh: *ἀθετησάντων* P **3** *μωυσέως* B **5** *τῶν ξύλων* verbindet B mit dem Vorhergehenden **10** *πρώτω* P **14** *καὶ τοῦτο* P 224ᵛ **21** *οἵπερ* Jh: *ὥσπερ* P | *κατελείψατε* vermutet Kl **22** *ὦ ἀτερ.* vor *ἔλθω* S. 126, 1 Jh; wohl vor *βοηθῆσαι* S. 126, 1 Bo

νειν, οἷον τὸν Νῶε καὶ τοὺς σὺν αὐτῷ· ἔλθω βοηθῆσαι τοῖς φρονήσεως ὑμῖν ἀκάρποις καὶ ξύλων ξηρῶν οὐδὲν ἀπεοικόσι, πρότερον μὴ πιστεύσασί μοι κηρύσσοντι φύξιν τῶν παρόντων;

IV. Καὶ δὴ καὶ τούτων οὕτως ἀπαξιωθέντων τῆς θείας κηδεμονίας καὶ πάλιν τῆς ἀνθρωπότητος εἰς πλάνην κεχυμένης αὖθις ὁ θεὸς ἀπέστειλε βασιλεύσοντα νόμον καὶ ὑπομνήσοντα δικαιοσύνην ἐπὶ Μωσέως. οἱ δὲ μα|κρὰν καὶ τούτῳ χαίρειν φράσαντες εἰς εἰδωλο- 269
λατρείαν μετέστησαν. ὅθεν ὁ θεὸς εἰς ἀλληλοφονίας καὶ δρασμοὺς καὶ αἰχμαλωσίας παρέδωκε καὶ τούτους, ἀποδοξήσαντος αὐτοὺς σῴζειν τοῦ νόμου, οἳ μετὰ τὸ συνελαθῆναι τοῖς κακοῖς ποτνιώμενοι πάλιν ἐπηγγέλλοντο πειθαρχεῖν ταῖς ἐντολαῖς, μέχρις ὁ θεὸς τέταρτον κατελεήσας τὸν ἄνθρωπον τὴν ἁγνείαν ἀπέστειλε βασιλεῦσαι, ἣν ῥάμνον ἀκολούθως ἐκάλεσεν ἡ γραφή· ἥτις καταναλώσασα τὰς ἡδονὰς καὶ ἀπειλήσασα λοιπόν, εἰ μὴ αὐτῇ πείθοιντο πάντες ἀνενδοιάστως καὶ ἐν ἀληθείᾳ προσέρχοιντο, πυρὶ καταδαπανῆσαι πάντας· οὐκέτι γὰρ μετὰ ταύτην ἔσεσθαι νόμον ἢ διδασκαλίαν ἑτέραν, ἀλλὰ κρίσιν καὶ πῦρ. καὶ διὰ | τοῦτο λοιπὸν ἀπεντεῦθεν δικαιοπραγεῖν ὁ 270
ἄνθρωπος ἤρξατο καὶ πιστεύειν βεβαίως τῷ θεῷ καὶ ἀποσχίζεσθαι τοῦ διαβόλου. οὕτως ὠφελιμώτατον καὶ ἀρωγὸν κατεπέμφθη τοῖς ἀνθρώποις ἁγνεία· μόνης γὰρ αὐτῆς ἀντίμιμον οὐκ ἴσχυσεν ἐργάσασθαι πρὸς ἀπάτην ὁ διάβολος, ὥσπερ καὶ τῶν ἄλλων νομοθετημάτων.

V. Τῆς γὰρ συκῆς, ὡς ἔφην, διὰ τὴν γλυκασίαν τοῦ καρποῦ καὶ τὸν ὡραϊσμὸν ἐν τύπῳ τῆς ἐν παραδείσῳ τρυφῆς παραληφθείσης, τοῖς ἀντιμίμοις αὐτῆς ἀποβουκολήσας τὸν ἄνθρωπον ὁ διάβολος ἤγρευσε, τὴν γύμνωσιν καλύψαι πείσας τοῦ σώματος πετάλοις συκῆς, ὅ ἐστι διὰ τὸ κνησμῶδες τρυφῇ φιληδόνῳ. τοὺς δὲ περισωθέντας αὖθις ἐκ τοῦ κατακλυσμοῦ | διὰ τὴν τῆς πνευματικῆς εὐφροσύνης 271
ἄμπελον ἀντιμίμῳ πόματι μεθύσας κατεχλεύασε πάλιν, ἀπογυμνώσας τὸν ἄνθρωπον ἀρετῆς. ἔσται δὲ σαφέστερον μᾶλλον ἐντεῦθεν ὃ λέγω. ἡ ἀντικειμένη δύναμις ἀεὶ μιμεῖται τῆς ἀρετῆς καὶ τῆς δι-

4 vgl. Plato Pol. V, 463 D — **25** Gen. 3, 7 — **28** Gen. 9, 21. 22 — **30** Tertull. De spect. 2. De bapt. 5. De ieiun. 16. De exhort. cast. 13

11—19 Phot. Bibl. 237 S. 313a, 1—10

3 *πιστεῦσαί* P **7 f** *εἰδωλολατρίαν* P **10** *οἱ* P 225 | *συνελασθῆναι* P (nicht B) **14** *πείθονται* Ph: < B Jh | *ἀνενδυάστως* P, e. Strich unter *υ* B: < Ph **16** nach *ἀλλὰ* + *καὶ* Ph **19** *διαβόλου*] es endet Ph **20** *αὐτῆς*: *ταύτης*? Kl **26** *τοὺς δὲ* P 225^{v}

καιοσύνης τὰ σχήματα, οὐ πρὸς ἄσκησιν κατὰ ἀλήθειαν, ἀλλὰ πρὸς ἀπάτην καὶ ὑπόκρισιν. ἵνα γὰρ δελεάσῃ πρὸς θάνατον τοὺς φεύγοντας τὸν θάνατον, ἀθανασίας ἔξωθεν καλλωπίζεται σχηματισμοῖς, καὶ ταύτῃ συκῆ βούλεται νομίζεσθαι καὶ ἄμπελος, καὶ γλυκύτητα καὶ εὐφροσύνην γεννᾶν, »εἰς ἄγγελον« μετασχηματιζομένη »φωτὸς« καὶ προσχήματι θεοσεβείας δελεάζουσα πολλούς. δύο γὰρ εἶναι διαφορὰς συκέων καὶ ἀμπέλων εὑρίσκομεν ἐν ταῖς γραφαῖς, σῦκα τὰ χρηστά, 272 »χρηστὰ λίαν, καὶ σῦκα τὰ πικρά, πικρὰ λίαν«, »οἶνον εὐφραίνοντα καρδίαν ἀνθρώπων«, καὶ »οἶνον θυμὸν δρακόντων καὶ θυμὸν ἀσπίδων ἀνίατον«. ἀλλ' ἀφ' οὗ λοιπὸν ἐβασίλευσεν ⟨ἡ⟩ ἁγνεία τῶν ἀνθρώπων, ἠλέγχθη ἡ πλάνη καὶ νενίκηται, τοῦ ἀρχιπαρθένου Χριστοῦ καταστρέψαντος αὐτήν, καὶ [ἡ ἀληθινὴ δὲ ἐλαία καὶ] ἡ ἀληθινὴ συκῆ καὶ ἡ ἀληθινὴ ἄμπελος καρποφοροῦσι μετὰ τὸ κρατῆσαι πάντων ἁγνείαν, καθάπερ καὶ Ἰωὴλ ὁ προφήτης εὐαγγελίζεται, »θάρσει, γῆ«, λέγων »καὶ χαῖρε καὶ εὐφραίνου, ὅτι ἐμεγάλυνε κύριος τοῦ ποιῆσαι. θαρσεῖτε, κτήνη τοῦ πεδίου, ὅτι βεβλάστηκε τὰ πεδία τῆς ἐρήμου, ὅτι ξύλον ἤνεγκε τὸν καρ|πὸν αὐτοῦ· ἄμπελος καὶ συκῆ 273 ἔδωκαν τὴν ἰσχὺν αὐτῶν. καὶ τὰ τέκνα Σιὼν χαίρετε καὶ εὐφραίνεσθε ἐπὶ κυρίῳ θεῷ ὑμῶν, διότι ἔδωκεν ὑμῖν βρῶσιν εἰς δικαιοσύνην«, ἄμπελον καὶ συκῆν δένδρα καρποὺς εἰς δικαιοσύνην βλαστήσαντα τοῖς τέκνοις τῆς νοητῆς Σιὼν τὰς ἔμπροσθεν νομοθεσίας καλῶν, ἃ μετὰ τὴν ἐνανθρώπησιν ἐκαρποφόρησαν τοῦ λόγου, ὁπότε ἐβασίλευσεν ἡμῶν ἡ ἁγνεία, πρόσθεν ἀποκρατήσαντα καὶ ἀπομύσαντα τὰς βλαστὰς διὰ τὴν ἁμαρτίαν καὶ τὴν πολλὴν πλάνην. οὐδὲ γὰρ ἠδύνατο τὴν εἰς ζωὴν ἀναδιδομένην ἡμῖν παρασχεῖν τροφὴν ἡ ἄμπελος ἡ ἀληθινὴ καὶ ἡ συκῆ ἡ ἀληθινή, ἔτι τῆς συκῆς τῆς μὴ ἀληθινῆς καὶ πρὸς ἀπάτην πεποικιλμένης ἀνθούσης. ἀλλ' ὅτε κατεξήρανεν ὁ κύριος | τὰ νόθα καὶ ἀντίμιμα τῶν ἀληθινῶν, ἀποφηνάμενος τῇ 274 πικροφόρῳ συκῇ, τό »μηκέτι γένηται καρπὸς ἐκ σοῦ εἰς τὸν αἰῶνα«, τότε τὰ ὄντως ἀνέθαλε καρποφόρα καὶ ἐβλάστησε »βρῶσιν εἰς δικαιοσύνην«. ἔστι δὲ καὶ ὅτε εἰς αὐτὸν ἀναφέρεται τὸν κύριον ἡ ἄμπελος πολλαχῶς, εἰς δὲ τὸ πνεῦμα τὸ ἅγιον ἡ συκῆ, ὡς τοῦ μὲν

5 II Kor. 11, 14 — **8** Jerem. 24, 3 — Psal. 103, 15 — **9** Deut. 32, 33 — **14** Joel 2, 21—23 — **29** Mt. 21, 19 — **30** vgl. Joh. 6, 27 — **31** Joh. 15, 1

1 *κατὰ*: *καὶ*? Kl **2** *καὶ*: *καθ'*? **3** *ετ* in *καλλωπίζεται* auf Rasur in P **6** *δελεάζουσαν* P **10** *ἡ* + mit Al, vgl. Z. 23 **12** *καὶ ἡ — ἐλαία* < B (auch *ἡ ἀλ. συκῆ* hatte B zuerst ausgelassen) Po Cb Jh **19** *ἡμῶν* B **28** *τῇ* P 226ᵛ

κυρίου τὰς καρδίας ἱλαρύνοντος τῶν ἀνθρώπων, τοῦ δὲ πνεύματος ἰωμένου. καὶ διὰ τοῦτο προστάσσεται πρῶτον Ἐζεκίας παλάθη καταπλασθῆναι σύκων, ὃ δή ἐστι τῷ καρπῷ τοῦ πνεύματος, ἵνα θεραπευθῇ οἱονεὶ κατὰ τὸν ἀπόστολον τῇ ἀγάπῃ. »ὁ« γάρ »καρπός« φησί »τοῦ πνεύματος ἀγάπη, χαρά, εἰρήνη, μακροθυμία, χρηστότης, πίστις, πραότης, ἐγκράτεια«, ὃν διὰ τὴν | πολλὴν γλυκύτητα σῦκα ὁ [275] προφήτης ἐκάλεσε. καὶ ὁ Μιχαίας δέ »καὶ ἀναπαύσεται ἕκαστος« φησίν »ὑπὸ τὴν ἄμπελον αὐτοῦ καὶ ἕκαστος ὑποκάτω τῆς συκῆς αὐτοῦ, καὶ οὐκ ἔσται ὁ ἐκφοβῶν«. δῆλον γὰρ ὅτι οἱ ὑπὸ τὴν τοῦ πνεύματος προσφυγόντες καὶ ἐπαναπαυσάμενοι καὶ τὴν τοῦ λόγου σκέπην οὐ δειλιάσουσιν οὐδὲ πτυρήσονται τὸν ταράσσοντα τὰς καρδίας.

VI. Ὅτι δὲ καὶ ἡ ἐλαία τὴν ἐπὶ Μωσέως αἰνίσσεται νομοθεσίαν ὁ Ζαχαρίας παρίστησιν οὕτω λέγων· »καὶ ἐπέστρεψεν ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοί, καὶ ἐξήγειρέ με ὃν τρόπον ὅταν ἐξεγερθῇ ἄνθρωπος ἐξ ὕπνου αὐτοῦ, καὶ εἶπε πρός με· τί σὺ βλέπεις; καὶ εἶπα· ἑώρακα, καὶ ἰδοὺ λυχνία χρυσῆ ὅλη καὶ τὸ λαμ|πάδιον ἐπάνω αὐτῆς, καὶ δύο [276] ἐλαῖαι, μία ἐκ δεξιῶν τοῦ λαμπαδίου αὐτῆς καὶ μία ἐξ εὐωνύμων«. καὶ μετ᾽ ὀλίγα· »καὶ τίνες εἰσίν« ἐρομένου »αἱ ἐλαῖαι« τοῦ προφήτου »αἱ ἐκ δεξιῶν τῆς λυχνίας καὶ αἱ ἐξ εὐωνύμων« »καὶ οἱ δύο κλάδοι τῶν ἐλαιῶν οἱ ἐν ταῖς χερσὶ τῶν δύο μυξωτήρων;« ἀπεκρίθη καὶ εἶπεν ὁ ἄγγελος »οὗτοι οἱ δύο υἱοὶ τῆς πιότητος, οἳ παρεστήκασι τῷ κυρίῳ πάσης τῆς γῆς«, τὰς δύο λέγων ἀρχεγόνους δυνάμεις εἶναι τὰς δορυφορούσας τὸν θεόν, αἳ ἐν τῷ οἴκῳ περὶ τὸ σχοίνισμα διὰ τῶν κλάδων ἐπιχορηγοῦσαι τὸ πνευματικὸν ἔλαιον τοῦ θεοῦ, ἵνα φῶς ἔχῃ θείας γνώσεως. οἱ γὰρ δύο κλάδοι τῶν δύο ἐλαιῶν ὁ νόμος εἰσὶ καὶ οἱ προφῆται οἱ περὶ τὸ σχοίνισμα τῆς κληρονομίας ἐπικληθέντες, οὓς ἐβλάστησεν ὁ | Χριστὸς καὶ τὸ πνεῦμα τὸ ἅγιον, οὔπω δυναμένων [277] ἡμῶν χωρῆσαι τὸν καρπὸν ὅλον καὶ τὸ μέγεθος τῶν φυτῶν τούτων, πρὶν ἄρξαι τοῦ κόσμου καὶ βασιλεῦσαι τὴν ἁγνείαν· ἀλλὰ τοὺς κλάδους αὐτῶν μόνους τὸν νόμον οἱονεὶ καὶ τὴν προφητείαν πρόσθεν ἐγεωργήσαμεν, καὶ ταῦτα μετρίως, πολλάκις διολισθήσαντες. τίς γὰρ Χριστὸν ἢ τὸ πνεῦμα τέλειον ἴσχυσε χωρῆσαί ποτε, μὴ καθαρεύσας

1 Psal. 103, 15 — **2** II Kön. 20, 7. Jes. 38, 21 — **4** Gal. 5, 22 — **7** Mich. 4, 4 — **14** Sachar. 4, 1—3. 11. 12. 14 — **24** vgl. Plato Pol. IX, 574 D — **27** vgl. Deut. 32, 9

1 ἱλαρύν.ντος B **6** ὃν] ὧν P **7** ἀναπαήσεται P (nicht B) **10** ἀναπαυσάμενοι Po Cb Jh | καὶ] κατὰ B **14** ὁ ἄγγελος P 227 **15** ἐξήγ. Kl: ἐξέγειρε P **19** ἐρωμένου B **20** αἱ vor ἐξ εὐων. < P (nicht B) **25** ἐπιχορηγοῦσι Jh | τῷ θεῷ P **32** ταῦτα P 227^{v}

πρῶτον; ἡ γὰρ πρὸς εὐδοξίαν ἐπιθυμητήν τε καὶ ἐραστὴν ἐκ παίδων ἐργαζομένη τὴν ψυχὴν ἄσκησις, καὶ τὸν κόσμον αὐτῇ τοῦτον μετὰ ῥᾳστώνης ἀβασάνιστον ἐκεῖ διακομίζουσα, καὶ μικρῶν αἱρουμένη πόνων μεγάλας ἐλπίδας, ἐστὶν ἡ ἀθανατοποιὸς τῶν σωμάτων ἡμῶν | ἁγνεία, ἣν δεῖ πάντας ἀσμένως ἀνθρώπους προτιμᾶν καὶ αἰνεῖν, 278 τοὺς μὲν ὅτι δι᾽ αὐτὴν ἐνυμφαγωγήθησαν τῷ λόγῳ παρθενίαν ἀσκήσαντες, τοὺς δὲ ὅτι πρὸς αὐτῆς ἠλευθερώθησαν τῆς »γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ« κατακρίσεως.

Οὗτος, ὦ Ἀρετή, καὶ ὁ παρ᾽ ἐμοῦ σοι, καθ᾽ ὅσον ἐγὼ δύναμαι, λόγος ὑπὲρ ἁγνείας, ὃν ἀξιῶ, κἂν μέτριος ᾖ, δέσποινα, καὶ ὀλίγος, προθυμότατά σε δέξασθαι παρ᾽ ἐμοῦ τελευταίαν εἰπεῖν ᾑρημένην.

Ἀρετῆς λόγος. XI.

Ἀλλὰ δέχομαι, τὴν Ἀρετὴν ἡ Θεοπάτρα ἔφη φάναι, καὶ πάσας ἐπαινῶ· κράτιστα γὰρ δή, κἂν οὕτω μὴ φανερῶς, ἀλλὰ μετὰ σπουδῆς τὰ λεχθέντα δεχομένη διεξελήλυθας, οὐ γλυκυμυθίαν πρὸς τέρψιν τῶν ἀκουόντων συσκευασαμένη, ἀλλὰ πρὸς ἐπανόρθωσιν ὑπόμνημα 279 καὶ νῆψιν. προτάττειν γὰρ τῶν ἐμῶν ἐπιτηδευμάτων ἁγνείαν ὁ λέγων δεῖν καὶ ἀσπάζεσθαι πρώτην τῶν ἄλλων ὀρθῶς παρακελεύεται· ἣν τιμᾶν μὲν νομίζουσι καὶ θεραπεύειν πολλοί, τιμῶσι δ᾽ αὐτὴν ὡς ἔπος εἰπεῖν ὀλίγοι. οὐ γὰρ ὁπόταν τὴν ἑαυτοῦ σάρκα τῆς κατὰ συνουσίαν ἄγευστον ἡδονῆς φιλοτιμῆται τηρεῖν ἄνθρωπος, τῶν ἄλλων μὴ κρατῶν, ἁγνείαν τιμᾷ· ἀτιμάζει μὲν οὖν αὐτὴν μᾶλλον οὐχ ἥκιστα βαναύσοις ἐπιθυμίαις, ἡδονὰς ἀντικαταλλασσόμενος ἡδοναῖς. οὐδέ γε ὁπόταν πρὸς τὰς ἔξω μὲν ἐπιθυμίας δια|πονῇ καρτερῶν, ὑπεραί- 280 ρηται δὲ φυσιούμενος, αὐτῷ δὴ τούτῳ τῷ δύνασθαι τῶν τῆς σαρκὸς ὑπεκκαυμάτων κρατεῖν, καὶ πάντας ὡς οὐδὲν ἐξουδενῶν ἡγῆται, ἁγνείαν τιμᾷ· ἀτιμάζει γὰρ αὐτὴν ὑβρίζων ὑψηλοφροσύνῃ, τῷ τὸ μὲν ἔξωθεν τοῦ

5 Symp. 4, 1. 9, 5 S. 46, 5f. 119, 28f. Plato Symp. 212 B — **7** Gen. 3, 19 — **15** De res. I, 28, 3; vgl. Symp. S. 101, 1f — **18** Plato Legg. V, 727 A C E. 728 A — **20** Symp. 1, 1. 5, 4. 9, 4 — **23** Plato Phaed. 69 A — **27** Mt. 23, 25

9 *ὁ* üb. d. Lin. P **11** *εἰπεῖν*] *λέγειν* B **12** *Ἀρετή. Λόγος ια'* Cb Jh **13** *πᾶσαν* B Jh **15** *πρὸς* P' 228 **18ff** Pl *τὴν αὐτοῦ ψυχὴν . . τιμᾶν δεῖν λέγων δευτέραν ὀρθῶς παρακελεύομαι. τιμᾷ δ᾽ ὡς ἔπος εἰπεῖν ἡμῶν οὐδεὶς ὀρθῶς, . . οὐδ᾽ ὁπόταν . . τότε οὐδαμῶς τιμᾷ, ἀτιμάζει δὲ* **23** Pl *ἡδονὰς πρὸς ἡδονὰς . . καταλλάττεσθαι* **24** *ὅταν* B | *ἔξω μὲν*] *ἔξωθεν* B **26** *ὡς* u. *ἐξουδενῶν* < Jh | *ἡγεῖται* P **27** *τιμᾶν* P

πίνακος καθαίρειν καὶ τῆς παροψίδος, τὴν σάρκα, τὸ σῶμα, τὴν δὲ
καρδίαν τύφῳ σίνεσθαι καὶ φιλοκρατίᾳ. οὐδέ γε ὁπότε ἐναβρύνεταί
τις χρήμασι, τιμᾶν αὐτὴν σπουδάζει· ἀτιμάζει μὲν οὖν παντὸς μᾶλλον
δὲ καὶ οὗτος, προκρίνων αὐτῆς ὀλίγον κέρδος, ἧς οὐδὲν ἀντάξιον τῶν
ἐν τῷ βίῳ τιμίων· »πᾶς« γὰρ πλοῦτος ἐνώπιον αὐτῆς καὶ »χρυσὸς«
ὡς »ψάμμος ὀλίγη«. οὐδέ γε ὁ ἑαυτὸν ὑπερφυῶς ἡγούμενος φιλεῖν |
καὶ τὸ ἑαυτῷ μόνῳ συμφέρον σπουδάζων σκοπεῖν, ἄφροντις δὲ τῶν 281
πλησίων, ἁγνείαν τιμᾷ· ἀτιμάζει μὲν οὖν αὐτὴν καὶ οὗτος· πολὺ γὰρ
λείπεται τῶν κατ' ἀξίαν ὁμιλούντων αὐτῇ, τῷ τὴν ἀγάπην αὐτῆς
καὶ τὸ συμπαθητικὸν καὶ τὸ φιλάνθρωπον λωβήσασθαι. οὐ γὰρ
τῇδε μὲν ἁγνεύοντας παρθενεύειν δεῖ, τῇδε δὲ κακοπραγοῦντας χραί-
νεσθαι καὶ ἀκολασταίνειν, οὐδὲ τῇδε μὲν ἐπαγγέλλεσθαι καθαρεύειν
καὶ σωφρονεῖν, τῇδε δὲ μολύνεσθαι καὶ ἁμαρτάνειν, οὐδ' αὖ τῇ μὲν
ὁμολογεῖν μὴ πεφροντικέναι τῶν κοσμικῶν, τῇ δὲ κτᾶσθαι καὶ ἐν
αὐτοῖς ἐξετάζεσθαι, ἀλλὰ πάντα τὰ μέλη φθορᾶς ἀκοινώνη|τα καὶ 282
ἀμιγῆ τηρεῖν, οὐ μόνον τὰ κνησμώδη καὶ συνουσιαστικά, ἀλλ' ἤδη
καὶ τὰ τούτων ἐνεργέστερα. χλεύη γὰρ τὰ μὲν τῆς παιδοποιήσεως
ὄργανα τηρεῖν παρθένα, τὴν δὲ γλῶτταν μὴ τηρεῖν, ἢ τὴν γλῶσσαν
μὲν τηρεῖν παρθένον, τὴν δὲ ὅρασιν ἢ τὴν ἀκοὴν ἢ τὰς χεῖρας μὴ
τηρεῖν, ἢ ταῦτα μὲν ἔχειν καὶ τηρεῖν παρθένα, τὴν καρδίαν δὲ μὴ
τηρεῖν, ἀλλ' ἑταιρίζεσθαι τύφῳ καὶ θυμῷ. δεῖ γὰρ πάντως τὸν
μέλλοντα μὴ ἁμαρτήσεσθαι περὶ τὴν ἄσκησιν τῆς ἁγνείας τὰ μέλη
πάντα καὶ τὰ αἰσθητήρια τηρεῖν ἑαυτοῦ καθαρὰ καὶ συνεσφιγμένα,
καθάπερ δὴ καὶ πλοίων [ὧν] οἱ κυβερνῆται τὰς ἁρμογὰς σφίγ|γουσι, 283
πρὸς τὸ μὴ σχεῖν ἔσω δίοδον τὴν ἁμαρτίαν ἐπεισχεομένην. τοῖς γὰρ
μεγάλοις ἐξ ἀνάγκης ἐπιτηδεύμασι μεγάλα καὶ τὰ πταίσματα συμβαί-
νει, καὶ τῷ ὄντι τῷ ἀγαθῷ μᾶλλον ἐναντιώτερον τὸ κακὸν ἢ τῷ

2 De lepra 12, 1 — **5** Weish. Sal. 7, 9 — vgl. De lepra 17, 5; vgl. Plato Legg. V, 728 A — **15** Symp. 5, 1 S. 53, 18f — **18** vgl. Jak. 1, 26 — **21** De lepra 6, 1 — **24** vgl. 7, 1 u. S. 139, 4f — **27** Plato Pol. VI, 491 D

17 Maximus, Loci comm. PGr 91 S. 737 C

4 *δὲ καὶ* P: *δὲ* < Jh, *καὶ* < VB | *ἀντάξ.* P 228v **8** *πλησίον* B Jh **17** *τὰ* vor *τούτων* < B | *χλεύη — θυμῷ* Z. 21 bei Maximus. Lemma *Χρυσοστ.* | *γὰρ* < Max | *παιδοποΐας* Max **18** *παρθένια* B, *παρθενίᾳ* Po | *γλῶσσαν*[1] Max **19** *παρθένον* < Max **20** *τὴν δὲ καρδίαν* Max **21** *θυμῷ*] es endet Max | *δεῖ* P 229 **24** *ὢν* tilgt Jh **27 f** Pl *ἀγαθῷ γάρ που κακὸν ἐναντιώτερον ἢ τῷ μὴ ἀγαθῷ*

μὴ ἀγαθῷ. πολλοὶ οὖν δοξάζοντες τὸ περὶ τὰς οἰστρώδεις μᾶλλον καρτερεῖν ἐπιθυμίας εἶναι τὴν ἁγνείαν, τῶν ἄλλων ἀμελήσαντες αὐτῆς ἔπταισαν καὶ τοῖς ὀρθῶς πρὸς αὐτὴν ὡρμημένοις προσῆψαν ψόγους, οὓς ὑμεῖς ἠλέγξατε, νόμος διὰ πάντων, αὐταὶ [γὰρ] παρθενεύσασαι καὶ ἔργῳ καὶ λόγῳ. καὶ τὰ μὲν δὴ τῆς παρθένου, ποταπὴν εἶναι προσῆκε, διεγράφη· ὑμᾶς δὲ διαρκῶς ἀγωνισαμένας τῷ λόγῳ αὐτήκοος γενομένη πάσας ἀποφαίνομαι νικᾶν καὶ στέφω, Θέκλαν | δὲ τῷ μείζονι στεφάνῳ καὶ δασυτέρῳ ὡς πρώτην ὑμῶν καὶ μεγαλο- 284
πρεπέστερον ἐκλάμψασαν.

Ταῦτα οὖν εἰποῦσαν ἔφη κελεῦσαι πάσας ἀναστῆναι τὴν Ἀρετὴν ἡ Θεοπάτρα, καὶ στάσας ὑπὸ τὴν ἄγνον εὐχαριστήριον πρεπόντως ὕμνον ἀναπέμψαι τῷ κυρίῳ, ἐξάρχειν δὲ τὴν Θέκλαν καὶ προϋφηγεῖσθαι. ὡς οὖν ἀνέστησαν, τὴν Θέκλαν μέσην μὲν τῶν παρθένων ἔφη, ἐκ δεξιῶν δὲ τῆς Ἀρετῆς στᾶσαν κοσμίως ψάλλειν, τὰς δὲ λοιπὰς ἐν κύκλῳ καθάπερ ἐν χοροῦ σχήματι συστάσας ὑπακούειν αὐτῇ.

Ὑπακοή.

ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.

Ψαλμός.

Ἄνωθεν, παρθένοι, βοῆς
ἐγερσίνεκρος ἦχος ἦλθε | νυμφίῳ λέγων 285

1 Plato Legg. V, 734 A. Tim. 91 B — **14** Johannesacten 94

1 *δόξαντες* P **1 f** Pl *οἰστρώδεις ἐπιθυμίας* **1** *μᾶλλον* < B Jh **4** *οὓς* Kl: *ὡς* P | *γὰρ* tilgt Kl: *γε* Jh **4 f** *παρθεύουσαι* B Jh **8 f** *μεγαλοπρεπεστέραν* P Fendt **11** *Θεόπ.*] P 229^{v} | *στάσας* V B: *πάσας* P(?) Jh **11 f** *ὕμνον πρεπόντως* B Jh **12 f** *προαφηγεῖσθαι* P **13** *Θέκλην* P **16** *Ὑπακοή — ὑπαντ. σοι* Z. 18 erst hinter *ἄναξ* S. 132, 3 Jh, der hier überhaupt, beraten von G. F. Rettig, gewaltsam geändert hat | *Ὑπακοή* und *ἁγνεύω* etc. Z. 16 ff stets in Majuskel in P | Bei W. Christ u. M. Paranikas, Anthologia graeca carminum christianorum, Leipzig 1871, S. 33—37. Christ gibt Jh's Text; nur seine Abweichungen von Jh sind notiert. — W. Meyer, Ges. Abhandlungen über Rhythmik II 1905 S. 44—48. Meyer S. 45 »Die Strophen bestehen meistens aus 50 Silben, die sich in 3 Langzeilen zu 14 und 1 Kurzzeile zu 8 Silben gliedern. In einigen Strophen stehen entschieden mehr Silben; so geht in *A* und *M* der ersten Langzeile ein Stück von 8 Silben, in *H* und *N* ein Stück von unsicherer Länge voran«. L. Havet bei Bouvy, Étude sur les orig. du rythme tonique, Nimes 1886 S. 126 ff **19** *Ψαλμός* < B **20** *Ἄνωθεν παρθ. βοῆς* ist als Vorschlag der Strophe, die stets mit einem Vierzehnsilber beginnt, voranzustellen, vgl. Meyer S. 46 | *Ἄνωθα* Havet **21** *λέγων* < Jh

πασσυδὶ ὑπαντάνειν λευκαῖσιν ἐν στολαῖς
καὶ λαμπάσι πρὸς ἀντολάς· ἔγρεσθε πρὶν φθάσῃ
μολεῖν εἴσω θυρῶν ἄναξ.
⟨Ὑπ.⟩ ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.
⟨Ψ.⟩ Βροτῶν πολυστένακτον ὄλβον ἐκφυγοῦσα καὶ
βίου τρυφῆς ἁδονὰς ἔρωτα, σαῖς ὑπ᾿ ἀγκάλαις
ζωηφόροις ποθῶ σκέπεσθαι καὶ βλέπειν τὸ σὸν
κάλλος διηνεκῶς, μάκαρ.
⟨Ὑπ.⟩ ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.
⟨Ψ.⟩ Γάμων λιποῦσα θνητὰ λέκτρα καὶ . . δόμον,
ἄναξ, διὰ σὲ πολύχρυσον, ἦλθον ἀσπίλοις
ἐν εἵμασιν, ὅπως φθάσω κἀγὼ πανολβίων
θαλάμων εἴσω σὺν σοὶ μολεῖν.
⟨Ὑπ.⟩ ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι. |
⟨Ψ.⟩ Δόλους δράκοντος ⟨ἦλθον⟩ ἐκφυγοῦσα μυρίους, 286
μάκαρ, θελκτηρίους· ἔτλην δὲ καὶ πυρὸς φλόγα
καὶ θηρίων ἀνημέρων ὁρμὰς βροτοφθόρους,
σὲ προσμένουσ᾿ ἀπ᾿ οὐρανῶν.
⟨Ὑπ.⟩ ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.
⟨Ψ.⟩ Ἐλαθόμην πάτρας, ποθοῦσα σὴν χάριν, λόγε,
ἐλαθόμην ⟨καὶ⟩ παρθένων ὁμηλίκων χορούς,

12 vgl. Paulusacten 20 — **19** Paulusacten 22. 28. 33—35 — **24** vgl. Psal. 44, 10

1 ⟨*νῦν*⟩ *πασσυδὶ* stellt Meyer zur Erwägung | *λευκέσιν* P: *λευκαῖσι τε* Christ | *ἐν στολαῖς* < Jh **2** *φθάσει* P **7** *βίου τρυφῆς ἁδονὰς* P: *ἁδονὰς* < Jh: der Text fordert eine Emendation, doch wage ich nicht einfach *τρυφὴν ἡδύν τε*, das Meyer S. 46 empfiehlt, als Text zu bieten | *μωρόν* nach *ἔρωτα* Christ **10** die Worte der Hypakoë werden in P von *καὶ λαμπάδας* oder *φαεσφόρους* oder *κρατοῦσα* oder etwa *νυμφίε* Z. 12 an meist nicht vollständig mitgeteilt, sondern nur markiert **12** die Einteilung der Strophen nach Meyer S. 46f | *τὰ θνητὰ* Po Cb | daß vor *δόμον* etwas ausgefallen, mit Recht Meyer; *δόμον* bedarf auch eines Beiworts **14f** *θαλάμων τῶν πανολβίων* Christ **15** *μολεῖν*] *ἄναξ* möchte Christ beifügen **18** *Δόλους* P 230 | ⟨*ἦλθον*⟩ *ἐκφυγοῦσα* Meyer **19** *ἔτι δὲ* Po | ⟨*ἥκω*⟩ *θελκτ.* Havet; *καὶ δεινὴν πυρ. φλ.* Christ **21** *προσμένουσα* B **25** *καὶ* vor *παρθένων* + Jh

μητρός τε καὶ γένους φρύαγμα· πάντα γὰρ σύ μοι
αὐτὸς σύ, Χριστέ, τυγχάνεις.
⟨Ὑπ.⟩ ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.
⟨Ψ.⟩ Ζωῆς χοραγός, Χριστέ, [τυγχάνεις,] χαῖρε φῶς ἀνέσπερον,
ταύτην δέδεξο τὴν βοήν· χορός σε παρθένων
προσεννέπει, τέλειον ἄνθος, ἀγάπη, χαρά,
φρόνησις, σοφία, λόγε.
⟨Ὑπ.⟩ ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι. |
⟨Ψ.⟩ Ἠνοιγμέναις θύραις, ἄνασσα 287
φαιδρόκοσμε, ἐδέξω θαλάμων εἴσω χ' ἡμᾶς,
ἀχραντόσωμε, καλλίνικε νύμφα, καλλίπνου·
ὁμόστολοι παρήμεθα Χριστῷ, πανόλβιον
μέλπουσαι σὸν γάμον, θάλος.
⟨Ὑπ.⟩ ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.
⟨Ψ.⟩ Θρηνοῦσι νῦν βαρύστονοι κόραι πυλῶν πικρῶς
νυμφῶνος ἔξω καὶ βοῶσι γοερῶς, ὅτι
τὸ λαμπάδων ἀποσβέσασαι φῶς οὐκ ἔφθασαν
χαρᾶς ταμεῖον εἰσιδεῖν.
⟨Ὑπ.⟩ ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.
⟨Ψ.⟩ Ἱρᾶς ὁδοῦ γὰρ ἐκτραπεῖσαι πρὸς βίου πόρους
κτήσασθ' ἔλαιον ἠμέλησαν ἄθλιαι πλέον·
νεκρὰς δὲ φλογεροῦ πυρὸς φέρουσαι λαμπάδας
στένουσιν ἔνδον ἐκ φρενῶν.
⟨Ὑπ.⟩ ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι. |
⟨Ψ.⟩ Κρατῆρες ἀδυπληθέες πρόκεινται νέκταρος· 288
πίνωμεν· οὐράνιόν ἐστι πόμα, παρθένοι,

1 vgl. Paulusakten 20 — **18** Mt. 25, 11 — **25** Mt. 25, 3

5 *τυγχάνεις* < Jh; Meyer machte mich darauf aufmerksam, daß es aus Z. 2 herübergenommen **7** *προσενέπει* B **8** *φρόνησι* Havet **11** *Ἠνοιγμ.—ἄνασσα* Vorschlag, vgl. Meyer S. 45 **12** *φαιδρόκοσμ' ἡμᾶς δέδεξο* Christ | *ἐδέξω* Meyer: *δέδεξο* P, *δέδεξ'* Jh | *θαλάμων εἴσω χ'* < Jh **14** *πανόλβιε* Al Christ; *πανόλβιαι* P Jh; *πανόλβιον* Po, vgl. S. 132, 14f **19** *νυμφῶνος* < B **21** *ταμεῖον* Jh Meyer: *ταμιεῖον* P **24** *Ἱρᾶς* wegen des Rhythmus Meyer (auch Havet): *Ἱερᾶς* P Jh **26** *φλογ. π. φερ.* P: *φλογεροῦ* nach *φέρουσαι* Jh **31** *πίν.* P 230v | *οὐρ. γάρ ἐστι* Jh | *ἐστι* < B

ὁ νυμφίος ὅπερ τέθεικε τοῖς μετ' ἀξίας
εἰς τὸν γάμον κεκλημένοις.
⟨Ὑπ.⟩ ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.
⟨Ψ.⟩ Λαμπρῶς σου τὸν ⟨φονὸν⟩ Ἄβελ προεκτυπῶν, μάκαρ,
ἔλεξεν αἱματοσταγὴς βλέπων εἰς οὐρανόν.
ἀνηλεῶς με συγγόνου τετρωμένον χειρὶ
δέξαι, λιτάζομαι, λόγε.
⟨Ὑπ.⟩ ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.
⟨Ψ.⟩ Μέγιστον ἆθλον ἁγνείας
ὁ κάρτερος σου παῖς, λόγε, Ἰωσὴφ ἀνείλετο·
γυνὴ γὰρ αὐτὸν εἰς ἄθεσμα λέκτρα βιαίως
εἷλκε φλογωμένη πόθοις, ὁ δ' οὐδὲν ἐντραπεὶς
ἔφευγε γυμνὸς ἐκβοῶν·
⟨Ὑπ.⟩ ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι. |
⟨Ψ.⟩ Νεοσφαγῆ 289
ὁ Ἰεφθάε κόρην ἀνῆγε θυσίαν θεῷ,
ἄπειρον ἀνδρός, ἀμφὶ βωμὸν ἀμνάδος δίκην
ἡ δ' εὐγενῶς σου τὸν τύπον τῆς σαρκός, ὦ μάκαρ,
τελοῦσ' ἔκραζε καρτερῶς·
⟨Ὑπ.⟩ ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.
⟨Ψ.⟩ Ξένων στρατηλάταν ὄχλων εὔτολμος εὐστόχοις
Ἰουδὴθ δόλοις καρατόμησε, κάλλεος τύποις

5 Gen. 4, 9. 10 — **7** De autex. 3, 3. De res. I, 37, 6. Symp. 5, 5 S. 59, 16f — **11** Gen. 39, 7ff — **18** Richt. 11, 31. 38 — **26** Judith 13, 8. Tert. De monog. 17

5 *ὁ σου* Havet | *σου τὸν*] *σὸν* Meyer | *φονὸν* + Bo: *θάνατον* + Po Cb Jh, *τὸν θάν. σου* Christ | *προτυπῶν* Christ | die Namen *Ἄβελ, Ἰωσήφ* etc. erklärt Havet für Glossen **6** *ἐς* Havet | *οὐρανοὺς* (aber übergeschr. *ὀν*) V Jh **11** *Μέγ. ἆθλον ἁγνείας* Vorschlag, vgl. Meyer S. 45. 47 **12** *ὁ κάρτερος* < Jh | *λόγε* < Jh | *ἀνείλατο* P (nicht V) **13** *βιαίως* < Jh **14** *εἵλκυσεν* Jh | *φλεγουμένη* Cb, *φλεγομένη* Jh | *αἰσχροῖς φλεγομένη πόθοις* vermutet Christ | *δὲ* B | *ἐκτραπεὶς* P **18** *Νεοσφαγῆ* (*ὁ Ἰεφθάε*?) Vorschlag, vgl. Meyer S. 45 »ein Stück von unsicherer Länge geht voran« **19** *κόραν ἦγε* Jh | *θυσίαν* tilgt Christ **21** *δὲ* B **25** *Ὁρῶντες* etc. (S. 135, 5) vor *Ξένων* etc. in B, aber die versehentliche Versetzung ist angedeutet | *Ξένον* P **26** *καρατόμησε* Christ: *καρατομήσασα* P Jh: *καρατομήσασα* (*καλλοῦς*)? Meyer: *κόρα καρατόμης ἢ* Havet

θέλξασα τοῦτον, οὐ χράναντα σώματος μέλη,
νικαφόροις δ' ἔφη βοαῖς·
⟨Ὑπ.⟩ ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.
⟨Ψ.⟩ Ὁρῶντες εἶδος εὐπρεπὲς ὑφῆς δύο κριταὶ
Σουσάννας, ἐμμανεῖς ἔρωτι λέξαν· ὦ γύναι,
κρυπτῶν [σου] γάμων λέχη ποθοῦντες ἥκομεν, φίλα.
ἡ δ' ἐντρόμοις ἔφη βοαῖς·
⟨Ὑπ.⟩ ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι. |
⟨Ψ.⟩ Πολλῷ με κατθανεῖν ἄμεινόν ἐστιν ἢ λέχη 290
προδοῦσαν, ὦ γυναιμανεῖς, ὑμῖν αἰωνίαν
δίκην ὑπ' ἐμπύροις θεοῦ τιμωρίαις παθεῖν·
σῶσόν με, Χριστέ, τῶνδε νῦν.
⟨Ὑπ.⟩ ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.
⟨Ψ.⟩ Ῥοαῖς καθαρσίοις λούων πλήθη βροτῶν ὁ σὸς
πρόδρομος ἀνόμως κακοῦ πρὸς ἀνδρὸς εἰς σφαγὴν
ἤχθη δι' ἁγνείαν, λύθρῳ δὲ φοινίῳ κόνιν
δεύων ἔκραζέ σοι, μάκαρ·
⟨Ὑπ⟩. ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.
⟨Ψ.⟩ Σοῦ καὶ ζωητόκος χάρις [ἄθικτος,] ἄτεγκτος, ἀσπίλους
τὰς σὰς γονὰς ἐν ἀσπόρῳ φέρουσα νηδύι,
μορφὴν ὑπέσχεν ὡς προδοῦσα λέκτρα παρθένος·
ἔλεξε δ' ἔγκυος, μάκαρ·
⟨Ὑπ.⟩ ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.
⟨Ψ.⟩ Τὴν σήν, μάκαρ, γα|μήλιον ποθοῦντες ἁμέραν 291
ἰδεῖν, ὅσους ἄνωθεν αὐτὸς ἀγγέλων ἄναξ
κέκληκας, ἥκουσιν μέγιστα δῶρά σοι, λόγε,
φέροντες ἀσπίλοις στολαῖς.

5 Dan. 13, 19f — **19** De res. I, 37, 6. Symp. 5, 5 S. 59, 17 — **25** Mt. 1, 18f — **29** I Petr. 1, 12; vgl. Luk. 17, 22. 10, 24. Joh. 8, 56 — **31** Mt. 2, 11 — **32** vgl. Apok. Joh. 7, 9. 13

1 *οὐ* Jh: *οὐδὲ* P **2** *δ'* < Jh **7** *σου* < Jh Meyer | *λέχ* B **8** *δὲ* B | *ἔφησε* P: *ἔφη* Jh Meyer **11** *Πολλῷ*] P 231 **13** *ἐμπυρίοις* P **19** *φονίω* P; aber *φοινίῳ λύθρῳ* De res. I, 37, 6 **23** *ἄθικτος* tilgt Christ; ebenso, da drei Silben zu viel, Meyer, Havet *ἄτεγκτος* **31** *ἥκουσιν* Jh: *ἧκασι* P

⟨Ὑπ.⟩ ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.
⟨Ψ.⟩ Ὕμνοις, μάκαιρα θεόνυμφε, θαλαμηπόλοι
αἵ σαὶ γεραίρομεν σὲ νῦν, ἄθικτε παρθένε,
ἐκκλησία χιονόσωμε, κυανοβόστρυχε,
σῶφρον, ἄμωμ', ἐρασμία.
⟨Ὑπ.⟩ ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.
⟨Ψ.⟩ Φθορὰ πέφευγε καὶ νόσων πόνοι δακρυσταγεῖς,
θάνατος ᾑρέθη, ὄλωλε πᾶσα ἀφροσύνη,
λύπη τέθνηκε τηξίφρων, ἔλαμψε δ' ἡ [τοῦ] θεοῦ [Χριστοῦ]
χαρὰ βροτοῖς ἄφνω πάλιν.
⟨Ὑπ.⟩ ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.
⟨Ψ.⟩ Χῆρος [ὁ] βροτῶν παράδεισός ἐστιν οὐκέτι·
πάλιν γὰρ αὐτὸν ἐκ θείας ὥσ|περ τὸ πρὶν ταγῆς 292
οἰκεῖ τέχναις ὁ ποικίλαις δράκοντος ἐκπεσών,
ἄφθαρτος, ἄφοβος, μάκαρ.
⟨Ὑπ.⟩ ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.
⟨Ψ.⟩ Ψάλλων τὸ καινὸν ᾆσμα νῦν χορός σε παρθένων
καθιστάνει πρὸς οὐρανούς, ἄνασσα, φῶς ὅλη,
ἐστεμμένος λευκοῖς κρίνων κάλυξι καὶ φλόγας
χερσὶ σελασφόρους φέρων.
⟨Ὑπ.⟩ ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.
⟨Ψ.⟩ Ὦ τὰς ἀχράντους οὐρανοῦ, μάκαρ, ναίων ἕδρας,
ἄναρχε, πάντα συγκροτῶν αἰωνίῳ κράτει,
δέξαι σὺν παιδὶ σῷ, πάρεσμεν, ἔνδον εἰς ζωῆς
πύλας, πάτερ, καὶ ἡμέας.

10 vgl. Symp. 10, 1 S. 122, 13f — **21** vgl. Apok. Joh. 5, 9

3 *θεόνυμφε* Cb Jh: *νεόνυμφε* P: *θεόνυμφ' αἵ?* Meyer **4** *αἵ σαὶ* Meyer S. 47: *αἵ σε* P, *αἰέν σε* Jh, *αἰὲν* Christ **5** *ἰοβόστρυχε?* Christ **6** *σώφρων* P **10** *ᾑρέθη* V B Al **11** *τοῦ* < Jh | *Χριστοῦ* tilgen Christ, Havet, Meyer **12** *χαρὰ* vgl. S. 77, 12. 85, 8: *χαρὶς* Jh, vgl. S. 69, 23 **15** *Χῆρος* P 231^{v} | *ὁ* < Jh, vor *παράδ.* setzt es Christ **22** *φῶς ὅλη* Meyer (vgl. dazu S. 51, 21. 87, 21f): *σαφῶς ὅλη* P: *σαφῶς ὅλος* Jh (*ἄναξ σ. ὅ.* Hav.): *φωσφόρος?* Christ **24** *σελασφόροις* V B (? P) **28** *συγκρατῶν* Jh **29** *σὺν π. σῷ δέξαι* Hav.

⟨Ὑπ.⟩ ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.

ΕΥΒΟΥΛ. Ἀξίως ἀπηνέγκατο τὰ πρῶτα τῶν ἄθλων ἡ Θέκλα, ὦ Γρηγόριον.

ΓΡΗΓ. Ἀξίως μὲν οὖν.

ΕΥΒΟΥΛ. Τί δαί; ἡ Τελμησιακὴ ξένη, | εἰπέ μοι, κἂν ἔξωθεν 293 *οὐκ ἐπηκροᾶτο; θαυμάζω γὰρ εἰ ἡσυχίαν εἶχεν ἐκείνη μαθοῦσα τὸ συσσίτιον τοῦτο, καὶ οὐκ εὐθέως ὥσπερ ὄρνεον ἐπὶ τροφὴν ἐφίπτατο τῶν λεγομένων ἀκουσομένη.*

ΓΡΗΓ. Οὐ· λόγος γὰρ αὐτὴν Μεθοδίῳ συμπαραγεγονέναι αὐτὰ δὴ ταῦτα τὴν Ἀρετὴν πυνθανομένῳ. ἀλλὰ καλὸν καὶ μακάριον τοιαύτῃ διδασκάλῳ χρήσασθαι καὶ ὁδηγῷ, τῇ Ἀρετῇ.

ΕΥΒΟΥΛ. Ἀτάρ, ὦ Γρηγόριον, ποτέρους ἀμείνους λέγομεν, τοὺς μὴ ἐπιθυμοῦντας μέν, κρατοῦντας δὲ τῆς ἐπιθυμίας, ἢ τοὺς ἐπιθυμοῦντας καὶ παρθενεύοντας;

ΓΡΗΓ. ⟨Τοὺς μὴ ἐπιθυμοῦντας καὶ παρθενεύοντας,⟩ ἐπειδὴ καὶ τὴν διάνοιαν οὗτοι καὶ τὴν αἴσθησιν ἀμόλυντον κέκτηνται καί εἰσιν ὁλοτελῶς ἀδιάφθοροι, κατὰ μηδὲν ἐξημαρτηκότες.

ΕΥΒΟΥΛ. Εὖγε νὴ τὴν σωφροσύνην, ὦ Γρηγόριον, καὶ συνετῶς. ἀτὰρ | μή τι κωλύω, ἐὰν ἀντιλαμβάνωμαι τῶν λόγων, ἵνα 294 *ἐρρωμενέστερον μάθω καὶ μηδεὶς ἐξελέγξῃ με ἔτι;*

ΓΡΗΓ. Ἀλλ' ἀντιλαμβάνου, ὅπῃ καὶ θέλεις· ἐγὼ γὰρ ἱκανῶς, ὦ Εὐβούλιον, διδάξαι σε ἔχω, ὅτι τοῦ ἐπιθυμοῦντος ὁ μὴ ἐπιθυμῶν κρείσσων ἐστί, καὶ οὐδεὶς οὐ μή σε ἐλέγξῃ.

ΕΥΒΟΥΛ. Βαβαί· χαίρω γάρ, ὅτι μοι μεγαλοφρόνως ἀποκρίνῃ καὶ δεικνύεις ὅσον πεπλούτηκας ἐπὶ σοφίᾳ.

ΓΡΗΓ. Κωτίλος τις ὡς ἔοικεν ἄνθρωπος εἶναι δοκεῖς, ὦ Εὐβούλιον.

ΕΥΒΟΥΛ. Τίνος δὴ χάριν;

ΓΡΗΓ. Ὅτι τωθαζομένη με ταῦτα λέγεις μᾶλλον ἢ ἀληθεύουσα.

6 vgl. De res. I, 13, 1 — **19—24** Plato Hipp. Mai. 287 A — **25** vgl. Plato Euthyd. 293 A. Euthyphr. 12 A

3 *Εὐβούλιον* B: st. *Εὐβ.* u. *Γρηγ.* immer *Ā* u. *B̄* in P **6** *Τί δὲ* B | *Τελμισιακὴ* B **8** *ἵπτατο* Jh **9** *ἀκουσαμένη* B **10** *οὐ λόγος* P: *Εὐλόγος* B, aber mit e. Strich unter *o* **11** *πυνθ.* P 232 **12** *χρῆσθαι* Jh **13** *γρηγόριε* P (nicht B) **14** *τὴν ἐπιθυμίαν* B **16** *Γρηγόριδν* B | *Τ. μὴ ἐ. δηλονότι* + Cb Jh, *κ. π.* + Kl Bo **19** *Εὐβ.* fortan stets B | *Εὖ γε νὴ τὴν* u. *ἀτὰρ — μάθω* u. *Ἀλλ' ἀντ.* auch Pl | *γρηγόριε* P **23** *εὐβούλιε* P **23 f** Pl *ἐγώ σε διδάξαιμι, ὥστε μηδένα ἀνθρώπων δύνασθαί σε ἐξελέγχειν* **27** *Κωπτίλος* B, *σκωπτίλος* P | *Εὐβούλιε* P **29** *ΓΡΗΓ.*] P 232^{v} | *τωθαζόμενος* P, *τωθαζόμενον* B | *ἀληθεύων* P, *ἀληθεῦον* B

ΕΥΒΟΥΛ. Εὐφήμησον, ὦ μακαρία· θαυμάζω γὰρ σφόδρα σου τὸ συνετὸν καὶ μεγαλόδοξον. ἐγὼ τοῦ|το ἔφην, ὅτι περὶ ὧν πολλοὶ 295 πρὸς ἑαυτοὺς πολλάκις ἀμφισβητοῦσι σοφοί, ταῦτα οὐ μόνον ἐπίστασθαι σὺ λέγεις, ἀλλὰ καὶ διδάσκειν ἑτέρους σεμνύνῃ.

ΓΡΗΓ. Σὺ γὰρ ἐξ ἀληθείας, εἰπέ μοι, δυσχεραίνεις, εἰ διαφέρουσιν ὅλως οἱ μὴ ἐπιθυμοῦντες τῶν ἐπιθυμούντων τε καὶ ἐγκρατευομένων; ἢ πάντως ἐμοῦ ταῦτα προσπαίζεις;

ΕΥΒΟΥΛ. Καὶ πῶς ἀποπειρωμένη, ἣ ὁμολογῶ μὴ εἰδέναι; ἀλλ' ἴθι φράσον ἐμοί, ὦ σοφωτάτη, τίνι διαφέρουσιν οἱ μὴ ἐπιθυμοῦντες καὶ ἁγνεύοντες τῶν ἐπιθυμούντων τε καὶ παρθενευόντων.

ΓΡΗΓ. Ὅτι πρῶτον μὲν καθαρὰν ἔχουσιν αὐτὴν τὴν ψυχὴν καὶ ἀεὶ τὸ πνεῦμα τὸ ἅγιον ἐν αὐτῇ κατοικεῖ, μὴ | περιελκομένης αὐτῆς 296 καὶ ἐπιθολουμένης φαντασίαις καὶ λογισμοῖς ἀκρασίας, ὥστε καὶ διὰ τῆς ἐνθυμήσεως ἐπιλωβηθῆναί ποτε· ἀλλ' εἰσὶν ἀνεπίδεκτοι πάντη καὶ κατὰ τὴν σάρκα καὶ κατὰ τὴν καρδίαν οὗτοι τῆς ἐπιθυμίας, γαλήνην ἄγοντες τῶν παθημάτων. οἱ δὲ διὰ τῆς ὄψεως ἔξωθεν δελεαζόμενοι ταῖς φαντασίαις καὶ ἐπεισρέουσαν δεχόμενοι τὴν ἐπιθυμίαν δίκην ῥεύματος εἰς τὴν καρδίαν οὐδὲν ἧσσον μολύνονται πολλάκις, κἂν νομίζωσιν ἀντιφιλονεικεῖν καὶ μάχεσθαι πρὸς τὰς ἡδονάς, ἡττώμενοι τὸν λογισμόν.

ΕΥΒΟΥΛ. Οὐκοῦν γαλήνην τοὺς ἄγοντας καὶ μὴ διοχλουμένους ὑπὸ τῆς ἐπιθυμίας λέξομεν καθαρούς;

ΓΡΗΓ. Καὶ σφόδρα. τούτους γὰρ τοιούτους ὁ καὶ θεοὺς διὰ τῶν μακα|ρισμῶν ἀπεργαζόμενος τοὺς ἀνενδοιάστως αὐτῷ πιστεύοντας 297 θεὸς »ὄψεσθαι« μετὰ παρρησίας ἀποφθέγγεται »τὸν θεόν«, ὅτι μηδὲν ἐπισκοτοῦν ἢ συνταράσσον τὸν ὀφθαλμὸν τῆς ψυχῆς πρὸς τὴν θείαν ἐπιφέρονται θεωρίαν, ἀλλ' ἐκτὸς γεγονότες τῶν ὀρέξεων πάντη τῶν κοσμικῶν τὴν σάρκα καθαρὰν οὐ μόνον, ὡς ἔφην, μίξεως τηροῦσιν, ἀλλ' ἤδη καὶ τὴν καρδίαν ἀνεπίδεκτον λογισμῶν ἀκρασίας, ἐν ᾗ μάλιστα καὶ τὸ ἅγιον ὡς ἐν ναῷ κατοικοῦν ἀναπαύεται πνεῦμα.

ΕΥΒΟΥΛ. Ἔχε δὴ (οἶμαι γὰρ ἐπὶ τὴν εὕρεσιν τῶν ὄντως κρειτ-

7 vgl. Plato, Menex. 235 C — **12. 30** Hermas II, 5, 2ff — **16** De res. II, 25, 5 — **17** De res. II, 7, 2 (vgl. Symp. S. 7, 18ff. 46, 17. 47, 18) — **19** Plato Lach. 191 D — **20** Plato Prot. 355 B — **25** Mt. 5, 8 — vgl. Plato Phaed. 66 A. 65 E — **30** vgl. I Kor. 3, 16. 6, 19. Ephes. 3, 17. Jak. 4, 5

8 *ἀποπειρωμένη ἣ* B: *ἀποπειρώμενος ὃς* P Jh **14** *ἐπιθυμήσεως* B **17** *ταῖς* P 233 **18** *ἧττον* B **20** Pl *ὑπὸ τούτων* (*τῶν ἡδονῶν*) *ἡττώμενος* **21** *τοὺς γαλήνην* B Jh **22** *τῆς* < B **23** *σφόδρα*] *μάλα* B | *θεοὺς καὶ* P (nicht B) **24** *ἀνενδυάστως* P

τόνων ὀρθότερον ἡμᾶς ἐντεῦθεν διελθεῖν) καί μοι φράσον· καλεῖς τινα κυβερνήτην ἀγαθόν;

ΓΡΗΓ. Ἔγωγε.

ΕΥΒΟΥΛ. Πότερον τὸν ἐν μεγάλαις καὶ ἀμηχάνοις | περισώσαντα 298
ζάλαις τὸ σκάφος ἢ τὸν ἐν γαλήνῃ καὶ νηνεμίᾳ;

ΓΡΗΓ. Τὸν ἐν μεγάλαις καὶ ἀμηχάνοις.

ΕΥΒΟΥΛ. Οὐκοῦν καὶ ψυχὴν τὴν περιαντλουμένην ταῖς τρικυμίαις τῶν παθημάτων καὶ μὴ ἀποκάμνουσαν ἢ ἐκλυομένην, ἀλλὰ τὸ σκάφος, τὴν σάρκα, γενναίως εἰς λιμένα τὸν τῆς σωφροσύνης ἀπευθύνουσαν λέξομεν τῆς ἐν εὐδίᾳ πλοϊζομένης κρείττονα καὶ δοκιμωτέραν;

ΓΡΗΓ. Λέξομεν.

ΕΥΒΟΥΛ. Τὸ γὰρ ἁρμόζεσθαι πρὸς τὰς ἐμβολὰς τῶν καταφυσημάτων τοῦ πονηροῦ πνεύματος καὶ μὴ ἀπορρίπτεσθαι ἢ νικᾶσθαι, ἀλλὰ πάντα πρὸς Χριστὸν ἀνανεύοντα καρτερῶς μάχεσθαι ταῖς ἡδοναῖς μείζονα τὸν ἔπαινον φέρει τοῦ μετὰ ῥᾳστώνης ἀχειμαστὶ παρθενεύοντος.

ΓΡΗΓ. Ἔοι|κεν. 299

ΕΥΒΟΥΛ. Τί δαὶ καὶ ὁ κύριος; οὐ δοκεῖ δεικνύναι διαφέρειν τὸν ἐπιθυμοῦντα μᾶλλον καὶ ἐγκρατευόμενον τοῦ μὴ ἐπιθυμοῦντός τε καὶ παρθενεύοντος;

ΓΡΗΓ. Ποῦ δή;

ΕΥΒΟΥΛ. Ἔνθα τὸν φρόνιμον παραβάλλων οἰκίᾳ τεθεμελιωμένῃ καλῶς ἄπτωτον αὐτὸν ἀποφαίνεται, μὴ δυνάμενον ὑπὸ τῆς βροχῆς καὶ τῶν ποταμῶν καὶ τῶν ἀνέμων καταβληθῆναι, ταῖς μὲν ἐπιθυμίαις ὡς ἔοικεν ἀπεικάζων τοὺς χειμῶνας, τῇ δὲ πέτρᾳ τὴν ἀκίνητον ἔνστασιν καὶ ἀδιάπτωτον τῆς ψυχῆς περὶ τὴν ἁγνείαν.

ΓΡΗΓ. Ἀληθῆ λέγειν δόξαις.

ΕΥΒΟΥΛ. Τί δαὶ καὶ ἰατρόν; οὐ τὸν ἐπὶ μεγάλαις ἤδη δεδοκιμασμένον νόσοις καὶ πολλοὺς ἰασάμενον ἄριστον καλεῖς;

ΓΡΗΓ. Ἔγωγε.

ΕΥΒΟΥΛ. Τὸν δὲ μηδὲν μηδέπω διαπραξάμενον, μηδὲ νοσοῦντας ὅλως ἐν χερσὶν ἐσχηκότα οὐ πάντως ἀδοκιμώτερον ἔτι;

19 vgl. z. B. Plato Krat. 423 E — **23** Mt. 7, 24

4 *ΕΥΒ.*] P 233ᵛ **4** u. **5** *αι* in *μεγάλαις* und *ν* in *νηνεμίᾳ* erneuert in P **6** *Γρηγόριον* B **19** Pl *τί δὲ δὴ τόδε; οὐ καὶ οὐσία δοκεῖ σοι εἶναι;* | *δαὶ*] *δὲ* B Jh **20** *ἐγκρατεύοντα* Po Cb Jh **24** *αὐτὸν* P 234 | *δυν.*] *α* u. *ον* erneuert in P | *ὑπὸ*] *ὑ* erneuert in P, *ἀπὸ* B **29** *δαὶ* B: *δὲ* P Jh

ΓΡΗΓ. Ναί.

ΕΥΒΟΥΛ. Οὐκοῦν καὶ ψυχὴν τὴν ἀνεχομέ|νην ὑγροτέρου σώματος καὶ τὰς περὶ τὰς ἡδονὰς αὐτοῦ νόσους καταπραΰνουσαν σωφροσύνης φαρμάκοις ἰατρικωτέραν λεκτέον τῆς ὑγιεινὸν διοικεῖν κεκληρωμένης σῶμα καὶ ἀπαθές; 300

ΓΡΗΓ. Λεκτέον γάρ.

ΕΥΒΟΥΛ. Τί δαὶ καὶ ἐν πάλῃ; πότερον παλαιστὴς ἀμείνων ὁ ἀνταγωνιστὰς ἔχων μεγάλους καὶ ἰσχυρούς, καὶ προσπαλαίων ἀεὶ καὶ μὴ καθαιρούμενος, ἢ ὁ μὴ ἔχων ἀνταγωνιστάς;

ΓΡΗΓ. Δῆλον ὡς ὁ ἔχων.

ΕΥΒΟΥΛ. Καὶ ἐν πάλῃ ἄρα δοκιμώτερος ἀθλητὴς ὁ τοὺς ἀνταγωνιστὰς ἔχων;

ΓΡΗΓ. Ἀνάγκη.

ΕΥΒΟΥΛ. Οὐκοῦν καὶ ψυχὴν ἀνάγκη πᾶσα τὴν μηχανωμένην πρὸς τὰς ἐφόδους τῆς ἐπιθυμίας καὶ μὴ κατασπωμένην, ἀλλ᾽ ἀνθέλκουσαν καὶ ἀντιτασσομένην, ἰσχυροτέραν φαίνεσθαι τῆς μὴ ἐπιθυμού|σης; 301

ΓΡΗΓ. Ἀληθῆ.

ΕΥΒΟΥΛ. Τί δαὶ τὸ καρτερῶς ἔχειν πρὸς τὰς ὁρμάς, Γρηγόριον, τῶν φαύλων ὀρέξεων; δοκεῖ σοι μᾶλλον ἀνδρείας εἶναι;

ΓΡΗΓ. Καὶ σφόδρα.

ΕΥΒΟΥΛ. Ἡ δὲ ἀνδρεία αὕτη δύναμις ἀρετῆς;

ΓΡΗΓ. Δῆλον.

ΕΥΒΟΥΛ. Οὐκοῦν εἰ δύναμις ἀρετῆς ἐστιν ἡ ὑπομονή, ἡ διοχλουμένη ἄρα ψυχὴ καὶ καρτεροῦσα πρὸς τὰς ἐπιθυμίας δυνατωτέρα φαίνεται τῆς μὴ ὀχλουμένης;

ΓΡΗΓ. Ναί.

ΕΥΒΟΥΛ. Εἰ δὲ δυνατωτέρα, καὶ κρείσσων;

ΓΡΗΓ. Ναί.

ΕΥΒΟΥΛ. Κρείσσων ἄρα ἡ ἐπιθυμοῦσα καὶ ἐγκρατευομένη τῆς μὴ ἐπιθυμούσης ἐστὶν ἐκ τῶν προωμολογημένων καὶ ἐγκρατευομένης.

2 ob. S. 39, 18. Plato Tim. 86 D — 3 Plato Tim. 67 A. Hipp. Min. 375 B; ob. S. 102, 17f — 14 vgl. Plato Pol. IV, 441 D — 24 Plato Hipp. Min. 375 E

3 καταπραΰνουσιν P: καταπραῦνον Pl 4 ἰατρικώτερον P: ἰατρικωτέρα Pl | ὑγιηνὸν P (nicht B) 7 δαὶ P: δὲ Jh 10 Γρηγ.] P 234ᵛ 11 δοκιμώτερος undeutl. in P 14 Pl κ. τοῦτο πᾶσα ἀνάγκη 19 δαὶ P: δὲ Jh 31 προομολογουμένων B

ΓΡΗΓ. Ἀληθῆ λέγεις, καὶ ἐπιθυμήσω πληρέστερον ἔτι περὶ τούτων διαλεχθῆναί σοι. εἰ οὖν σοι φίλον, αὔριον ἀφίξομαι πάλιν ἀκουσομένη τούτων. νῦν γάρ, ὡς ὁρᾷς, ὥ|ρα λοιπὸν τρα- 302
πέσθαι καὶ περὶ τὸ τοῦ ἔξωθεν ἀσχολεῖν ἡμᾶς ἀνθρώπου.

2 vgl. Plato Prot. 353 B. Lach. 201 BC — ob. S. 45, 16 f

2 διαλ . σε P 3 ὡς — ἀνθρ. Z. 4 von and. Hd. P 4 ἐπὶ τὴν + vor π. τὸ Jh | περὶ τὸ] πρὸς τὴν (. . ἀσχολίαν) Kl | τὸ τοῦ Bo: τὸν τοῦ P, τὴν τοῦ B: τὸν Jh | ἀσχολεῖν (od. ἀσχολεῖσθαι) Bo: ἀσχολίαν P Ausgg. | ἀνθρώπου P: τέλος καὶ τῷ θεῷ δόξα + B: τέλος τοῦ περὶ ἁγνείας συμποσίου τοῦ ἁγίου μεθοδίου ἐπισκόπου πατάρων + V

ΜΕΘΟΔΙΟΥ
ΠΕΡΙ ΤΟΥ ΑΥΤΕΞΟΥΣΙΟΥ

Textzeugen, Handschriften und Abkürzungen.

Methodius De autexusio

F = Laurent. Plut. IX, 23 s. X
S = Altslavische Übersetzung. Sa = Tolstoi. II, 56 (jetzt Petropol.).
Sb = No 110 der Synodalbibl. in Moskau

Dialog des Adamantius, Ausgabe van de Sande Bakhuyzen

D = Überlieferter Text nach Marcian. 496 (1. Hand) s. XII (oder XI)
Dr = Rufins Übersetzung

Eusebius Praeparatio evang. VII, 22, Ausgabe E. H. Gifford

E1 = Überlieferter Text
E1i = Marcian. 341 s. XV
E1o = Bonon. 3643 s. XIII
E2 = Überlieferter Text der Philokalia des Origenes, Ausgabe Arm. Robinson
E2i = Marcian. 47 s. XI
E2p = Patmius 270 s. X

Sacra Parallela, Ausgabe Holl

C = Überlieferter Text
Cc = Coislin. 276 s. X
Ck = Vatican. 1553 s. XII—XIII
Cr = Rupef. (jetzt Berolin.) Philipp. 1450 s. XII—XIII

Photius Bibliotheca, Ausgabe Bekker

Ph = Überlieferter Text
Pha = Marcian. 450 s. X
Phb = Marcian. 451 s. XII

Eznik, Wider die Sekten

Ezn = Übersetzung J. M. Schmid

Abkürzungen

Pl = Plato
Bh = van de Sande Bakhuyzen
Bo = Bonwetsch
Jh = Jahn
Kl = Klostermann
Md = Mendelssohn

Zeichen wie S. 2

ΜΕΘΟΔΙΟΥ
ΠΕΡΙ ΤΟΥ ΑΥΤΕΞΟΥΣΙΟΥ

I. Ὁ μὲν Ἰθακήσιος γέρων κατὰ τὸν τῶν Ἑλλήνων μῦθον, τῆς Σειρήνων βουλόμενος ἀκοῦσαι ᾠδῆς διὰ τὴν τῆς φωνῆς ἀκόλαστον ἡδονήν, δεσμώτης ἔπλει εἰς τὴν Σικελίαν καὶ τὰς τῶν ἑταίρων ἐνέφραττεν ἀκοάς, οὐκ ἐκείνοις ἕνεκα τῆς ἀκροάσεως φθονῶν, οὐδὲ ἑαυτὸν δεσμῷ περιβάλλειν ἐπιθυμῶν, ἀλλ᾽ ὅτι τέλος τῆς ἐκείνων ᾠδῆς τοῖς ἀκούουσι θάνατος ἦν· τοιαῦται γάρ ⟨ποτε⟩ παρ᾽ Ἕλλησιν ᾖδον αἱ Σειρῆνες. ἐγὼ δὲ τοιαύτης μὲν ᾠδῆς ἀκροατὴς οὐ γίνομαι, 2

3 Odyss. 12, 158 ff — Klem. Protr. 9 S. 64, 29 ff. 12 S. 83, 8 ff Stählin. Symp. 8, 1 S. 81, 16. De res. I, 28, 1 — **7** Röm. 6, 21

F S; vgl. Zacharias Mityl. PGr. 85, 1037. 1073 (Physiol. 23)

1 F 193 *τοῦ ἁγίου Μεθοδίου, ἐπισκόπου Ὠλύμπου καὶ μάρτυρος* S; *ἐπισκ. Ὠλ.* ep̃pa olympiiskago: pathilipiiskago HSS, so wohl auch in der Überschrift von De lepra pa aus episcopa, wie der Schreiber der Bemerkung am Rand ep̃pa erkannt zu haben scheint **2** vor *ΠΕΡΙ Τ. ΑΥΤ.* + *Περὶ θεοῦ, περὶ ὕλης καὶ* (vgl. F über c. 5) S, dann »Herr, segne Vater« + Sa, »Segne Vater« + Sb: *περὶ αὐτεξουσίου* auch C Ph | nach *ΑΥΤΕΞ.* + *λόγος α'* Meursius **3** *Ὁ μὲν*] davor *ΟΡΘΟΔ.* + d. Ausgg. | *Ἰθακήσιος*: »griechische« S **3 ff** Zachar. S. 1037 *τὰς Σειρῆνας μιμούμενοι τὰς Ὁμηρικὰς τῇ τῆς μουσικῆς ἡδονῇ τῶν φιλακροαμένων κατακλούσας τὰ ὦτα καὶ θανάτῳ ζημιούσας τοὺς πειθομένους, ὅθεν ἐπαινῶ . . τὸν Ἰθακήσιον ἐκεῖνον στρατιώτην . . οὐ τοίνυν τὰ παρ᾽ ἡμῖν τοιαῦτα.* S. 1073 *τότε τὸν κηρὸν τοῖς ὠσὶν ἐπιτίθεμεν τὸν Ὁμηρικόν· οὕτω τε τὴν ὀλέθριον ᾠδὴν τῶν θανατηφόρων Σειρήνων ἀποφυγγάνομεν* **3** *(κατ)ὰ — μῦ(θον)* auf Rasur F **4** *σιρήνων* stets F | *ᾠδῆς . . φωνῆς*: *φωνῆς . . ᾠδῆς* w. e. sch. S **5** »seiner Genossen« S, doch *τὰς τῶν (τε) ἑαυτοῦ ἑταίρων* las wohl kaum S | *ἑτέρων* F **7** *ἑαυτὸν* auch S **7 f** *τῆς . . ᾠδῆς*: »der Gesänge« pesnij, vermutl. aus »des Gesangs« pesni S **8** *τοιαῦται* F Kl: *τοιαῦτα* Bo, »so« S | *ποτε* + S | *Ἕλλησιν* S 1^v **9** *ᾖδον αἱ Σειρῆνες* S: *ἡδοναὶ σιρήναις* in F daraus entstanden Md: *ἡδοναὶ Σειρήνων* Ausgg. | *ᾠδῆς* hier, Z. 4. S. 146, 6. 18 u. *ἀκροάσεως* Z. 6 glasa = *φωνῆς*

οὐδὲ ἀκούειν ἐπιθυμῶ Σειρήνων ἐπιτάφιον ἀνθρώπων ᾀδουσῶν, ὧν
ἡ σιγὴ τῆς φωνῆς τοῖς ἀνθρώποις χρησιμωτέρα γίνεται· θείας δέ
τινος ἀπολαύειν φωνῆς εὔχομαι, ἧς κἂν πολλάκις ἀκούσω, πάλιν
ἀκούειν ἐπιθυμῶ, οὐκ ἀκολάστῳ ⟨τινὶ⟩ φωνῆς ἡδονῇ νενικημένος,
ἀλλὰ θεῖα διδασκόμενος μυστήρια καὶ τὸ τέλος οὐ θάνατον, ἀλλ᾽
αἰώνιον ἀπεκδεχόμενος σωτηρίαν. ᾄδουσι γὰρ τὴν ᾠδὴν οὐχ αἱ 3
θανατηφόροι Σειρῆνες Ἑλλήνων, ἀλλὰ θεῖός τις χορὸς προφητῶν,
ἐφ᾽ ὧν οὐκ ἔστιν ἀποφράττειν τῶν ἑταίρων τὰς ἀκοάς, οὐδὲ ἑαυτόν
τινα δεσμῷ περιβάλλειν, δεδοικότα τὴν ἐκ τῆς ἀκροάσεως τιμωρίαν.
τῶν μὲν γὰρ μετὰ τῆς φωνῆς ὁ ἀκροατὴς τοῦ ζῆν παύεται, τῶν δὲ
ἐπὶ πλεῖον ἀκούων τοῦ κρείττονος ἀπολαύσει βίου, ὑπὸ θείου πνεύ-
ματος χειραγωγούμενος. ἡκέτω τοίνυν σύμπας καὶ ἀκουέτω τῆς θείας 4
ᾠδῆς, μηδὲν πεφοβημένος. οὐκ εἰσὶν παρ᾽ ἡμῖν αἱ παρὰ Σικελίαν
Σειρῆνες, οὐδὲ τὰ Ὀδυσσέως δεσμά, οὐ κηρὸς τηκόμενος εἰς ἀνθρώ-
πων ἀκοάς, ἀλλὰ δεσμῶν μὲν ἄνεσις πᾶσα, ἐλευθέρα δ᾽ ἀκοὴ παρ᾽
ἑκάστῳ τῶν προσιόντων. τοιαύτης γὰρ ᾠδῆς ἀκούειν ἄξιον, τοιού-
τους τοὺς ᾄδοντας ἔχειν εὐκτέον εἶναί μοι δοκεῖ. εἰ δέ τις καὶ τοῦ 5
τῶν ἀποστόλων χοροῦ ἀκούειν ἐθέλοι, εὑρήσει τὴν αὐτὴν τῆς ᾠδῆς
συμφωνίαν. οἱ μὲν γὰρ προῇδον μυστικῶς τὴν θείαν οἰκονομίαν, οἱ

5 vgl. Röm. 6, 21f — **7** Klem. Protr. 12 S. 84, 13ff — **11** Klem. Protr. 12 S. 84, 18 — **18** De res. I, 56, 5

F S

1 *ἐπιτάφια?* S | **2** *τῆς φωνῆς* < S **3** *τιν.*] *μᾶλλον* + S | *κἂν πολλάκις ἀκούσω*] *πολλάκις ἀκούων?* S **4** *τινὶ* + S **6** *τὴν ᾠδὴν*] »mit Gesang« *τῇ ᾠδῇ* oder *τῇ φωνῇ* S **6f** *οὐχ θανατηφόροι ὡς αἱ?* S **7** *ὁ χορὸς οἱ δίκαιοι, . . προφῆται λαλοῦσιν* Klem **8** *τ. ἑταίρ. ἀποφράττειν* S | *ἑτέρων* F | *ἑαυτόν — περιβάλλειν* Z. 9] »sich selbst welche Fesseln anzulegen« S **9** *τινι δεσμῷ* Ausgg. | *ἐκ* < S **10** *μετὰ τ. φωνῆς*] »durch das Hören jener« (vielleicht »nach dem Hören jener«, so daß poslužaniem aus po slu^v anii entstanden wäre) S, aber schwerl. las S *ἐκείνων ἀκοῇ* **11f** *ὑπὸ θ. πνεύμ. χειραγ.* F: *ὑπὸ θ. χειραγ. πνεύμ.* S | *πρὸς ἀλήθειαν χειραγωγοῦ* Klem **12** *ἀκουέτω* S 2 **13** *πεφοβ. μηδέν* S | *οὐκ* »Denn« vor »nicht« + 2. Hd. in Sa | *αἱ*: »die . . welche« S, jaže i (*αἳ καὶ?*): von 2. Hd. »wie« jakoze Sa **14** *τὰ . . δεσμά* F: *τὸν . . δεσμόν* S **15** *πᾶσα ἄνεσις* S | *ἐλευθέρα δ᾽* Bo: *ἐλευθερίας δ᾽* F: *καὶ ἐλευθέρα δὴ* w. e. sch. S | *ἀκοῆς* Ausgg. | *παρ᾽* F: *πάρα* Md: < S **16** *γὰρ* F S: *ἄρ᾽* Md **17** *ἔχ. εὐκτ.*: »zu wünschen zu haben« S, doch las S schwerl. *εὔχεσθαι ἔχειν* | *μοι* < S (aber »mnit« wohl aus »mnit ⟨mi⟩« = *μοι δοκεῖ*) **18f** *τῆς ᾠδῆς συμφ.*] »des Einklangs Gesang« S **19** *προῇδον* F 193^v: *προεῖδον* S

δ' ᾄδουσιν ἑρμηνεύοντες τὰ ὑπ' ἐκείνων μυστικῶς ἀπηγγελμένα.
ὦ συμφώνου ἁρμονίας ὑπὸ θείου πνεύματος συγκειμένης· ὦ καλοῦ
χοροῦ τῶν ᾀδόντων τὰ μυστήρια. τούτοις κἀγὼ συνᾴδειν εὔχομαι.
ᾄσωμεν τοιγαροῦν καὶ ἡμεῖς τὴν ὁμοίαν ᾠδήν, καὶ τὸν ὕμνον ἀνα- 6
πέμψωμεν τῷ ἁγίῳ πατρί, πνεύματι δοξάζοντες Ἰησοῦν τὸν »ἐν
κόλποις αὐτοῦ«. μὴ φύγῃς, ἄνθρωπε, ὕμνον πνευματικόν, μηδὲ
ἀπεχθῶς πρὸς τὴν ἀκρόασιν διατεθῇς. θάνατον οὐκ ἔχει· σωτηρίας
ἐστὶν διήγημα ἡ παρ' ἡμῖν ᾠδή. ἐγὼ μὲν οὖν ἤδη καὶ τῶν κρειττό- 7
νων ἀπολαύειν δοκῶ περὶ τοιούτων διαλεγόμενος, καὶ μάλιστα ὅτε
ὁ τοιοῦτός μοι πάρεστιν ἀνθέων λειμών, τουτέστιν ἡ ὑμετέρα σύνοδος
τῶν ἅμα τε καὶ ἀκουόντων καὶ συνᾳδόντων τὰ θεῖα μυστήρια. ἐφ' 8
ὧν καὶ τὸ λέγειν θαρρῶ, ὅτι μοι παντὸς φθόνου καθαρὰς παρέχετε
τὰς ἀκοάς, οὐ τὸν ζῆλον τὸν τοῦ Κάϊν μιμούμενοι, οὐχ ὁμοίως τῷ
Ἠσαῦ διώκοντες τὸν ἀδελφόν, οὐ ⟨τοὺς⟩ τοῦ Ἰωσὴφ ἐπαινοῦντες
ἀδελφούς, ὅτι ἐφ' οἷς ἔλεγεν ἐμίσουν τὸν ἀδελφόν. ἀλλὰ τούτων
ἁπάντων μακρὰν ἀφεστῶτες, διόπερ ἕκαστος ὑμῶν τὰ τοῦ πλησίον
νομίζει λέγειν. καὶ διὰ τοῦτο ζῆλος πονηρὸς οὐκ ἔστιν ἐν ὑμῖν, τὰ
λείποντα τῷ ἀδελφῷ ἀναπληροῦν δεδιδαγμένοις. ὦ ἀκροατηρίου 9
καλοῦ καὶ συμποσίου σεμνοῦ καὶ πνευματικῶν ἐδεσμάτων. τοιούτοις
ἀεὶ συνεῖναι δικαίως ⟨ἂν⟩ εὐξαίμην.

II. ⟨ΟΥΑΛ.⟩ Χθὲς τὸ δειλινὸν περιπατῶν, ὦ φίλε, παρὰ τὸν τῆς θαλάσσης αἰγιαλὸν καὶ ὀξέως πως ἀτενίζων εἰς αὐτήν, ἑώρων ὑπερβολήν τινα θείας δυνάμεως καὶ σοφῆς ἐπιστήμης τέχνην, εἴ γε

1 vgl. Ignat. Ad Ephes. 4, 1 — vgl. Orig. In Ezech. hom. 2, 2 — **5f** Joh. 1, 18 — **10** vgl. Symp. S. 5, 14f. 6, 8f — **13** Gen. 4, 5 — vgl. Symp. S. 59, 16. 134, 5ff. De res. I, 32, 4. 37, 6 — Gen. 27, 41 — **15** Gen. 37, 8 — **17** vgl. Jak. 3, 14

F S

1 *μυστικῶς* < S | zu *μυστ. ἀπηγγ.* vgl. Orig. latenter significata **3** *κἀγὼ* S: *καὶ* F **5** *πνεύματι* < S **7** *σωτηρίας* S 2$^{\text{v}}$ **11** *ἀκουόντων*: *ᾀδόντων* od. *ὑμνούντων* od. *φωνούντων* S | *συνᾳδόντων*] *ἡμῖν* + S **12** *θαρρῶν* S, od. »wagend« drŭzaja aus »wage« drŭzaju | *παντὸς* F: *πάντες* S | *φθόνου*] »neidloses und« = *ἀφθόνους καὶ* übersetzt S **13f** *τοῦ ἠσαῦ* F **14** *τοὺς* + Md **16** in *μακρὰν* d. 2. *α* corr. v. 1. Hd. aus *ο*: *μακρὸν* Ausgg. | *ὑμῶν*] *ἡμῶν* F | *τὰ* < S **17** *νομίζεται λέγων* S | *ὑμῖν* F: *ἡμῖν* S **18** *τοῦ ἀδελφοῦ*? S | *δεδιδαγμένοις* S Md: *δεδειγμένοις* F | *ἀκροατηρίου*] »Zuhörerschaft« poslušanii, »Ungehorsam« neposlušanii S **19** *πνευμ. ἐδεσμ.*] »geistiger Speise« S **20** *δικαίως*: *δικαίοις* F: < S | *ἂν εὐξαίμην* Md **21** *ΟΥΑΛ.* + Ausgg., am Rd. von F Spuren von *ορθ* | *δειληνὸν* F | *φίλε* F: *φίλοι* S **22** *πῶς* immer F: S 3 **23** *ἐπιστήμης* = věděnie: videnie S **23f** *εἴ γε κ. τ. a.* ob. Rand in S$^{\text{a}}$

καὶ τέχνην τὸ τοιοῦτο καλεῖν χρή. ὥσπερ γὰρ ὁ Ὁμηρικὸς στίχος φθέγγεται ἐκεῖνος,

> ὡς δ' ἄνεμοι δύο πόντον ὀρίνετον ἰχθυόεντα,
> Βορέης καὶ Ζέφυρος, τώ τε Θρήκηθεν ἄητον,
> ἐλθόντ' ἐξαπίνης· ἄμυδις δέ τε κῦμα κελαινὸν
> κορθύεται, πολλὸν δὲ παρὲξ ἅλα φῦκος ἔχευαν·

οὕτω μοι καὶ χθὲς γεγονέναι δοκεῖ. κορυφαῖς γὰρ ὀρέων παραπλήσια 2
ἑώρων κύματα, καὶ ὡς λόγον εἰπεῖν αὐτοῦ ἐφικνούμενα τοῦ οὐρανοῦ.
τὸ δ' ἐντεῦθεν οὐδὲν ἕτερον προσεδόκων ἢ ἅπασαν ἐπικλυσθήσεσθαι
τὴν γῆν, καί μοι φυγῆς ἐν τῷ νοῒ ἀνέπλαττον τόπον καὶ τὴν τοῦ
Νῶε ἀνέπλαττον κιβωτόν. τὸ δ' οὐκ ἦν ὃ ἐνόμιζον. ἀλλ' ὅπου 3
ἀνεκυρτώθη ἡ θάλασσα πάλιν ἀνελύετο εἰς ἑαυτήν, οὐχ ὑπερβαίνουσα
τὸν οἰκεῖον τόπον, ὡς ἔπος εἰπεῖν θεῖόν τι πρόσταγμα πεφοβημένη.
καὶ καθάπερ πολλάκις τῶν οἰκετῶν τις, ἄκων τι πρὸς τοῦ δεσπότου 4
πράττειν ἀναγκαζόμενος, τῷ μὲν προστάγματι διὰ τὸν φόβον πείθεται,
ὃ δὲ πάσχει, πράττειν μὴ θέλων, λέγειν [ὅτι] οὐ τολμᾷ, τονθορύζει
δὲ ἐν ἑαυτῷ, θυμοῦ τινος πληρούμενος, οὕτω μοί πως ἐφαίνετο καὶ
τὴν θάλασσαν, ὡσπερεὶ θυμουμένην καὶ ἐν ἑαυτῇ φράττουσαν τὴν
ὀργήν, κρατοῦσάν τε ἑαυτῆς, οὐ βουλομένην τῷ δεσπότῃ φανερὸν

1 Ilias 9, 4 — **13** vgl. Hiob 38, 11

F S

1 *τ. τ.*: *τοῦτο* S **3** *ἄνεμοι*: *ἂν ἐμοὶ* »mir« S | *δύο* < S | *ὀρίνετον*: *ὁρῶντες* (»welche sahen«) S **4** *τώ τε*: *τώτ' ἐκ* F | *Ζέφυρος — ἄητον*] »Ostwind wehend« S **5** *ἄμυδις — κορθύεται* Z. 6: »Eine Welle stolz sich erhoben habend (? vŭčelšisja) und groß geworden (veličivšisja)« S **6** *πολλὸν — ἔχευαν*: »fast bis zum Himmel ergießend« übers. S | *ἔχευον* F **7** *κορυφαῖς* F 194 | *παραπλήσιον* F | *ἔδοξεν*? S **8** *λόγον εἰπεῖν*] slovese⟨m rešti⟩ wie Z. 13 S (*εἰπεῖν* < S) | *λόγος* F **10** *καί μοι μὲν* (od. *δὴ*) mně ubo S | *ἀνέπλαττον* < Ausgg. **11** *ἀνέπλαττον* F Ausgg.: richtig »suchte«, *ἐζήτουν* od. *ἀνεζήτουν* S | *ὡς ἐνόμιζον* S | *ἀλλ' — θάλασσαν* Z. 12 mit S: *ἀλλὰ γὰρ ἅμα κυρτωθῆναι τὴν θάλασσαν* F; vielleicht ist zu lesen *ἀλλ' ὁπότ' ἀνακυρτωθείη ἡ θάλασσα* **13** *οἰκεῖον*] »bestimmten« S, aber *ὡρισμένον* las schwerlich S | *πεφοβ.* S 3ᵛ **14** *καὶ καθάπερ*] »Denn wie« *καθ' ἃ*, *καθὼς* oder *καθάπερ γὰρ* S **16** *ὅτι* F: < S, *τι* Ausgg. **16f** *τον θρύζει δε* F **17** *τινος*] »irgendwie« S, schwerl. las S *πως* | *πῶς* F: < S **18** *ὥσπερι* F **19** *κρατοῦσάν τε*: *κρατῆσαι* od. *κρατήσασθαι*, es mit *οὐ βουλ.* verbindend, S (»sich nicht irgendwie wollend halten«) S | *τε*: *τι* S | *τῷ*: *πως* w. e. sch. S

ποιῆσαι τὸν θυμόν. ταῦτα οὕτως γινόμενα σκοπῶν ἀτενίζειν ἠρχόμην, 5
καὶ τὸν οὐρανὸν καὶ τὸν κύκλον αὐτοῦ τῷ νοΐ καταμετρεῖν ἤθελον,
πόθεν τε ἄρχεται καὶ ποῦ καταπαύει ἀνεζήτουν ἐγώ, ποίαν τε κίνησιν
ἔχει, πότερον τὴν μεταβατικήν, τουτέστιν τὴν ἀπὸ τόπου εἰς τόπον,
ἢ τὴν κύκλῳ φοράν, πῶς δὲ καὶ τὴν ἐπίμονον βάσιν ἔχει. ἀλλά μοι 6
καὶ περὶ τοῦ ἡλίου ζητεῖν ἐδόκει, τίς τε ὁ τρόπος αὐτοῦ τῆς ἐν
οὐρανῷ θέσεως, τίς δὲ καὶ ἡ περίοδος τοῦ δρόμου, ποῦ δὲ καὶ μετ᾽
ὀλίγον χωρεῖ, καὶ ὅτι μηδὲ οὗτος παρέρχεται τὸν οἰκεῖον δρόμον,
ἀλλὰ καὶ αὐτός, ὡς ἔνεστιν εἰπεῖν, ἐντολήν τινα φυλάττει κρείττονος,
καὶ φαίνει μὲν τότε παρ᾽ ἡμῖν ὅτε ἔξεστιν αὐτῷ, ἀπέρχεται δὲ ὡς
καλούμενος. καὶ τούτων τοίνυν τὴν ἐξέτασιν ποιούμενος ἑώρων 7
παυόμενον μὲν τὸ τοῦ ἡλίου φέγγος, ἐπιλεῖπον δὲ καὶ τῆς ἡμέρας τὸ
φῶς, εὐθέως δὲ γινόμενον σκότος, καὶ σελήνην διαδεχομένην τὸν
ἥλιον, καὶ τὰ μὲν πρῶτα ἀνιοῦσαν μείονα, μετέπειτα δέ, προκόπτουσαν
τῷ δρόμῳ, φαντασίαν παρέχουσαν μείζονος. οὐκ ἐπαυόμην δὲ καὶ
περὶ ταύτης ζητῶν, καὶ τὴν αἰτίαν τῆς ἀφαιρέσεως καὶ τῆς προσθέ-
σεως ἀνηρεύνων, ὅτι τε καὶ αὐτὴ τηρεῖ τὸν κύκλον τῶν ἡμερῶν.
καί μοι ἐδόκει τὸ ἐντεῦθεν ὡς θεία τις ὑπάρχει οἰκονομία καὶ δύ- 8
ναμις κρειττόνων ἡ συνέχουσα τὰ ὅλα, ἣν καὶ θεὸν δικαίως ἂν
εἴποιμεν. καὶ τὸ λοιπὸν τὸν δημιουργὸν ἐπαινεῖν ἠρχόμην, τήν τε
γῆν πεπηγυῖαν ὁρῶν καὶ ζῴων διαφορὰς καὶ ποικίλα φυτῶν τὰ
ἐξανθήματα. οὐχ ἵστατο δέ μοι ἐπὶ τούτοις καὶ μόνοις ὁ νοῦς, ἀλλὰ 9
τὸ λοιπὸν ὅθεν ταῦτα τὴν σύστασιν ἔχει ζητεῖν ἠρχόμην, πότερον
ἔκ τινος συνόντος ἀεὶ τῷ θεῷ ἢ ἐξ αὐτοῦ καὶ μόνου, συνυπάρχοντος

F S

1 *ποιοῦσαν* S | *ταῦθ᾽ οὕτω* Jh | *σκοπῶν* F S, vgl. S. 2, 5 *ἑώρων*: Vind. gr. 49 und Ausgg. *σιωπῶν* **2** *καὶ* vor *τ. οὐρ.* < S **5** *βάσιν*: »Festigung u. Bewegung« *βάσιν καὶ κίνησιν* S **7** *τίς δὲ καὶ*] koe li ⟨i⟩S | *τοῦ δρ.* S 4 **8** *οὗτος* F: *οὕτως* S **9** *ἀλλὰ* < S | *ἐντολήν* »Gesetz« zapovědj: lěpovědj S **10** *μὲν* < S | *ἔξεστιν*] »ziemt« »zusteht« S | *δὲ πάλιν ὡς* S **11** *τοίνυν* < S **12** *μὲν* < S **13** *εὐθέως δὲ* F: »und sofort« S **14 f** *προκόπτ. τῷ δρ.* F 194v: »höher hinaufgehend« S **15** *φαντασίαν μοι* S | *μείζονα* S **18** *καί μοι — ὡς*: »Und es schien mir nun aber dieses«, etwa *καὶ ἐδόκει δέ μοι τοῦτο* oder *τοίνυν τοῦτο* S | *ὑπάρχειν* S **19** *κρείττονος* S **20** *τὸ λοιπὸν* ktomu: tomu S | *ἐπαινεῖν*] »Lob gebend« da⟨dy⟩ pochvalenie S **21** *κ. ποικ.* S 4v **22** *ἵσταται* (»bleibt haften«) S | *ἀλλὰ*] no: ni S **23** *τ. λ.* ktomu: ktože Sb | *ὅθεν* otkudu: ottudu S | *ταῦτα πάντα* S | *ζητῶν* S **24** *καὶ* < S

αὐτῷ οὐδενός. τὸ γὰρ ἐξ οὐκ ὄντων ⟨τι⟩ γεγονέναι οὐδὲ σκοπεῖν μοι καλῶς ἐδόκει, μὴ τέλεον ἀπιθάνου ⟨τοῖς πολλοῖς⟩ ὑπάρχοντος τοῦ λόγου· τὰ γὰρ γινόμενα ἐξ ὄντων πέφυκε τὴν σύστασιν ἔχειν. καὶ ὁμοίως ἀληθῶς ἐδόκει μηδὲν λέγειν ἀεὶ συνεῖναι τῷ θεῷ ἕτερόν τι παρ' αὐτόν, ἀλλ' ἐξ αὐτοῦ ⟨μόνου⟩ τὰ ὄντα γεγονέναι· καὶ γάρ πως ἔπειθέ με τὸ εὔτακτον τῶν στοιχείων καὶ ἡ περὶ αὐτὰ τῆς φύσεως εὐκοσμία.

III. Οὑτωσὶ δέ πως εὖ διατεθεῖσθαι νομίζων ἐπὶ τὴν οἰκίαν
ἀνεχώρουν τὴν ἐμήν. τῇ δ' ἐπιούσῃ, τουτέστιν σήμερον, ἐλθὼν
ἑώρων δύο τινὰς ὁμογενεῖς (ἀνθρώπους δὲ λέγω) διαπληκτιζομένους
καὶ διαλοιδορουμένους ἀλλήλοις, ἕτερον δ' αὖ πάλιν ἀφιματῶσαι
πειρώμενον τὸν πλησίον. ἤδη δέ τινες καὶ δεινότερα τολμᾶν ἤρχοντο. 2
ὃς μὲν γὰρ ἐσκύλευσε νεκρόν, καὶ τὸ κρυφθὲν ἤδη σῶμα τῇ γῇ πάλιν
ἐδείκνυεν ἡλίῳ, καὶ τὴν ὁμοίαν αὐτῷ ὕβριζεν εἰκόνα, βορὰν κυσὶ

2 Plato Phaedr. 265 B

F S D (von Z. 8 an) Ezn (von Z. 10 an)

1 ὄντος F | τι + S | γεγονέναι] πεποιηκέναι F S, πεφυκέναι Md | οὐδὲ: οὐδὲν Ausgg.; vgl. S. 153, 8 2 »sehr« vor καλῶς + S | μὴ tilgt Md | τέλεον] vgl. S. 170, 9 | Pl ἀπίθανον λόγον | ἀπιθάνου] τοῖς πολλοῖς + S, vgl. S. 155, 7 τοὺς πολλοὺς διατεθῆναι ποιεῖ 3 τὰ γ. γινόμενα wohl auch S, indem byvajuštago bo wohl aus byvajušta bo 4 ὁμοίως F: μοι ὡς S 4f ἕτερόν τι π. αὐτόν] »nämlich ein Anderes Unterschiedenes, aber nicht wie er« S 5 αὐτοῦ μόνου od. αὐτοῦ καὶ μόνου S 5f καὶ γάρ πως F: καὶ < S 7 εὐκοσμία nur Prot. 325 D bei Pl 8 Οὑτωσὶ δέ] es beginnt D (Dial. Adam. IV, 2 S. 136 Bakh.) nach den Worten ἀναγνωσθήτω τὸ δόγμα Οὐαλεντίνου | δὲ δή (od. δὲ οὖν od. δή) S: δή 2. Hd. D | πως ὡς S | νομίσας w. e. sch. S 9 ἐχώρουν F, viell. auch S | δὲ D 10 ἑώρων] »wir sehen« beginnt Ezn (Eznik, Wider die Sekten übers. von J. M. Schmid) I, 258 ff | ὁμογ... δὲ λέγω < D[r] | ὁμογ. S 5 | ἀνθρ. δὲ λέγω < Ezn | δὲ λέγω] λέγω δή D 11 καὶ λοιδορουμένους D: < Ezn | ἕτερον — πλησίον Z. 12] »gegenseitig sind sie dürstend nach Tod und Blut« Ezn | ἕτερος (ἕτερον corr.) πρὸς τὸν ἕτερον τὸν δ' αὖ D | ἀφιματῶσαι F S: ἀμφαιματῶσαι D; D[r] »deinde etiam caede multantes« (sowie auch Ezn) spricht für ἀμφαιματῶσαι. Aber schon ihre Vorlage konnte verdorben sein. ἀμφαιματῶσαι »ringsum blutig machen« gibt hier keinen Sinn« Bh 12 πειρώμενον S D: βουλόμενον F | ἤδη — νεκρόν Z. 13] »andere wühlen die Gräber auf« Ezn | ἤδη] ἰδού od. ἰδέ viell. richtig S | δὲ: οὖν? S | τολμᾶν: »zu tun« »zu vollbringen« S 13 ἔσκυλε D | κρυβὲν D | ἤδη < S 14 ἐδείκν. ἡλίῳ] praedae causa effodiebant D[r] | ἡλίῳ] »entkleidet und entehrt« + Ezn | τὴν — εἰκόνα] »vielleicht den achtbaren .., bedacht ihn nicht zu verbergen« Ezn | αὐτῷ S Md: οὕτως F D | ἐνύβριζεν D

καταλείπων τὸν νεκρόν. ὁ δὲ ξίφος ἐγύμνου καὶ ἐπὶ τὸν ὅμοιον 3
ἄνθρωπον . . ἐχώρει. καὶ ὁ μὲν φυγῇ τὴν σωτηρίαν πορίζειν ἤθελεν,
ὁ δὲ διώκειν οὐκ ἐπαύετο, οὐδὲ τοῦ θυμοῦ κρατεῖν ἤθελε. καὶ τί
δεῖ πλείονα λέγειν, ἀλλ᾽ ὅτι χωρήσας ἐπ᾽ αὐτὸν εὐθέως ἔπαιεν τῷ
ξίφει; ὁ δ᾽ ἱκέτης τῷ πλησίον ἐγίνετο καὶ χεῖρας ἱκεσίας ὤρεγεν, καὶ
τὴν μὲν ἐσθῆτα διδόναι ἤθελεν, μόνον δὲ τὸ ζῆν ἔχειν ἠξίου. ὁ δ᾽
οὐκ ἔθραυεν τὸν θυμόν, οὐδ᾽ ἠλέει τὸν ὁμογενῆ, οὐδὲ ἑαυτὸν διὰ
τῆς εἰκόνος ἐν ἐκείνῳ βλέπειν ἤθελεν, ἀλλ᾽ ὡς ἄγριος θὴρ τῷ ξίφει
τῆς βορᾶς ἤρχετο, ἤδη δὲ καὶ τὸ στόμα τῷ ὁμοίῳ προσέφερε σώματι·
τοσοῦτος γὰρ ἦν τῷ θυμῷ. καὶ ἦν ἰδεῖν τὸν μὲν ἤδη κείμενον, τὸν
δὲ λοιπὸν σκυλεύοντα καὶ μηδὲ γῇ σκεπάζοντα τὸ σῶμα, ὃ τῆς
ἐσθῆτος ἐγύμνωσεν. πρὸς δὲ τούτοις ἕτερος προσῆν, ὃς τοῦ πλησίον 4
γυναῖκα παίζειν ἤθελε, λῃστεύων γάμον ἀλλότριον καὶ ἐπὶ παράνο-

F S D Ezn

1 καταλιπὼν S D | ὁ δὲ — θυμῷ Z. 10] »Manchmal geschieht es, daß einer die Flucht ergreift und sich irgendwohin rettet, um sich das Leben zu erhalten, der andere aber, von Zorn entflammt, mit dem Schwert nachlaufend, läßt nicht nach, bis er den Zorn befriedigt: woher kommt dieser unersättliche Zorn? Ein anderer zieht dem Nächsten die Kleider aus, und wenn er sich dagegen widersetzt, entzieht er ihm sogar das Leben« Ezn | ὁ δὲ — ἐχώρει Z. 2 verbindet Bh mit dem Vorhergehenden | ὁ δὲ] τὸ δὲ F D: wie wenn er ἕτερος πάλιν gelesen, übersetzt S | ὅμοιον] ὁμοπαθῆ S **2** ἄνθρωπον] »böswillig« »Böses sinnend« + S | τ. σωτ. πορ.] vgl. Plato Protag. 321 B **3** ὁ] »dieser« S, aber schwerl. las S οὗτος | διώκειν F D: διώκων S Ezn Ausgg. | οὐκ ἐπαύετο] »wollte nicht ablassen« = παύεσθαι οὐκ ἤθελεν S **4** πλέον D | ἀλλ᾽ F 195 | ἔπαισε D **5** δὲ D | τῷ πλησίον D S: τοῦ πλησίον F | ἐγένετο D **6** ἔχειν] »zu empfangen« S **7** οὐκ] οὐδαμῶς übersetzt S | οὐδὲ D | ἐθραύετο D | οὐδὲ ἑαυτὸν — βλέπειν Z. 8 < S **8** ἐν ἐκείνῳ] ἐκείνω D, corr. ἐκείνου | ἄγριος] S 5v **9** τ. βορᾶς] »zu verzehren« jasti (jesti Sa), viell. aus jastija τῆς βορᾶς | ἤδη δὲ καὶ] i eže ubo übers. S | στόμα: σῶμα D **10** καὶ ἦν — ἐγύμνωσεν Z. 12 < Ezn | ἤδη κείμενον S: ἠδικημένον F D **11** λοιπὸν σκυλ.: αὐτὸν σκυλ. w. e. sch. S (odiraja ego: odiraema S) | γῆν las schwerl. S (wohl zemlju statt zemleju) | ὃ τῆς] ὁ καὶ τῆς (od. οὗ τὸ σῶμα καὶ τῆς) S, τῆς (γὰρ + 2. Hd.) D: ein ὡς übergeschr. in F **12** πρὸς — λῃστεύων Z. 13: »Wieder ein anderer hat es sich in den Sinn gesetzt, zu bestehlen« Ezn | δὲ: δὴ F | προσῄει 2. Hd. D: < S | ὅς τις S | τὴν vor τοῦ + Bh | τοῦ] αὐτοῦ (od. ἑαυτοῦ) + viell. S (τις τοῦ něky — od. in kyj — ego od. svoego: iněkoego S) **13** λῃστ. δὲ od. τε S | ἀλλότρ.] αὐτοῦ S

μου κοίτην τραπῆναι παρορμῶν, τὸν γεγαμηκότα γνήσιον πατέρα
γίνεσθαι μὴ θέλων. ἐντεῦθεν καὶ ταῖς τραγῳδίαις πιστεύειν ἠρχόμην, 5
καὶ τὸ Θυέστειον δεῖπνον ἀληθῶς ἐδόκει μοι γεγονέναι, πιστεύω δὲ
καὶ τῇ Οἰδιπόδαο παρανόμῳ ἐπιμιξίᾳ, καὶ τῇ τῶν ἀδελφῶν διὰ ξίφους
φιλονεικίᾳ οὐκ ἀπιστῶ. τοσούτων τοίνυν καὶ τοιούτων θεατὴς γε- 6
νόμενος ἐγώ, πόθεν ταῦτα ἀναζητεῖν ἠρχόμην, τίς δὲ καὶ ἡ τῆς
κινήσεως αὐτῶν ἀρχὴ καὶ τίς ὁ τοσαῦτα κακὰ ἀνθρώποις μηχανη-
σάμενος, πόθεν τε ἡ εὕρεσις αὐτῶν καὶ τίς ὁ τούτων διδάσκαλος.
καὶ τὸν μὲν θεὸν ποιητὴν τούτων λέγειν τολμᾶν οὐχ οἷός τε ἦν,
ἀλλὰ μὴν οὐδὲ ἐξ αὐτοῦ τὴν ὑπόστασιν ἔχειν, οὐδὲ τὴν τοῦ εἶναι
σύστασιν. πῶς γὰρ οἷόν τε ἦν ταῦτα περὶ θεοῦ ἐννοεῖν; ὃς μὲν γάρ 7
ἐστιν ἀγαθὸς καὶ τῶν κρειττόνων ποιητής, τῶν δὲ φαύλων αὐτῷ

3 Lukian De sacrif. 5 — **4** Odyss. 11, 271ff. Soph. Oed. T. 457ff. Diod. Sic. IV, 64f — **6** vgl. Tertull. De praescr. 7. Eus. KG V, 27

F S D Ph (von Z. 6 an) Ezn (Z. 6ff) — **6** vgl. Titus Bostr. C. Manich. 4

1 *τὸν — θέλων* Z. 2] »dem wahren Gatten nicht gebend ächter Vater zu sein« S **2** *γίγνεσθαι* F, *γενέσθαι* D | *ἐντεῦθεν — ἐγώ* Z. 6 anders Ezn | *καί*: *δὲ* Ausgg. | *πιστεύων* S **3** *τὸ Θυέστ. δεῖπνον*: *τοῦτό ἐστι δι' ὧν* D | *θυέστιον* F | *ἀληθῶς*: »wahr« od. »Wahrheit« S | *πιστεύειν* F | *δὲ* < D **4** *τὴν* (so auch F) *Οἰν. πάροινον ἐπιθυμίαν κ. τὴν . . φιλονεικίαν* D | *Οἰδιπόδαο* oder *Οἰδίπου* Bo: *Οἰνομάου* F D S (Oinomos S); aber vgl. z. B. Euseb. KG V, 1, 14 *Θυέστεια δεῖπνα καὶ Οἰδιποδείους μίξεις*, Athenag. Suppl. 3 *τρία ἐπιφημίζουσιν ἡμῖν ἐγκλήματα, ἀθεότητα Θυέσθεια δεῖπνα Οἰδιποδείους μίξεις* | *ἐπιμιξία* S: *ἐπιθυμία* F (vgl. D) **4** *τῷ ἀδελφῷ* F **5** *ἀπιστεῖν* F | *τοιούτων τ. κ. τοσούτων* S **6** *πόθεν — διδάσκαλος* Z. 8] es beginnt Ph (Photius Biblioth. 236 S. 304b, 24) (vorausschickend *Ἀνεγνώσθη τοῦ αὐτοῦ ἐκ τοῦ περὶ αὐτεξουσίου τῆς ἴσης καὶ αὐτὸς τυχὼν συντομίας*) *πόθεν τὰ κακὰ καὶ τίς ὁ τούτων ποιητής;* | *πόθεν — διδάσκαλος* Z. 8] »Woher kommt dieses alles, wer ist der Anfang und der Bewerkstelliger solcher Ungereimtheiten, wenn nicht anders irgendeine böse Kraft es ist, die alle diese Ungereimtheiten zu bewirken zuläßt und selbst deren Erschafferin ist?« Ezn **7** *αὐτῶν*] *τούτων* schwerl. S | *κατὰ ἀνθρώπων* F D: *κακὰ ἀνθρώποις* S **8** *εὕρεσις* S 6 | *τούτων*] *αὐτῶν* las schwerl. S **9** *καὶ τὸν — προσίεται* S. 153, 3] *ὁ μὲν γὰρ θεὸς οὐκ ἔστιν, ὅτι μηδὲ τούτοις ἥδεται, ἀλλὰ καὶ τοὺς δρῶντας αὐτὰ βδελύσσεται* Ph | *καὶ τ. μ.*: »denn« Ezn | *ποιητὴν τούτων* D S: *τούτων ποιητὴν* F | *τολμᾶν* < S | *οἷον τε* F **10** *ἀλλὰ μὴν* < S | *οὐδὲ — σύστασιν* Z. 11 < Ezn **11** *γὰρ οἷόν τε* < S | *ὅς*] *ὁ* D, *ὡς* S **12** *ἐστιν* < D S

πρόσεστιν οὐδέν· ἀλλ᾽ οὐδὲ τοῖς τοιούτοις χαίρειν πέφυκεν, ἀπαγορεύει
δὲ καὶ τὴν γένεσιν αὐτῶν, καὶ τοὺς μὲν χαίροντας τούτοις ἀποβάλ-
λεται, τοὺς δὲ φεύγοντας αὐτὰ προσίεται. καὶ πῶς οὐκ ἄτοπον ἦν
τὸν θεὸν τούτων λέγειν εἶναι δημιουργόν, τὸν ταῦτα παραιτούμενον;
οὐδὲ γὰρ ἂν ἐβούλετο μὴ εἶναι αὐτά, εἰ πρῶτος αὐτῶν ποιητὴς
ὑπῆρχεν αὐτός· τοὺς γὰρ προσιόντας αὐτῷ μιμητὰς αὐτοῦ γίνεσθαι
θέλει. ὅθεν ἄλογον ἔδοξεν εἶναί μοι ταῦτα προσάπτειν αὐτῷ, ἢ ὡς 8
ἐξ αὐτοῦ γεγονότα ἢ (εἰ καὶ τὰ μάλιστα συγχωρῆσαι δεῖ ἐξ οὐκ ὄντων
δυνατὸν εἶναί τι γίνεσθαι) ὅτι καὶ τὰ κακὰ ἐποίησεν αὐτός. ὁ γὰρ
»ἐκ τοῦ« οὐκ εἶναι »εἰς τὸ εἶναι« αὐτὰ »ποιήσας« οὐκ ἂν ἐκ τοῦ εἶναι εἰς
τὸ μηκέτι εἶναι αὐτὰ ἀνῄρει πάλιν. ἢ τοῦτο ἀνάγκη λέγειν ὡς ἦν
ποτε καιρός, ὅτε τοῖς κακοῖς ἔχαιρεν ὁ θεός, νῦν δὲ οὐκέτι; ὅπερ
ἀδύνατον εἶναί μοι δοκεῖ, λέγειν τοῦτο περὶ θεοῦ· ἀνοίκειον γὰρ τῆς
φύσεως αὐτοῦ τοῦτο προσαρμόζειν αὐτῷ. διόπερ ἔδοξέν μοι συν- 9

10 Hermas II, 1, 1 — 12 vgl. Symp. 8, 16 S. 105, 19ff

F S C (von Z. 14 an) D Ph Ezn

1 πρόσεστιν übersetzt nicht ausdrücklich S | ἀλλ᾽ < S | χαίρ. πέφ.] χαίρει S 2 τὴν γεν. — τούτοις: »die Werke und die Vollbringer« Ezn 2f ἀποβάλλεται — προσίεται] »denn das Böse ist unverträglich mit seiner Natur« Ezn 3 καὶ πῶς — αὐτῷ Z. 14 < Ph Ezn | ἄτοπον: »böse« S | ἦν < D 4 εἶναι < D 5 οὐδὲ F 195v: οὐ w. e. sch. S | αὐτά] ταῦτα D | πρῶτον übersetzt S 6 μιμ. αὐτῷ D 1. Hd.: »ihm nachahmen und seine Nachfolger sein«, viell. richtig S | γενέσθαι D 7 ἔδειξεν D | αὐτῷ] τῷ θεῷ F 8 ἢ + D: es vor ὅτι Z. 9 zu setzen schlägt Bh vor 8 συγχ. δεῖ] συγχωρήσειεν D (»ipso indulgente« Dr) 9 γενέσθαι D 10 εἰς τὸ εἶναι ἰέναι Jh | τοῦ εἶναι S 6v 10f εἰς τὸ μηκέτι εἶναι αὐτὰ < D, εἰς μὴ εἶναι τὸ ἔτι S, viell. las S am Rand εἰς μὴ τὸ ἔτι εἶναι 11 αὐτὰ < S | ἀνῄρει· πάλιν F | ἢ εἰ τοῦτο (»et videbitur« Dr) D, εἰ γὰρ (εἴγε?) καὶ τοῦτο S, (πάλιν) τε τοῦ F; ἢ ποῦ Jh | λέγειν] λέγω δὲ las schwerl. S, wohl rekuže aus rešti 12 οὐκέτι < D: οὐ w. e. sch. S 13 ἀδύνατον] »impossibile et valde indecens« Dr | εἶναι < S | ἀνοίκιον F, ἀνοικεῖον D | γὰρ < D 13f αὐτοῦ τῆς φύσεως D: τοῦτ᾽ ἐστὶ τῆς(?) φύσεως τοῦ θεοῦ ὡς od. ὥστε S 14 προσαρμ.] vgl. Plato Soph. 238 C | αὐτῷ < D | διόπερ] wieder Ph 304b, 25—36 Ezn Z. 292ff. C in Coisl. 276 Bl. 141, 19—143v Holl S. 183—187. Am Rand v. 1. Hd. ΑΓΛΑΟΦΩΝ; Lemma τοῦ αὐτοῦ (voraufgeht Meth. De res. II, 10, 1—6) ἐκ τοῦ περὶ αὐτεξουσίου | δι᾽ ὅπερ F C | ἔδοξέν μοι: »wird angenommen« Ezn

υπάρχειν τι αὐτῷ, ᾧ τοὔνομα ὕλη, ἐξ ἧς τὰ ὄντα ἐδημιούργησεν, τέχνῃ σοφῇ διακρίνας καὶ διακοσμήσας καλῶς· ἐξ ἧς καὶ τὰ κακὰ εἶναι δοκεῖ. ἀποίου τε γὰρ καὶ ἀσχηματίστου οὔσης αὐτῆς, πρὸς δὲ τούτοις καὶ ἀτάκτως φερομένης, δεομένης τε τῆς τοῦ θεοῦ τέχνης, οὐκ ἐφθόνησεν οὗτος ὥστε διὰ παντὸς καταλιπεῖν αὐτὴν οὕτως φέρεσθαι, ἀλλὰ δημιουργεῖν ἤρχετο καὶ ἀπὸ τῶν χειρίστων αὐτῆς τὰ κάλλιστα διακρίνειν ἤθελεν, καὶ οὕτως γοῦν ἐδημιούργησεν ὅσα ἐξ αὐτῆς ἥρμοζεν θεῷ δημιουργεῖν. τὰ δ' ὅσα αὐτῆς ὡς ἔπος εἰπεῖν τρυγώδη ἐτύγχανεν, ταῦτα ἀνάρμοστα ὄντα πρὸς δημιουργίαν ὡς εἶχεν κατέλιπεν, κατ' οὐδὲν αὐτῷ προσήκοντα· ἐξ ὧν δοκεῖ μοι νῦν παρὰ ἀνθρώποις ἐπιρρεῖν τὰ κακά. οὕτως ἔδοξέν μοι εὖ ἔχειν φρονεῖν. σὺ δέ, ὦ φίλε,

6 vgl. De creatis 6. 9

F S C D Ph Ezn

1 *τι*] *τε* D, »aliquid« D^r | nach *αὐτῷ* in S mit roter Tinte »Dies die Untersuchung, ob eine Materie mit Gott ist oder nicht« | *ᾧ*] *η* F, < S Ph | *τοὔνομα*] »ich sage eine gewisse« *τοῦτ' ἐστί τις* w. e. sch. S | *τὰ ὄντα*] »omnia quae sunt« D^r, *ταῦτα* S, »alle Geschöpfe« Ezn, < C **1 f** *τέχνῃ — καλῶς* < Ph **2 f** *ἐξ — δοκεῖ* < C **3** *ἀποίου τε*: *ἀποιήτου* D | *πρὸς δὲ τ.* < Ezn | *δὲ*] *δὴ* Ph **4** *ἀτάκτως*] »flatterhaft ausgleitend« Ezn | *δεομ. — οὗτος* Z. 5 < Ph | *τε* < C | *τῆς*] *αὐτῆς τῆς*(?) S | *οὐκ — ὥστε . . καταλ.* Z. 5] »Gott ließ sie aber nicht« Ezn **5** *οὗτος*] *αὐτὸς* C S (porevnova on »neidete er« Masing, porevnovan S), »desiderio eius« D^r | *ὥστε* Bo] *οὔτε* F D S, *οὐδε* C, *οὐ* Ph^b, *καὶ οὐ* Ph^a | *καταλιπεῖν*] *καταλειπεῖν* C (aber über *εἰ* v. alter Hand *ι*): *κατέλιπεν* S Ph. Schwerl. hat Meth. nach *φέρεσθαι* etwa ein *ἠνέσχετο* weggelassen | *ἀεὶ οὕτως* (»so« sice: sim S) S **6** *ἀλλα δὴ* C | De creat. 6 *τούτων* (*τῶν στοιχείων*) *ἀγενήτως προϋφεστηκότων καὶ πλημμελῶς φερομένων ὁ θεὸς διακρίνας ἐτεχνάσατο τὰ πάντα.* 9 *τὸν θεὸν ἦρχθαι τοῦ διοικεῖν . . καὶ κατακοσμεῖν τὴν πρότερον ἄμορφον οὖσαν ὕλην* **7** *καὶ* vor *οὕτως* < S falls nicht ursprüngl. otlučati ⟨i⟩ | *οὕτως γοῦν*? Ezn | *γοῦν* C D Ph S: < F | *ὅσα ἐξ — δημιουργεῖν* Z. 8 < D **8** *δημ.* S 7 | *τὰ δ' — τὰ κακά* Z. 11 in D nochmals S. 156, 17 ff | *τὰ δὲ* C Ph: »und« Ezn | *αὐτῆς — εἰπεῖν* < D S. 156 Ezn | *ὡς ἔ. εἰπεῖν*: *ἐποίει* D | *τρυγώδη*] »Bodensatz (po dno: podjnena S), nämlich Hefe« S; vgl. auch Eznik Z. 415 **9** *τ. ἀνάρμ. ὄντα*] *οὐκ ὄντα χρηστὰ* D S. 156 | *ὄντα* < C | *πρὸς* C 141^v | *ὡς εἶχεν*] *ταῦτα* D S. 156: < Ezn | *εἶχεν*: »erant incondita atque incomposita« D^r | *κατέλειψε* D (auch S. 156) **10** *κατ' οὐδὲν αὐτῷ προσήκοντα* < Ph Ezn | *κατὰ μηδὲν* D S. 156 | *ἐξ ὧν*] *ὅθεν* D S. 156; »und von diesem Bodensatz« Ezn | *νῦν π. ἀνθρ.* < D S. 156 | *νῦν* < S | *π. ἀ.* < Ph | *παρ'* D **11** *ἐπιρρεῖν* C D (S. 156, 19 *σπείρειν* D) Ph: *ἐπαίρειν* F | *τὰ κακά*] es endet Ph | *οὕτως — μέμφομαι* S. 155, 6 < Ezn | *εὖ ἔχειν φρονεῖν* auch D^r, nur *ἔχειν* D | *ἔχειν καὶ φρον.* imeti i smysliti S | *σὺ δέ — ποθῶ* S. 155, 2 < D | *σὺ δὲ*] »nun« + S

εἴ τινά σοι δοκεῖ μὴ καλῶς εἰρῆσθαι πρὸς ἐμοῦ, ἀναφέρων λέγε· καὶ
γὰρ πάνυ περὶ τοιούτων ἀκούειν ποθῶ.

IV. *ΟΡΘΟΔ.* Τὴν μὲν προθυμίαν ἀποδέχομαι τὴν σήν, ὦ φίλε,
καί σου τὴν περὶ τὸν λόγον σπουδὴν ἐπαινῶ· ὅτι δὲ περὶ τῶν ὄντων
οὕτως διετέθης, ὡς ἄρα ἐξ ὑποκειμένης τινὸς οὐσίας ταῦτα ἐδημιούρ-
γησεν ὁ θεός, οὐ πάνυ τι μέμφομαι. ὡς ἀληθῶς γὰρ ἡ τῶν κακῶν
γένεσις οὕτω τοὺς πολλοὺς διατεθῆναι ποιεῖ. καὶ γὰρ πρὸ σοῦ τε 2
καὶ ἐμοῦ πολλοί τινες ἄνδρες ἱκανοὶ περὶ τούτου τὴν μεγίστην ζήτησιν
ἐποιήσαντο. καὶ οἱ μὲν ὁμοίως διετέθησάν σοι, οἱ δ' αὖ πάλιν τὸν
θεὸν τούτων δημιουργὸν ἀπεφήναντο, σύγχρονον αὐτῷ ὑπόστασιν
δοῦναι πεφοβημένοι· κἀκεῖνοι ἐκ τοῦ φοβηθῆναι τῶν κακῶν ποιητὴν
εἰπεῖν τὸν θεὸν σύγχρονον αὐτῷ δοῦναι τὴν ὕλην ἔδοξαν. καὶ συνέβη
ἑκατέροις ἐκ τοῦ μὴ κατ' ἐπιστήμην τοῦ ἀληθοῦς φοβηθῆναι τὸν
θεὸν τὸ μὴ καλῶς εἰπεῖν. ἕτεροι δὲ τὴν ἀρχὴν [καὶ] περὶ τοῦ τοιούτου 3
ζητεῖν παρῃτήσαντο, ὡς οὐκ ἔχοντος τέλος τοῦ τοιούτου ζητήματος.

3 Symp. S. 80, 17f. De autex. S. 165, 13f. 170, 1f. Plato Protag. 361 D

F S C D Ezn — **11** vgl. Tit. Bostr. C. Manich. 1 S. 1, 10 Lagarde

1 *μὴ καλῶς* < C | *πρός με ἀνθυποφέρων* C **2** *πάνυ γὰρ* S | *τοιούτων*] *τούτων* Ausgg. **3** *ορθ* am Rand in F, *Μεθόδιος* fortan stets C, *ΑΔ.* D; D S. 142, 15ff nicht wörtlich | *Τὴν — φίλε*] *ἀποδέχομαι σου τὴν προθ.* D **4** Pl *ἐπαινῶ σου τὴν προθυμίαν καὶ τὴν διέξοδον τῶν λόγων* | *σου* < D | *π. τῶν σῶν λόγων* C | *ἐπαινῶ* < D | *ὅτι* C D S: *ὃ* F **5** *οὕτω* C (D?) **5f** *ἐδημιούργησεν* F 196 **6** *οὐ π. τι μέμφ.*] anders D | *τί* F: ? S | *καὶ γὰρ ὡς ἀληθῶς* D **7** *γένεσις*: *ζήτησις* D | *τοὺς πολλοὺς*: *πλείστους* D | *διατεθ. ποιεῖ*: »setzt viele in Verlegenheit« Ezn | *καὶ γὰρ — οἱ μὲν* Z. 9] *πολλοὶ γὰρ* D | *πρὸ — ἐμοῦ* Z. 8 < Ezn **7f** *σοῦ τε καὶ* < S **8** *ἱκανῶς* od. *ἱκανὴν* S, *καὶ ἱκανοὶ* C | *τὴν τούτου* F, *τοῦ τοιούτου* C | *τ. μεγίστην* < S **9** *καὶ οἱ μὲν — εἰπεῖν* Z. 14: »Die einen wollten etwas gleich Gott anfangsloses aufstellen, die andern aber neben ihm eine Materie, welche sie *ὕλη* nennen, (sagend) daß er aus ihr die Geschöpfe erschaffen habe« Ezn | *σοι διετέθησαν* D **10** *συγχρ.* S 7ᵛ | *αὐτῷ*: *τούτῳ* S **11** *δοῦναι*: »zu sagen« rešti S | *κἀκείνοις* C: *ἕτεροι δὲ* D **12** *δοῦναι*: »zu sagen« glati S | *ἔδοξεν* C **13** *ἑκατέροις* C D: *ἀμφοτέροις* F | *ὡς μὴ* jako i ne . . [ne] S **14** *ἕτεροι — προθύμως κἀγὼ* S. 156, 5 < D S. 144, 1ff, nur *ἐγὼ δὲ διὰ τὴν σὴν προθυμίαν* | *δὲ*: *πάλιν* S | *τ. ἀρχὴν — τοιούτου*: »gänzlich« Ezn | *καὶ* zu tilgen od. vor *τὴν ἀρχὴν* zu setzen, Md **15** *ζητεῖν*: »zu suchen und zu erforschen« (*ἐξετάζειν*?) S | *τέλος* C F: *τέλους* S

ἐμὲ δὲ τὰ κοινὰ τῆς πρὸς σὲ φιλίας παραιτεῖσθαι τὸ ζητούμενον
οὐκ ἐᾷ· καὶ μάλιστα ὅτε τὴν προαίρεσιν ἀπαγγέλλεις τὴν σήν, ὡς οὐ
προλήψει κρατούμενος (εἰ καὶ τὰ μάλιστα οὕτω πως ἐξ ἃν ὑπενόησας
ἔδοξας ἔχειν τὰ πράγματα), ἀλλ᾽ ἐν ἐπιθυμίᾳ τῆς τοῦ ἀληθοῦς γνώ-
σεως καθεστάναι λέγεις. ὅθεν προθύμως κἀγὼ ἐπὶ τὸν τῆς ζητήσεως
τραπήσομαι λόγον. βούλομαι δὲ καὶ τουτονὶ τὸν ἑταῖρον ἀκροατὴν 4
γενέσθαι τῶν ἡμετέρων λόγων· καὶ γὰρ δοκεῖ πως κατά τι περὶ
τούτων ὁμοίως σοὶ δοξάζειν καὶ αὐτός. διὸ κοινὸν πρὸς ἀμφοτέρους
τὸν λόγον ποιεῖσθαι βούλομαι· ἃ γὰρ ἂν εἴποιμι πρὸς σὲ οὕτως
ἔχοντα, ταῦτα καὶ πρὸς τοῦτον ὁμοίως λέξω. εἴ σοι τοίνυν ἀληθῶς
περὶ τοῦ κρείττονος λέγειν εὐγνωμόνως δοκεῖ, πρὸς ἕκαστον ἀπό-
κριναι ὧν ἐρωτῶ· ἐκ γὰρ τούτων γενήσεται καὶ σὲ μὲν τὸ ἀληθὲς
μανθάνειν, κἀμὲ δὲ μὴ μάτην τοὺς λόγους ποιεῖσθαι πρὸς σέ.
ΟΥΑΛ. Ταῦθ᾽ ἅπερ εἶπας πράττειν ἑτοίμως ἔχω, καὶ διὰ τοῦτο 5

1 De autex. 8, 2. Plato Phaedr. 279 C — 2 vgl. De res. I, 2, 6 — 5 vgl. Plato Apol. 21 B — 8 vgl. z. B. Plato Protag. 317 C. 348 A

F S C D Ezn

1 *κοινὰ τ. πρ. σὲ φιλίας*] vgl. S. 165, 10 und Pl *κοινὰ γὰρ τὰ τῶν φίλων* | *παραιτ. — ἐᾷ* Z. 2] »genötigt« Ezn **2** *καὶ μάλιστα — λέξω* Z. 10 < C | *καὶ μάλιστα — προθύμως κἀγὼ* Z. 5] »und weil die Gegner nicht richtig blicken, entsprechend unserer Schwäche zur Gnade Gottes Zuflucht nehmend« Ezn **3** *τὰ μάλιστα* od. *μᾶλλον* S **5** *ὅθεν* < S | *ἐπὶ — λόγον* Z. 6] Pl *ἐπὶ ζήτησιν . . ἐτραπόμην* **6** *βούλομαι — λέγειν* Z. 11 < D | *βούλομαι — ἐρωτῶ* Z. 12] »zumal da wir hoffend vertrauen auf die Bereitwilligkeit der aufrichtigen Zuhörer« Ezn | *καὶ τουτονὶ*] *ἢ τοῦτον ἢ* S, vielleicht aber das 1. *ἢ* ili aus i = *καὶ* | *τὸν ἕτερον* F S **7** *καὶ γὰρ δοκεῖ*: *δοκεῖ γὰρ* S **8** *αὐτός* S 8 | *δι᾽ ὃ* F **9** *ἃ*] *ὡς* schwerl. S, wohl jakože (= *ὡς*) aus jaže (= *ἃ*) | *ἂν*: *ὑμῖν* S **10** *εἰ δέ σοι* S, *εἰς ὃ* C | *ἀληθῶς* < C **11** *τῶν κρειττόνων*? S | *λέγεις* C | *δοκῶ* d. Ausgg., dafür auch Bh, < C D: *πρόκειται* (vor *λέγειν*) S | *εὐγνωμόνως* verbinden S C (ebenso Bh) mit dem Folgenden (in S dazwischen mit roter Tinte »Es beginnt die Rede«) | *ἕκαστα* D **12** *ἐρωτῶμεν* S | *τούτου* D S: ? Ezn **12f** *καὶ σὲ . . κἀμὲ*: »ihnen« . . »uns« Ezn **12** *ταληθὲς* C: *τἀληθῆ* w. e. sch. S **12f** *τὸ ἀλ. μανθάνειν*] *γνῶναι* (+ 2. Hd.) *τὸ ἀλ.* D, aber für *μανθάνειν* Pl **13** *καὶ ἐμὲ* C D | *τ. λόγους μου*? S | *ποιεῖσθαι*] *προσίεσθαι* C | *πρ. σέ* < Ezn **14** *ΟΥ* am Rand in F, aber schwerl. ist der Unterredende von Methodius als Valentinianer gedacht, vgl. Symp. 8, 10 S. 93, 7 | *Ταῦθ᾽ — τοῦ λόγου* S. 157, 4 < C D, nur daß in D *ἑτοίμως ἔχω* S. 144, 5 und S. 142, 14 *οὐ γὰρ σπεύδω νικῆσαι κακῶς, ἀλλὰ ζητῆσαι ἀληθῶς* | *Ταῦθ᾽ — μαθεῖν* S. 157, 2 < Ezn | *ἔχων* (*ω* auf Rasur) F

μετὰ πάσης προθυμίας ἐκεῖνα πυνθάνου, ἐξ ὧνπερ νομίζεις δύνασθαί με τὴν ἐπιστήμην τοῦ κρείττονος μαθεῖν. οὐ γάρ μοι τὸ νικῆσαι πρόκειται κακῶς, ἀλλὰ τὸ ἀληθὲς ἐκμαθεῖν καλῶς· ὅθεν ἔχου τὸ λοιπὸν τοῦ λόγου.

ΠΕΡΙ ΘΕΟΥ ΚΑΙ ΥΛΗΣ

V. *ΟΡΘΟΔ.* Ὅτι μὲν οὖν ἀδύνατον ὑπάρχειν ἀγένητα δύο ἅμα, οὐδὲ σὲ ἀγνοεῖν νομίζω, εἰ καὶ τὰ μάλιστα δοκεῖς προλαβὼν τοῦτο προστεθεικέναι τῷ λόγῳ, τὸ πάντως ἐξ ἀνάγκης τὸ ἕτερον δεῖν λέγειν, ἢ ὅτι κεχώρισται τῆς ὕλης ὁ θεός, ἢ αὖ πάλιν ὅτι ἀμέριστος αὐτῆς τυγχάνει. εἰ μὲν οὖν ἡνῶσθαι τις αὐτὸν εἰπεῖν ἐθέλοι, ἓν τὸ ἀγένητον 2 λέξει· ἕκαστον γὰρ τούτων μέρος ἔσται τοῦ πλησίον· ἀλλήλων δὲ

2 De autex. 8, 3 — 3 vgl. De res. I, 2, 6

F S E C D Ph Ezn

2 *μοι*: »uns« Ezn 3 *κακῶς*] *καὶ κακῶς* (so) *πάθος* od. *ἀγών* (stradanie) S | (*εἰπὼν*) *ψεῦδος νικῆσαι* S. 165, 15 | *καλῶς* F 196^{v} 5 es beginnt Maximus bei Euseb., Praep. evang. VII, 22 (E^{1}) *ὅτι μὴ ἀγένητος ἡ ὕλη μηδὲ κακῶν αἰτία* E^{1o}, vgl. 21, 5 *Μαξίμῳ . . λόγος οἰκεῖος συγγέγραπται ὁ Περὶ τῆς ὕλης*; Orig., Philokal. c. 24 (E^{2}) ed. Arm. Robinson S. 212 *Περὶ ὕλης, ὅτι οὐκ ἀγένητος οὐδὲ κακῶν αἰτία. ἐκ τῆς Εὐσεβίου τοῦ Παλαιστιναίου εὐαγγελικῆς προπαρασκευῆς λόγου ἑβδόμου.* C No 431, 36 Holl. D S. 146, 15. Ph 304 b, 37 ff. Ezn Z. 325 6 *ΟΡΘΟΔ.*] am Rand *ὀρθ.* F | *οὖν* PhD: *γὰρ* schwerl. S., wohl bo aus ubo; < F E C | *ἀδύνατον* (< E^{1o} nach Köbert) *ὑπάρχειν* E C S: *ὑπάρχειν ἀδύνατον* F D E^{2p} | *ὑπάρχειν* < Ph | *ἀγέννητα* (doppeltes *ν*) stets E^{11} | *ἅμα* C 142 7 *οὐδὲ — νομίζω*: »ist es klar« Ezn | *εἰ καὶ — λόγῳ* Z. 8 < Ph 8 *προστεθ.* E D S: *προτεθεικέναι* F, *προτεθηκέναι* C | *τῷ λόγῳ* F C E D S: *τοῦ λόγου* Jh nach Pl Legg. IV, 723 C. VI, 772 E | *τὸ πάντως — τυγχάνει* Z. 10] *ἢ γὰρ ἡνῶσθαι ἢ κεχωρίσθαι αὐτὰ λέγειν ἀνάγκη* Ph, »Denn wo zwei zusammen sind, da muß etwas sein, das sie von einander scheidet« Ezn | *τῷ πάντως* FE^{2}, *πάντως* (*γὰρ* + 2. Hd.) D: S 8^{v} | *δεῖ* F C D 9 *ἀμέριστος*: *ἀχώριστος* 2. Hd. D | *αὐτῆς*: *ταυτης* C 10 vor *εἰ μὲν* »Zu denen, die sagen, daß Gott mit der Materie zusammen (geeint) ist« mit roter Tinte + S | *καὶ εἰ μὲν* D | *οὖν* < D S | *εἰ μὲν οὖν — λέγειν* S. 158, 6 < Ezn | *τις* < Ph | *αὐτὸν εἰπεῖν ἐθέλοι* E: *εἰπεῖν αὐτὸν ἐθέλοι* F, *αὐτῇ ἐθέλοιεν* (< *ἓν*) C, *αὐτῷ* (*αὐτὸν* Bh) *ἐθέλοι* D, *αὐτὸν λέγει* S, *λέξοι* Ph | *ἓν* < S 11 *λέξει* < Ph | *ἑκάτερον* E, *ἢ ἕκαστον* (< *γὰρ*) C, *ἓν* S 11 f *ἔσται . . ἔσται*: *ἂν . . ἂν* Ph^{a}

μέρη τυγχάνοντα οὐκ ἔσται ἀγένητα δύο, ἀλλ' ἓν ἐκ διαφόρων συν-
εστός. οὐδὲ γὰρ τὸν ἄνθρωπον ἔχοντα διάφορα μέλη κατακερματί-
ζομεν εἰς πολλὰ γενητά· ἀλλ' εἰ, ὡς ὁ λόγος ἀπαιτεῖ, ἕν τι γενητὸν
τὸν ἄνθρωπον πολυμερὲς πρὸς τοῦ θεοῦ γεγονέναι φαμέν, οὕτως
ἀνάγκη, εἰ [μὲν] μὴ κεχώρισται τῆς ὕλης ὁ θεός, ἓν τὸ ἀγένητον
εἶναι λέγειν. εἰ δὲ κεχωρίσθαι φήσει τις, ἀνάγκη εἶναί τι τὸ ἀνὰ 3
μέσον ἀμφοτέρων, ὅπερ καὶ τὸν χωρισμὸν αὐτῶν δείκνυσιν. ἀδύνατον
γὰρ ἐν διαστάσει ἐξετάζεσθαί τι ἀπό τινος, οὐκ ὄντος ἑτέρου καθ'
ὃ ἡ διάστασις ἑκατέρου γίνεται. ὅπερ οὐ μέχρι τούτου ἵσταται καὶ 4
μόνου, ἀλλὰ καὶ πλείστων ὅσων· ὃν γὰρ ἐπὶ τῶν δύο ἀγενήτων
εἴπαμεν λόγον, τοῦτον ἐξ ἀνάγκης ὁμοίως προχωρεῖν, εἰ τὰ ἀγένητα

3 vgl. Plato Phil. 18 E

F S E C D Ph Ezn

1 οὐκ — συνεστός Z. 1 f] ἀγένητον ἀλλ' οὐκ ἀγένητα ἔσται Ph | ἀλλ' ἓν ἐκ: ὡς οὐδὲ E | διαφόρων — ἔχοντα Z. 2 < E **1f** συνεστῶς u. συνεστώς F D 2. Hd. **2** οὐδὲ — λέγειν Z. 6 < D | ἔχ. διάφ. μέλη: μέρη ἔχοντα Ph | μέλη: μέρη E (vgl. Ph) **2f** κατακερματιζόμενα E **3** γέννητα stets E^{1i} | γενητά] μέρη S | ἀλλ' — λέγειν Z. 6 < Ph | ἀλλ' εἰ (εἰ < E^{1i}) ὡς E: ἀλλ' ἢ ὡς F C E^{2p}: ἀλλ' ὡς S | ἀπαιτεῖ] »zeigt« S **4** πολυμερὲς ζῷον S, πολυμελὲς Jh | τοῦ < E | γεγονός od. γενόμενον S **5** μὲν < E C S | ὁ < E^{1o} **6** λέγειν εἶναι E^{1o} | λέγειν] λέγεσθαι od. λέγεται übersetzt S, aber las schwerlich so, sdr. gletjsja wohl aus glati corrumpiert | εἰ δὲ] wieder D Ph 305 a, 2 | εἰ δὲ — πλησίον S. 159, 2] »Wenn er aber nicht in ihr ist und auch nicht in einem Teil derselben, so ist klar, daß etwas anderes als Scheideraum zwischen beiden ist, größer als beide, und es ergeben sich auch demgemäß nicht blos zwei gleich anfangslose, sondern drei, nämlich Gott, die Materie und der Raum, ja der Zwischenraum ist größer als beide« Ezn | κεχώρισται E^{2p} C Ph | φησίν· τίς F, ἤ φησιν C **7** vor ὅπερ + S »zu denen, die sagen, daß getrennt sei Gott von der Materie« | δεικνύει C D | ἀδύνατον — ὑπόστασιν S. 159, 4] τοῦτο δὲ ἤτοι ταὐτὸν ὂν ἥνωται θατέρῳ τῶν δύο, καὶ ἀνάγκη πάλιν ἢ ἕνωσιν ἢ χωρισμὸν πρὸς τὸ ἕτερον ζητεῖν. ἕνωσιν μὲν ἀδύνατον ἰδεῖν, εἴπερ θατέρῳ ταὐτὸν εἶναι καὶ ἡνῶσθαι δέδοται· ἡνοῦτο γὰρ ἂν οὕτως καὶ τὸ ἐξ ἀρχῆς, ᾧ ταὐτὸν εἶναι τοῦτο ἐδόθη. εἰ δὲ κεχωρίσθαι ἀπαιτεῖ ὁ λόγος, πάλιν τὸ χωρίζον ἀπαιτετέον, ἕως ἂν ἀπείρων ἡμῖν ἀγενήτων ἑσμὸς ἀναφανῇ Ph 305 a, 4—10: ἀδύνατόν τι χωρίζεσθαι ἀπό τινος, μὴ ὄντος τοῦ χωρίζοντος D S. 146, 7 f **9** ὅπερ S 9 | καὶ < C S **10** πλεῖστον ὅσον C, ὅσων (war schwer übersetzbar) < S | ὃν] »auf welche Weise« S | καὶ vor ἐπὶ + S | δύο ἀγεν.] γενητῶν C **11** εἴπομεν E, so nach Jh stets Plato | λόγον < E^{1i} | προσχωρεῖν »kommen« S: προχωρεῖ Ausgg. | εἰς τὰ E^{1o}, ἐπὶ τὰ C, εἶτα S

δοθείη τρία. καὶ γὰρ περὶ τούτων ἐροίμην ἄν, εἰ κεχώρισται ἀπ' ἀλλή-
λων ἢ αὖ πάλιν ἕκαστον ἥνωται τῷ πλησίον. εἰ μὲν γὰρ ἡνῶσθαί 5
τις εἰπεῖν ἐθέλοι, τὸν αὐτὸν ἀκούσει τῷ πρώτῳ λόγον· εἰ δ' αὖ πάλιν
κεχωρίσθαι, οὐ φεύξεται τὴν ἐξ ἀνάγκης τοῦ χωρίζοντος ὑπόστασιν.
VI. Ἂν δ' ἄρα τις καὶ τρίτον εἶναι λέξῃ λόγον ὡς ἁρμόζοντα
περὶ τῶν ἀγενήτων λέγεσθαι, τουτέστιν τὸ μήτε κεχωρίσθαι τὸν
θεὸν τῆς ὕλης μήτ' αὖ πάλιν ὡς μέρη ἡνῶσθαι, εἶναι δὲ καθάπερ
ἐν τόπῳ ⟨ἐν⟩ τῇ ὕλῃ τὸν θεὸν ἢ καὶ τὴν ὕλην ἐν τῷ θεῷ, τὸ συνέχον
ἀκουέτω, ὅτι ἐὰν τόπον τοῦ θεοῦ τὴν ὕλην εἴπωμεν, ἐξ ἀνάγκης
αὐτὸν καὶ χωρητὸν λέγειν δεῖ καὶ πρὸς τῆς ὕλης περιγραφόμενον.
ἀλλὰ μὴν καὶ ὁμοίως αὐτὸν τῇ ὕλῃ ἀτάκτως φέρεσθαι δεῖ, μὴ ἵστασθαι 2
δέ, μηδὲ μένειν αὐτὸν ἐφ' ἑαυτοῦ ἀνάγκη, τοῦ ἐν ᾧ ἐστιν ἄλλοτε
ἄλλως φερομένου. πρὸς δὲ τούτοις καὶ ἐν χείροσι γεγονέναι τὸν
θεὸν εἰπεῖν ἀνάγκη. εἰ γάρ ποτε ἄκοσμος ἦν ἡ ὕλη, ἐκόσμησεν δὲ

F S E C D (Z. 5ff) Ph (Z. 5ff) Ezn (Z. 11. 14ff)

1 δοθείη] δεήσει C | τρία < C | περὶ] ἐπὶ E | ἐροῦμεν C, ἐρωτῶμεν od. ἐρώμεθα S | ἂν ἀεὶ κεχ. F | ἀπ' < E **3** εἰπεῖν θέλοι F C, εἴποι E¹°, εἰπεῖν ἐθέλει E¹ⁱ | ἀκούσοι E¹° **4** τὴν < C | χωρίζ.] πρώτου od. πρώτην (προτέρου od. προτέραν) + S **5** Ἂν δ' ἄρα] Ph 305a, 11—35 | Ἂν — τουτέστιν τὸ Z. 6] εἰ δέ τίς φησι D 146, 24 | δὲ E | ἄρα F | εἶναι < S Ph | λέξοι F, λέξει C E¹ Phᵃ, »meint« S | ὡς — λέγεσθαι Z. 6 < Ph | ὡς < F C | ὡς ἁρμ.] »gleich«, »ähnlich« od. »geeignet« S **6** λέγεσθαι τούτων C | μήτε] μὴ E **6f** τῆς ὕλης τὸν θεόν E D **7** μήτε F, μηδ' C E² D Ph | ἐν μέρει F E¹° Ph, μέρει E¹ⁱ E²ⁱ | ἐπὶ μέρει »zu einem Teil« w. e. sch. S, < D | ἡνῶ|σθαι F 197 | δὲ < S | καθάπερ] ὡς Ph **8** ἐν < C | τόπῳ] τινὶ + S, καθάπερ + Ph | ἐν + S | τῆς ὕλης D | ἢ vor καὶ + F E: ἢ statt καὶ Bh | ἐν τῷ: ἐπὶ τῷ schwerl. S | τὸ συνέχον verb. F C (142ᵛ) D mit dem Vorhergehenden: < Ph **9** εἴπωμεν: λέγωμεν F **10** χωρητὸν — φερομένου Z. 13 kürzer in Ph | χωρ. — ἀνάγκη Z. 12 in D auch S. 150, 12ff; Bh tilgt die Stelle als unecht, weil in diesem Zusammenhang unvernünftig, obwohl sie sich schon bei Rufin findet | χωρητικὸν E¹° nach Giff. **11** ὁμοίως S 9ᵛ | τῇ ὕλῃ] »wie die Materie . . (muß) sie (od. »von ihr«)« S | ἀτάκτως < D (aber + Dʳ) u. S. 152, 1 | δεῖ < E | μὴ ἵστασθαι — φερομένου Z. 13 < D, aber liest es (bis ἀνάγκη Z. 12) S. 152, 2 **12** δέ: τε E | μήτε E² | ἑαυτοῦ· ἀνάγκη E² S | ἀνάγκῃ Md | ἀνάγκη, τοῦ < C, ἀν. καὶ τοῦ w. e. sch. S **12 f** ἄλλο ὡς ἄλλοτε S | ἄλλοτ' E **13** φερόμενον C | καὶ πρὸς S | πρὸς — ἐροίμην S. 160, 2 < Ph | πρὸς] D S. 148, 4 | δὲ: δὴ F D E² ? S **14** εἰ γὰρ — θεός S. 160, 2 Ezn Z. 336ff | εἰ γὰρ — ὕλη zweimal E¹° | ἦν ποτὲ ἄκοσμος (καὶ ἄκοσμος E¹°) E | ἄτακτος καὶ ἄκοσμος S: »schmucklos und qualitätslos und ungestaltet« Ezn

αὐτήν, εἰς τὸ κρεῖττον τρέψαι προαιρούμενος, ἣν ποτε ὅτ' ἐν ἀκοσμή-
τοις ἦν ὁ θεός. δικαίως δ' ἂν καὶ τοῦτο ἐροίμην, πότερον ἐπλήρου 3
τὴν ὕλην ὁ θεὸς ἢ ἐν μέρει τινὶ ὑπῆρχεν αὐτῆς. εἰ μὲν γὰρ ἐν μέρει
τινὶ τῆς ὕλης εἰπεῖν τις ἐθέλοι τὸν θεόν, πλεῖστον ὅσον μικρότερον
αὐτὸν τῆς ὕλης λέγει, εἴ γε δὴ μέρος αὐτῆς ὅλον ἐχώρησεν τὸν θεόν·
εἰ δὲ ἐν πάσῃ εἶναι λέγοι καὶ δι' ὅλης κεχωρηκέναι τῆς ὕλης, πῶς
ταύτην ἐδημιούργησεν φρασάτω. ἀνάγκη γὰρ ἢ συστολήν τινα τοῦ
θεοῦ λέγειν, ἧς γενομένης ἐδημιούργει ἐκεῖνο ἀφ' οὗ ὑπεχώρησεν,
ἢ καὶ ἑαυτὸν τῇ ὕλῃ συνδημιουργεῖν, οὐκ ἔχοντα ὑποχωρήσεως τόπον.
εἰ δὲ τὴν ὕλην ἐν τῷ θεῷ εἶναί τις λέξει, ὁμοίως ἐξετάζειν δεῖ, 4
πότερον ὡς διισταμένου αὐτοῦ ἀφ' ἑαυτοῦ, καὶ ὥσπερ ἐν ἀέρι ζῴων

3 vgl. Iren. Adv. haer. II, 1, 2

F S E C D Ph Ezn

1 ὅτε E D: < C | καὶ ἐν E^2 **1f** ἐν ἀκοσμήτοις καὶ ἀτάκτοις S: »in der schmucklosen und unförmigen und gestaltlosen« (»gehaltlosen« Schmid) Ezn und + »und mußte, wie die Materie, auch selbst ungeordnet sich hin und her treiben« (ἀτάκτως φέρεσθαι aus Z. 159, 11) **2** ἦν < C | δικαίως — πότερον: »Wie erachten sie wohl Gott? etwa, daß er in irgend einem Orte« Ezn | δίκαιον E^{1o} | δ' < D | τοῦτο ἐροῦμεν C, τοῦτον ἐροίμην τὸν λόγον E | π. δὲ Ph **3** ἢ μέρει F | τ. ὑπῆρχεν αὐτῆς F C: τ. τῆς ὕλης ἦν E, αὐτῆς ἐτύγχανεν Ph | εἰ μὲν — φρασάτω Z. 7] »Wenn sie sagen, daß der ganze Gott in der Materie sei, so wird doch, wie groß sie auch Gott nennen, die Materie größer als er befunden. Denn das, worin jemand ist, dieses, worin er ist, ist größer als der, welcher in ihm ist, weil es ihn ganz in sich zu enthalten imstande war« Ezn Z. 336ff | γὰρ] οὖν E^1 **4** τινὶ — θεόν < E^{1o}, — ὅσον < Ph | τῆς ὕλης < S, τῷ κρείττονι + D (nicht D^r) | θέλοι F **4f** μ. — λέγει: μικρότερος αὐτῆς Ph **5** αὐτὸν < E | λέγειν C | εἴ γε F E^2 D^r wohl auch S, εἰ E^1, ἅτε C Ph D | δὴ] δὲ E^{1i}: < E^2: ὡς S | μέρος — ὕλης Z. 6: ἐν μέρει αὐτῆς χωρηθείς· εἰ δὲ ἐπλήρου Ph | τὸν θεόν: αὐτόν E **6** εἰ δὲ ἐν πάσῃ auch Ezn Z. 352f | δ' E | λέγοι εἶναι E^{1o} | εἶναι < C | λέγοι — ὑπεχώρησεν ἢ Z. 8f anders Ezn Z. 353ff | κ. δι' ὅλ. κεχωρ. < E | δι' — ὕλης] »in die ganze Materie räumlich eingehe« S | δι' ὅλης] ολην C | τῇ ὕλῃ C E **7** ταύτην: αὐτὴν S | ἐδημ. φραστέον F, ἐδημ. φρασ. τις S, ἐδημιούργει φρασάτω E^{1i} E^2, ἐδημιούργει φραστέον E^{1o}, ἐδημιούργησεν Ph | ἢ E Ph: < F S C D **8** γινομένης F | ἐδημιούργησεν Ph **9** καὶ ἑαυτὸν — τόπον auch Ezn | αὐτὸν F Ph | ὑποχ. S 10 **10** εἰ δὲ S 10: Ezn Z. 360ff | τῷ < D | τις λέξει: »sie sagen« Ezn; τ. λέξοι C, λέγοι τις Ph | ὁ. ἐ. δεῖ: ῥητέον Ph **11** αὐτοῦ ἀφ' ἑ.: ἀπ' αὐτῆς S, ἀπ' αὐτοῦ D, ὑπ' αὐτοῦ C, ἀφ' αὐτοῦ Ph^a | καί: ἢ S; < Ezn **11f** ζ. ὑπ. γένη: »die Tiere« Ezn
11 ζῶον F, ζῷα D

ὑπάρχει γένη, διαιρουμένου καὶ μεριζομένου αὐτοῦ εἰς ὑποδοχὴν τῶν
γινομένων ἐν αὐτῷ, ἢ ὡς ἐν τόπῳ, τουτέστιν ὥσπερ ἐν γῇ ὕδωρ.
εἰ μὲν γὰρ εἴποιμεν ὡς ἐν ἀέρι, μεριστὸν ἀνάγκη τὸν θεὸν εἰπεῖν· 5
εἰ δʼ ὥσπερ ἐν γῇ ὕδωρ, ἣν δὲ ἄτακτος ἡ ὕλη καὶ ἀκόσμητος, πρὸς
δὲ τούτοις ἔχουσα καὶ κακά, τὸν θεὸν λέγειν ἀνάγκη τόπον εἶναι
τῶν ἀκοσμήτων καὶ τῶν κακῶν. ὅπερ οὐκ εὔφημον εἶναί μοι δοκεῖ,
ἐπισφαλὲς δὲ μᾶλλον. ὕλην γὰρ εἶναι θέλεις, ἵνα μὴ τῶν κακῶν
ποιητὴν εἴπῃς τὸν θεόν, καὶ τοῦτο φεύγειν προαιρούμενος δοχεῖον
αὐτὸν τῶν κακῶν εἶναι λέγεις.

Εἰ μὲν οὖν τὴν ὕλην ἐκ τῶν ὑποστάντων γενητῶν ὑπονοεῖν 6
ἀγένητον ὑπάρχειν ἔλεγες, πολὺν ἂν περὶ αὐτῆς ἐποιησάμην λόγον
εἰς ἀπόδειξιν τοῦ ὅτι ἀδύνατον ὑπάρχειν αὐτὴν ἀγένητον· ἐπεὶ δὲ

11 vgl. Plato Phaed. 115 D. Prot. 317 C

F S (bis Z. 6) E C D Ph Ezn

1 *ὑπάρχειν* E C D Ph S | *εἰς γένη* F, < D | *διαιρ. — αὐτῷ* Z. 2: »welche in ihr sind u. doch von ihr getrennt sind« Ezn | *διαιρ. κ.* < Ph | *αὐτοῦ* < jetzt S (wohl ursprünglich razděljaemu ⟨emu⟩) **1f** Pl Tim. 49 A *γενέσεως ὑποδοχήν* **2** *ἐν αὐτῷ*] *ἀπʼ* (oder *ἐξ*) *αὐτοῦ* S | *ὡς — τουτ.* < Ph | *τουτέστιν* < E^2 Ezn **3** *εἰ μὲν — ὕδωρ* Z. 4 < Ezn | *μὲν* < ? S | *εἴποιμι* C, *εἴποι τις* D; < Ph | *τ. θ. ε.*: *λέγειν τ. θ.* Ph | *εἶναι* vor od. nach *εἰπεῖν* + S **4** *δὲ ὥσπερ* C | *τὸ ὕδωρ* E^{1i} E^2 (*ὡς ὕδωρ ἐν τῇ γῇ* Ph): *εἰς τόπον περιγράφεσθαι* + S | *ἣν δὲ*: »von (der Mat.) sagen sie, daß« Ezn | *ἄτακτος*: »ungeeignet, qualitätslos« Ezn | *κ. ἄκοσμος ἡ ὕλη* Ph **4f** *πρὸς δὲ* (*δὴ* E^{1o} E^2 D Ph) — *κακά* Z. 5: »und böse« Ezn **5** *καὶ*] *τὰ* D | *κακά* < C S | *τόπον εἶναι* < Ph **6** *τῶν ἀκοσμ. καὶ* < Ezn, aber + »denn das Ungeheure und Qualitätslose war in ihm« | *τῶν*] *τούτων τῶν τε* D | *τ. κακῶν*] *κακῶν τούτων αἴτιον* Ph | *ὅπερ — μᾶλλ.* Z. 7] *κ. ὅρα γὰρ ὡς* Ph | *δοκεῖ*] ein Blatt fehlt in S **7** *ὕλην* C 143. In D vorher Worte des Drosserius S. 148, 24f | *ὕλην — λέγεις* Z. 9 anders Ezn, aber hat Z. 8 *δοχεῖον — εἶναι* Z. 9 | *γὰρ εἶναι θέλ.*] *συνεῖναι θέλῃς* D, *ὑποτιθέμενος* Ph **8** *εἴποις* D E^{1o}; *εἰπὼν* Ph^a, *εἰπεῖν* Ph^b | *τὸν θεὸν* vor *τ. κακῶν* C | *κ. τ. φεύγειν προαιρ.* < Ph | *φυγεῖν* F, *φάσκειν* C | *προαιρούμενος*] *λόγῳ ψιλῷ μόνον δοκεῖς φεύγειν, ἔργῳ δὲ ἐξεταζομένου τοῦ πράγματος* + D **9** *αὐτὸν*] *καὶ δημιουργὸν* + D (nicht D^r) | *εἶναι*] *τὸν θεὸν* D | *λέγεις*] *θέλεις* C, *ἀποφαίνει* D, (*ἀποφαίνεις* Bh) **10** *Εἰ μὲν — δοκεῖ* S. 162, 5 < Ph: *Εἰ μὲν — ὑπονοίας* S. 162, 1 < Ezn | *τῶν* F 197^v | *τ. ὑποστατῶν καὶ* C | *θέλῃς ὑπονοεῖν καὶ* D | *ὑπονοῶν* F **10f** *ἀγέν. ὑπον.* E^2 **11** *ἔλεγες*] *αὐτὴν* D | *πολὺν — ἀγένητον* Z. 12 < D | *αὐτῆς*] *ταύτης* F C **12** *ὅτι*] *εἶναι* C | *αὐτὴν ἀδύν. ὑπ.* C | *ἀγένητον* < E C | *ἐπεὶ δὲ*] *ἐπειδὴ* C

τὴν τῶν κακῶν γένεσιν αἰτίαν φὴς εἶναι τῆς τοιαύτης ὑπονοίας, διὰ τοῦτο ἐπὶ τὴν ἐξέτασιν τούτων ἔρχεσθαί μοι δοκῶ. φανεροῦ γὰρ γινομένου τῷ λόγῳ καθ᾽ ὃν τρόπον ἐστὶ τὰ κακά, καὶ ὅτι οὐχ οἷόν τέ ἐστιν ἀναίτιον τῶν κακῶν εἰπεῖν τὸν θεὸν ἐκ τοῦ ὕλην αὐτῷ ὑποτιθέναι, τὴν τοιαύτην ὑπόνοιαν ἀναιρεῖσθαί μοι δοκεῖ.

VII. Φὴς τοίνυν ἄποιον ὕλην συνυπάρχειν τῷ θεῷ, ἐξ ἧς τὴν τοῦ κόσμου γένεσιν ἐδημιούργησεν;

ΟΥΑΛ. Οὕτω μοι δοκεῖ.

ΟΡΘΟΔ. Οὐκοῦν εἰ ἄποιος ἐτύγχανεν ἡ ὕλη, γέγονεν δὲ κόσμος 2
πρὸς τοῦ θεοῦ, ἐν δὲ τῷ κόσμῳ αἱ ποιότητες, τῶν ποιοτήτων γέγονεν ποιητὴς ὁ θεός;

ΟΥΑΛ. Οὕτως ἔχει.

ΟΡΘΟΔ. Ἐπεὶ δέ σου καὶ λέγοντος πρόσθεν ἤκουον ὡς ἀδύνατον 3

3 Tert. Adv. Hermog. 10 — **5** vgl. Plato Pol. VIII, 533 C — **13** Plato Protag. 320 B

F E C D Ph (von Z. 6 an) Ezn (bis Z. 5)

1 *φὴς*] nach *φ* ist das Folgende bis *τοιαύτης ὑ* erloschen in F: *ἔφησθα* E | *εἶναι* nach *ὑπον.* in E^{2} | *θεοῦ εἶναι* C D (nicht D^{r}) | *τῆς τ. ὑπον.* < D | *τοιαύτ.*] *αὐτῆς* C **1f** *διὰ τοῦτο*: »Nunmehr« Ezn **2** *τοῦτ᾽* E | *τούτων*] *ταύτην* E^{2} | *ἔρχεσθαι*] *ἄρχεσθαι* C | *μοι δοκῶ*: *μοι δοκεῖ* F, *δοκεῖ* C, *δοκῶ* D: »ist es nötig« Ezn | *φανεροῦ — κακά* Z. 3: »und zu zeigen, woher das Böse kommt« Ezn | *φανεροῦ γὰρ* < C **3** *γενομένου* E D, *γενομ. μοι* E^{2}, *γινομένου γὰρ* C | *τῷ λόγῳ* Md: *τοῦ λόγου* Textzeugen | *ἔσται* C, *εἰσὶν* w. e. sch. F **3f** *οὐχ οἷόν τε* < Ezn **4** *αἴτιον* F C D (nicht D^{r}); aber vgl. 8, 2 *οὐδ᾽ οὕτως ἀναίτιον τῶν κακῶν δυνατὸν εἰπεῖν τὸν θεόν* | *εἰπεῖν* schon nach *ἔστιν* D **5** *ὑποτιθ. . . ὑπόν. ἀναιρ.* auch Pl | *τὴν — δοκεῖ* < Ezn | *μοι* < E^{2} | *δοκεῖ*: *νόει* E^{2}: *ὅτι εἰ τὰς ποιότητας μὴ οὔσας ἐδημιούργησεν ὁ θεὸς καὶ τὰς οὐσίας ὁμοίως* + F, wohl aus einer auf das Folgende sich beziehenden Randbemerkung **6** *ἔφης* D (ais D^{r}): Ph S. 305a, 36—305b, 13 *λέγε δὲ κ. ὧδε. φὴς* | *Φὴς — ἐχέτω* S. 163, 12 anders Ezn | *ἄποιον* < D^{r} **6f** *τὴν τοῦ* F E^{1o} C D Ph: *τὴν τοῦδε τοῦ* E^{2} (vgl. 10, 4), *τήνδε τοῦ* E^{1i} **8** *ΟΥΑ* F, *ΑΓΛΑΟΦΩΝ* C, < immer E | *οὕτως* C Ph^{b} | *μοι δοκεῖ*] *φημί* D. D + S. 150, 12—152, 2 *ἐξ ἀνάγκης καὶ χωρητὸν λέγειν* etc. wie oben VI, 1. 2 etwas verkürzt bis *ἀνάγκη* M **9** *ορθ* wie fortan stets F, *ΜΕΘΟΔΙΟΣ* C, < stets E | *ἡ* < D **10f** *γέγονεν ποιότης* F C, *ποιητὴς* (*ποιότης* E^{1o}) *γέγονεν* E **12** *ΟΥΑΛ.*: F C wie Z. 8 | *οὕτως ἔχει* < D **13** F C wie Z. 9 | *ἐπειδὴ* C *ἔμπροσθεν ἤκουον* (*ἤκουσα* E^{2}) E | *Ἐπεὶ — ἤκουον*: *ἐπειδὴ δέ σου ἀκούω ταῦτα λέγοντος* Pl | *σου — ἤκουον*] *σοι δοκεῖ καὶ* Ph | *σου κ. λέγ.*] *ἀναγιγνωσκομένου* D

ἐξ οὐκ ὄντων γίνεσθαί τι, πρὸς τὴν ἐρώτησιν ἀπόκριναι τὴν ἐμήν·
δοκεῖ σοι τὰς τοῦ κόσμου ποιότητας μὴ ἐξ ὑποκειμένων ποιοτήτων
γεγονέναι;

ΟΥΑΛ. Δοκεῖ.

ΟΡΘΟΔ. Ἕτερον δέ τι παρὰ τὰς οὐσίας ὑπάρχειν αὐτάς;

ΟΥΑΛ. Οὕτως ἔχει.

ΟΡΘΟΔ. Οὐκοῦν εἰ μήτε ἐξ ὑποκειμένων ποιοτήτων τὰς ποιό- 4
τητας ἐδημιούργησεν ὁ θεός, μήτε ἐκ τῶν οὐσιῶν ὑπάρχουσιν, τῷ
μηδὲ οὐσίας αὐτὰς εἶναι, ἐκ μὴ ὄντων αὐτὰς ὑπὸ τοῦ θεοῦ γεγονέναι
ἀνάγκη εἰπεῖν. ὅθεν περιττῶς ἐδόκεις μοι λέγειν ἀδύνατον εἶναι
δοξάζειν ἐξ οὐκ ὄντων γεγονέναι τι πρὸς τοῦ θεοῦ. ἀλλ᾽ ὁ μὲν περὶ 5
τούτου λόγος ὧδε ἐχέτω. καὶ γὰρ παρ᾽ ἡμῖν ὁρῶμεν ἀνθρώπους
ἐξ οὐκ ὄντων ποιοῦντάς τινα, εἰ καὶ τὰ μάλιστα δοκοῦσιν οὗτοι ποιεῖν
ἔν τινι. οἷον ἐπὶ τῶν ἀρχιτεκτόνων τὸ παράδειγμα λάβωμεν· καὶ
γὰρ [καὶ] οὗτοι ποιοῦσιν πόλεις οὐκ ἐκ πόλεων καὶ ναοὺς ὁμοίως
οὐκ ἐκ ναῶν. εἰ δ᾽, ὅτι τούτοις οὐσίαι ὑπόκεινται, οἴει ἐξ ὄντων 6
αὐτοὺς ταῦτα ποιεῖν, σφάλλῃ τῷ λόγῳ. οὐδὲ γὰρ ἡ οὐσία ἐστὶν ἡ
ποιοῦσα τὴν πόλιν ἢ αὖ πάλιν τοὺς ναούς, ἀλλ᾽ ἡ περὶ τὴν οὐσίαν
τέχνη· ἡ δὲ τέχνη οὐκ ἐξ ὑποκειμένης τινὸς ἐν ταῖς οὐσίαις τέχνης

14 vgl. De autex. 11, 6 S. 174, 9f

F (bis Z. 16) E C D (bis Z. 11) Ph Ezn (von Z. 12 an)

1 *τι γίνεσθαι* D | *γενέσθαι* C | *τὴν*¹ < F | *ἐρώτ.*] *ἀπόκρισιν* D (nicht D^{r}) | *ἀπόκρινε* Ph | *τὴν ἐμήν* < Ph **2** *δοκεῖς μοι* E^{1} | *π. τοῦ κ.* Ph^{a} **2f** *γεγ. ποιοτ.* Ph **4** F wie S. 162, 8 | *δοκεῖν* E^{1} **5** *δέ τι* < D **6** ΟΥ F *οὕτως ἔχει*] *ἕτερόν ⟨τι⟩ παρὰ τὰς οὐσίας λέγω* D **7** *οὐκοῦν εἰ μήτε*: *εἰ* (*μὲν* + E^{1o}) *οὖν μὴ* E, *οὐκοῦν εἰ μη* C **8** *ὑπάρχουσιν* < E | *τῷ*] *τὸ* C **9** *μηδὲ*] *μήτε* D | *τοῦ* <FDPh | *γέγονεν* Ph **10** *εἰπεῖν ἀναγκαῖον* E | *ὅθεν — εἶναι*] *περιττὸν ἄρα τὸ* Ph | *περιττῶς .. λέγειν*] vgl. 10, 2; Plat. Legg. I, 645 C *περιττὸν εἰρημένον* | *ἐδόκεις μοι*] *δοκεῖς* D **11** *ἐξ — τι*] *ὡς οὐδὲν ἐξ οὐκ ὄντων γίνεται* Ph | *γεγόνετε* D | *πρὸς*] *πρὸ* E^{1i} | *ἀλλ᾽ ὁ μὲν*] es endet D S. 152, 16ff | *περὶ* C 143^{v} **12** *καὶ γὰρ* etc. wieder Ezn | *ἡμῖν*: »den Menschen« Ezn | *ὁρῶμεν*] *θεωροῦμεν* E **13** *εἰ καὶ — τινι* Z. 14 < Ph E^{1o} Ezn | *τὰ*] *ὅτι* E **14** *ἐπὶ — οὗτοι* Z. 15: »die Baumeister« Ezn | *ἀρχιτεκτονικῶν* Ph | *τὸ* < C | *παράδ. λάβ.*] unten 11, 6 | *λαμβάνομεν* C **14f** *κ. γὰρ*] *εἰ γὰρ* Ph **15** *καὶ* + F | *αὐτοὶ* für *οὗτοι* C | *ὁμοίως* < Ph Ezn **16** *ναῶν*] es endet F am Schluß der Handschrift | *εἰ δ᾽ — λόγῳ* Z. 17 anders Ezn | *οἴη* C | *οὐκ ὄντων* Ph^{a} **17** *αὐτὰς* Ph, < E^{1o} | *τῷ λόγῳ σφάλλῃ* Ph **18** *αὖ πάλιν* < Ph, *πάλιν* < E^{1o} | *νεώς* E^{1i} E^{2} D **19** *δὲ τέχνη* < Ph | *οὐκ* < E^{1i} | *τέχνης* vor *ἐν* in Ph, *τέχνη* C

γίνεται, ἀλλ᾽ ἐξ οὐκ οὔσης ἐν αὐταῖς γίνεται. ἀπαντήσειν δέ μοι 7
δοκεῖς οὕτω τῷ λόγῳ, ὅτι ὁ τεχνίτης ἐξ ἧς ἔχει τέχνης τὴν ἐν τῇ
οὐσίᾳ τέχνην ποιεῖ. πρὸς δὲ τοῦτο λέγεσθαι τοῦτ᾽ εὖ ἔχειν μοι δοκεῖ,
ὅτι οὐδὲ ἐν τῷ ἀνθρώπῳ ἔκ τινος ὑποκειμένης τέχνης προσγίνεται.
οὐδὲ γὰρ ἔνεστιν αὐτὴν ἐφ᾽ ἑαυτῆς οὖσαν δοῦναι τὴν τέχνην· τῶν
γὰρ συμβεβηκότων ἐστὶ καὶ τῶν τότε τὸ εἶναι λαγχανόντων, ὁπόταν
ἐν οὐσίᾳ τινὶ γένηται. ὁ μὲν γὰρ ἄνθρωπος καὶ χωρὶς τῆς ἀρχι- 8
τεκτονικῆς ἔσται· ἡ δ᾽ οὐκ ἔσται, ἐὰν μὴ πρότερον ἄνθρωπος ᾖ.
ὅθεν τὰς τέχνας ἐξ οὐκ ὄντων εἰς ἀνθρώπους πεφυκέναι γίνεσθαι
λέγειν ἀναγκαῖον. εἰ τοίνυν τοῦτο οὕτως ἔχον ἐπ᾽ ἀνθρώπων ἐδεί- 9
ξαμεν, πῶς οὐχὶ προσῆκε τὸν θεὸν μὴ μόνον ποιότητας ἐξ οὐκ ὄντων
φάναι δύνασθαι ποιεῖν, ἀλλὰ καὶ οὐσίας; τῷ γὰρ δυνατὸν φανῆναι
γίνεσθαί τι ἐξ οὐκ ὄντων τὸ καὶ τὰς οὐσίας οὕτως ἔχειν δείκνυται.

VIII. Ἐπειδὴ δὲ πόθος ἐστί σοι περὶ τῆς τῶν κακῶν γενέσεως ζητεῖν, ἐπὶ τὸν τούτων ἐλεύσομαι λόγον· καί σου βραχέα πυθέσθαι βούλομαι. — τὰ κακὰ πότερον οὐσίαι σοι δοκοῦσιν εἶναι ἢ ποιότητες οὐσιῶν;

1 *ἡμῶν* beidemale < S | *τῶ* V, *τὰ* U in 64, 10 **2** *προσηπορήσαμεν*] *ἠπορήσαμεν* V, *προηπορήσαμεν* S | *δὲ διὰ* U 113 **3** *εἰς τὸ ἡμέτερον*] »oben gesagt ist« las schwerl. S: aus »in unserer« v naše wurde »oben« vyše u. dann »gesagt ist« angefügt **4** *καὶ μεταβάλλουσι*: *μεταβάλλουσαι* S **5** *καὶ* vor *ἐν* + U | *οἰω|νοῖς καὶ* V 346: < S **6** *καὶ* vor *γίγνεται* + S | *γίγνονται* U | *μέρος* častj st. *μέρη* časti las schwerl. S **7** *ἑτέρων ζῴων ἢ ἀνθρώπων* beidemale S | *ἀντιμεταβάλλει* U, *ἀντιμεταβάλλονται* w. e. sch. S **8** *γίνεται* V, *γίγνονται* viell. S | *ἀλλὰ τούτου* S **9** *γινομένου* V | *πολλάκις* < S **10** *γενέσθαι* U | *μέρος*: *σῶμα* S **11** *εἰς βυθὸν*] Pl *εἴς τινα βυθὸν φλυαρίας ἐμπεσών* | *φλυαρ. ἡμᾶς* U | *ἀλόγους* U **12** *πάντας ταύτας* S | *δυνατὰ εἶναι* U | *εἶναι* < S **13** zu *καταφεύγουσι* vergleicht Jh *προστρέχουσι* 20, 3 und die entgegengesetzten *φεύγειν* und *ἀποφεύγειν* De autex. 5, 5. 6, 5 | *λέξεις*] »zu den Worten« S **14** *πρόχειρον* S 62 | *προφέρονται· οἷον*: *προσφέροντες* S **15** *ἐπ᾽ ἐμοὶ* S **17** *καὶ περιήγαγέν με — ἐφ᾽ ὑμᾶς δέρμα* S. 244, 5 < S, aber + »Bis« | *ἀνθρώπων* U **17f** *κύκλωθεν* U **19** *λίαν*: *σφόδρα* V **20** *ὀστέα* U

εἶπε πρός με, προφήτευσον, υἱὲ ἀνθρώπου. καὶ εἶπον πρὸς αὐτά·
τὰ ὀστέα τὰ ξηρὰ ταῦτα, ἀκούσατε λόγον κυρίου. τάδε λέγει Ἀδω-
ναῒ κύριος τοῖς ὀστέοις τούτοις· ἰδού, ἐγὼ εἰσάγω εἰς ὑμᾶς πνεῦμα
ζωῆς, καὶ δώσω ἐφ᾽ ὑμᾶς νεῦρα, καὶ ἐπάξω ἐφ᾽ ὑμᾶς σάρκας, καὶ
ἐκτενῶ ἐφ᾽ ὑμᾶς δέρμα, | καὶ δώσω τὸ πνεῦμά μου ἐφ᾽ ὑμᾶς, καὶ ζή- 536
σεσθε, καὶ θήσομαι ὑμᾶς ἐπὶ τὴν γῆν ὑμῶν, καὶ γνώσεσθε ὅτι ἐγώ
εἰμι κύριος.« τούτῳ μὲν οὖν πιθανωτέρῳ χρῶνται τῷ ῥητῷ. καὶ 3
ἄλλα δὲ λέγουσιν εὐαγγελικά, οἷον ὥς τό »ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ
ὁ βρυγμὸς τῶν ὀδόντων«, καὶ τό »φοβήθητε τὸν δυνάμενον καὶ ψυ-
χὴν καὶ σῶμα ἀπολέσαι ἐν Γεέννῃ«. καὶ τὸ ἐν τῷ Παύλῳ »ζῳο-
ποιήσει τὰ θνητὰ ὑμῶν σώματα, διὰ τὸ ἐνοικοῦν αὐτοῦ πνεῦμα
ἐν ὑμῖν«.

XXII. Χρὴ δὲ πάντα τὸν φιλαλήθη κατὰ ταὐτὸν τούτοις τὸν νοῦν
ἐπιστήσαντα περὶ τῆς ἀναστάσεως ἀγωνίσασθαι, σῷσαί τε καὶ τὴν τῶν
ἀρχαίων παράδοσιν, καὶ φυλάξασθαι μὴ ἐμπεσεῖν εἰς φλυαρίαν πτω-
χῶν νοημάτων, ἀδυνάτων τε ἅμα καὶ θεοῦ ἀναξίων. τοῦτο οὖν εἰς 2
τὸν τόπον ⟨τοῦτον⟩ διαληπτέον, ὅτι πᾶν σῶμα ὑπὸ φύσεως συνεχό-
μενον τῆς καταταττούσης ἔξωθέν τινα δίκην τροφῆς εἰς αὐτό, καὶ
ἀπεκκρινούσης ἀντὶ τῶν ἐπεισαγομένων ἕτερα, ὥσπερ τὰ τῶν φυτῶν
καὶ τῶν ζῴων, τὸ ὑλικὸν ὑποκείμενον οὐδέποτε ἔχει ταὐτόν. διόπερ 3
οὐ κακῶς ποταμὸς ὠνόμασται τὸ σῶμα, διότι ὡς πρὸς τὸ ἀκριβὲς

8 Mt. 8, 12 — **9** Mt. 10, 28 — **10** Röm. 8, 11 — **13** vgl. De res. III, 4 — **15** vgl. Orig. Ad Iul. Afric. 4. Prolog in Cant. 14, 295 Lomm. — **20** vgl. zu De res. I, 9, 2 S. 230, 4

1 υἱὲ U 113ᵛ | εἶπον: ἐρεῖς V **4** ἐφ᾽ ὑμᾶς] εἰς ὑμᾶς U **7** εἰμι < V **8** δὲ λέγουσι] »fügen sie diesem bei« S: ⟨συλ⟩λέγουσι? Holl **9** τό] schwerl. ὃ εἶπεν S **10** ἀπωλέσαι U | τὸ: τῷ U | ἐν τῷ Π.] »im Sendschreiben des P.« S **11** ἡμῶν σώμ. U | σώμ. V 346ᵛ | τοῦ ἐνοικοῦντος αὐτοῦ πνεύματος V wie unten 61, 4 **12** ἐν ἡμῖν U **13** Χρὴ] das Folgende vgl. auch unten III, 4 | δὲ] δὲ οὖν las schwerl. S | κατὰ — ἐπιστήσαντα Z. 14 < S III, 4 | κατὰ τοῦτο oder κατ᾽ αὐτὸ τοῦτο oder κατ᾽ αὐτὸν (so U) τοῦτον S | τούτοις < S **13f** τὸν νοῦν ἐπιστήσαντα] »denkend« S **14** σῷσαί τε] vgl. ob. 20, 1; τε < V **15** φλυαρίαν — ἀναξίων Z. 16] III, 4, 1 kürzer | μὴ < U **16** ἀδυνάτων S 62ᵛ | τοῦτο] »Das aber« se že (eže S) S, las aber schwerl. τοῦτο δὲ **17** τοῦτον auch III, 4, 2 + S (schwerl. ἐν τῷ τόπῳ τούτῳ): < V U **19** ἀπεκκρινούσης etc.] »herausgehend an Stelle des Hineingehenden« III, 4, 2 S | ἀποκρινούσης U | τὰ w. e. sch. < S, aber nicht III, 4, 2 **19f** τ. ζῴων κ. τ. φυτῶν III, 4, 2 S **20** τ. λοιπῶν (od. ἄλλων) ζῴων viell. richtig S | ὑλικὸν ὑποκείμενον] »Substanz des Fleisches« III, 4, 2 S | ἔχει] ἐστὶ S **21** οὐ κακὸς U 114 | διὸ V | ὡς viell. < S

τάχα οὐδὲ δύο ἡμερῶν τὸ πρῶτον ὑποκείμενον ταὐτόν ἐστιν ἐν τῷ σώματι ἡμῶν, καίτοι γε τοῦ οἱονεὶ Παύλου ἢ Πέτρου ἀεὶ τοῦ αὐτοῦ ὄντος (οὐ τοῦ κατὰ ψυχὴν μόνον, ἧς ἡ οὐσία οὔτε ῥεῖ καθ᾽ ἡμᾶς οὔτ᾽ ἐπεισαγόμενόν τι ἔχει ποτέ), κἂν ῥευστὴ ᾖν ἡ φύσις τοῦ σώματος, τῷ τὸ εἶδος τὸ χαρακτηρίζον τὸ σῶμα ταὐτὸν εἶναι, ὡς καὶ τοὺς τύπους μένειν τοὺς αὐτοὺς τοὺς τὴν ποιότητα Πέτρου καὶ Παύλου τὴν σωματικὴν παριστάνοντας, καθ᾽ ἣν ποιότητα καὶ οὐλαὶ ἐκ παίδων παραμένουσι τοῖς σώμασι καὶ ἄλλα τινὰ ἰδιώματα ⟨ἐν τῷ σώματι⟩, φακοὶ καὶ ἐπὶ τούτοις εἴ τί ἐστιν ὅμοιον· τοῦτο τὸ εἶδος, καθ᾽ ὃ εἰδοποιεῖται ὁ Πέτρος καὶ ὁ Παῦλος, τὸ σωματικόν, ὃ ἐν τῇ ἀναστάσει περιτίθεται πάλιν τῇ ψυχῇ, ἐπὶ τὸ κρεῖττον μεταβάλλον, οὐ πάντως δὲ τόδε τὸ ἐκτεταγμένον τὸ κατὰ τὴν πρώτην ὑποκείμενον.
ὥσπερ δὲ τὸ εἶδός ἐστιν ἐκ βρέφους μέχρι πρεσβύτου, κἂν οἱ χαρα- 4

13 vgl. De res. I, 25, 3. Plato Symp. 207 D. Pol. X, 608 C — **13—S. 246, 11** Pamphilus Apol. pro Orig. c. 7 PGr 17, 597 ff

4 Greg. Nyss. De an. et res. III, 249 A

1 πρῶτον gibt S nicht wieder 2 οἱονεὶ V: οἷον ἢ U S: < III, 4, 3 3 μόνον — ῥεῖ] μόνον ἡ οὐσία ὑστερεῖ V | »n. d. Seele seiend« S, aber las schwerl. κ. ψυχὴν ὄντος, vgl. III, 4, 3 | μόνου U, aber μόνον S wie Jh | ἧς < S, aber ἧ + nach οὐσία | οὔτε ῥεῖ < S, hat es aber III, 4, 3; hier εἰ 4 ποτέ U Holl Kl: μήποτε δὲ V, πότε od. ὅτε δὲ S, III, 4, 3 μήποτε ὅτε δὲ | ῥευστὴ] φθαρτὴ S | ᾖ Jh: ἦν V U 5 τῷ] i S, aber las schwerl. καὶ | τὸ χαρ. τὸ] τοῦ χαρακτηρίζοντος V | τὸ σῶμα] τὰ σώματα III, 4, 3 S 6 τοὺς τύπους III, 4, 3: αὐτὸς τύπους V, τὸν τύπον S | τὸν αὐτὸν τὸν . . παριστάνοντα S, aber anders III, 4, 3 | τοὺς τὴν: εἰς τὴν U 7 καθ᾽] καὶ las schwerl. S, vgl. III, 4, 3 | οὐλαὶ III, 4, 3 auch S, hier »Merkmale« 8 f ἐν τῷ σώματι + S 63; III, 4, 3 < das Folgende 9 φακοὶ] φάσκοι V, »oder von Wunden« S; ⟨ὡς⟩ φακοὶ Holl | καὶ ἐπὶ — εἶδος] ἢ ἄλλους τινὰς τύπους ἐφ᾽ οἷς γινώσκεται ἡ ποιότης las viell. S (»oder andere Merkmale, durch welche die Beschaffenheit kenntlich wird«) | εἴ τι < V | τοῦτο — καθ᾽ ὃ Z. 9 f auch III, 4, 3 9 f καθ᾽ ὃ] καὶ τούτῳ (wohl nur freie Übersetzung) S 10 ὁ παῦλ. κ. ὁ πέτρος V | ὃ vor ἐν tilgt Md 10 f ἐν τῇ ἀναστ.] ἐν τῇ ἀναστ. αἴρεται (ἐγείρεται?) καὶ S 11 πάλιν < S hier u. III, 4, 3 11 f οὐ πάντως] οὐδαμῶς hier u. III, 4, 3 S 12 δὲ τόδε τὸ III, 4, 3: τὸ δὲ τὶ V, τὸ δὲ ἔτι U, τὸ δὲ τὸ S | ἐντεταγμένον U | ὑποκείμ.] ἡλικίαν w. e. sch. S (»Alter«) 13 ὥσπερ — ἦν S. 246, 11 Pamph. frei übers. von Rufinus. Pl Symp. ἐκ παιδαρίου ὁ αὐτὸς λέγεται ἕως ἂν πρεσβύτης γένηται· οὗτος μέντοι οὐδέποτε τὰ αὐτὰ ἔχων ἐν αὑτῷ ὅμως ὁ αὐτὸς καλεῖται, ἀλλὰ νέος ἀεὶ γιγνόμενος. Pol. ἐκ παιδὸς μέχρι πρεσβύτου | ταὐτὸν Ruf. Md: τὸ V U S: in nobis + Ruf. | καὶ μέχρι S | πρεσβύτου Md nach Plato: τοῦ πρεσβυτέρου V: τοῦ πρ^ετρς^ U | κἂν] καὶ S 13 f χαρα|κτ. V 347

κτῆρες δοκῶσι πόλλην ἔχειν πα|ραλλαγήν, οὕτως νοητέον καὶ τὸ ἐπὶ 537
τοῦ παρόντος εἶδος ταὐτὸν εἶναι τῷ μέλλοντι, πλείστης ὅσης ἐσομέ-
νης τῆς ἐπὶ τὸ κάλλιον μεταβολῆς. ἀναγκαῖον γὰρ τὴν ψυχὴν ἐν
τόποις σωματικοῖς ὑπάρχουσαν κεχρῆσθαι σώμασι καταλλήλοις τοῖς
τόποις. καὶ ὥσπερ ἐν θαλάσσῃ ζῆν ἡμᾶς ἐνύδρους γενομένους εἰ ἐχρῆν, 5
πάντως ἂν ἡμᾶς ἔδει βράγχια ἔχειν καὶ τὴν ἄλλην ἰχθύων κατάστασιν,
οὕτως μέλλοντας κληρονομεῖν βασιλείαν οὐρανῶν καὶ ἐν τόποις δια-
φέρουσιν ἔσεσθαι, ἀναγκαῖον χρῆσθαι σώμασι πνευματικοῖς, οὐχὶ τοῦ
εἴδους τοῦ προτέρου ἀφανιζομένου, κἂν ἐπὶ τὸ ἐνδοξότερον γένηται
αὐτοῦ ἡ τροπή, ὥσπερ ἦν τὸ Ἰησοῦ εἶδος καὶ Μωυσέως καὶ Ἡλίου,
οὐχ ἕτερον ἐν τῇ μεταμορφώσει παρ᾽ ὃ ἦν.

XXIII. *Μὴ πρόσκοπτε τοίνυν, εἰ τὸ πρῶτον ὑποκείμενόν [ἄν] τις
λέγοι μὴ ἔσεσθαι ταὐτὸν τότε, ὅπου ὁ λόγος τοῖς ἐφιστάναι δυναμέ-
νοις δείκνυσιν, ὅτι οὐδὲ νῦν δύναται δύο ἡμερῶν ταὐτὸν εἶναι τὸ
πρῶτον ὑποκείμενον. ἄξιον δὲ ἐπιστῆσαι καὶ τὸ ἑτεροῖον μὲν σπείρε- 2
σθαι, ἑτεροῖον δὲ ἀνίστασθαι. »σπείρεται γὰρ σῶμα ψυχικόν, ἐγείρε-
ται σῶμα πνευματικόν.« καὶ ἐπιφέρει πάλιν ὁ ἀπόστολος, σχεδὸν
τὴν γηΐνην ποιότητα διδάσκων ἀποτίθεσθαι μέλλειν ἡμᾶς, τοῦ εἴδους

5 vgl. Porphyrius(?) bei Makar. Magn. IV, 2 S. 72, 15ff — **10** Mt. 17, 2. 3 (Mark. 9, 3. 4) — **16** I Kor. 15, 44

1 *δοκοῦσι* w. e. sch. S | *οὕτως δὲ* hier u. III, 4, 4 w. e. sch. S | *καὶ* < V | *τὸ* < U S **1f** *ἐπὶ τοῦ παρόντος*] »darüber« S, »an diesem Ort« III, 4, 4 **2** *ἐν τῷ* S, *τῷ* III, 4, 4 | *πλείστης — μεταβολῆς* Z. 3] »viel besser als die erste« hier S **3** *τὸ* < U **4** *τόποις*] *τρόποις* U | *σωματ.*] telěsněch: těsněch S **5** Makar. *ἡ γὰρ δημιουργὸς ἄνωθεν φύσις τόπους ἁρμόζοντας τοῖς γενομένοις συναπεκλήρωσε καὶ κατάλληλον ἐνεμοθέτησεν ἔχειν ἐναύλισμα, ἐνύδροις θάλασσαν, χερσαίοις ἤπειρον, πτηνοῖς ἀέρα* | *ἐνύδρους γενομένους* (»geschaffen« S) < III, 4, 5 | *γενομ.*] U 114ᵛ **6** *πάντως* las schwerl. nicht S hier u. III, 4, 5 | *ἡμᾶς δεῖ* V: *ἔδει* U S | *βράγχια*: *παραπλησίαν* U | *ἰχθύων*: »der Wassertiere« S | *κατάστ.*] »Glieder« hier S, *κατάστ.* III, 4, 5 **7f** *διαφέρουσιν*: *διαφόροις* V, »besseren« S **9** *τὸ*] *τοῦ* V **10** *μωσέως* U **11** *οὐχ ἕτερον . . παρ᾽ ὃ ἦν* < III, 4, 5 **12** *ὑποκείμενον*] »Alter« vŭzdrastu (*ἡλικίαν*?) S | *ἂν* tilgt Md **13** *λέγει* V | *ταὐτὸν*: *τοιοῦτον*? takomuže S | *ἐπιστάναι* V: *ἐφιστάνειν* U **14** *δύο ἡμερῶν*] *δυοῖν μερῶν* S | *ταὐτὸν* < U **15** *ὑποκείμενον* gibt S hier wieder durch »Leib«, also stets dem Sinn nach | *καὶ τοῦτο* S u. scheint + *οἷον* (od. *ὥστε*) *ὅτι* (»gleichwie, daß«) **17** *πάλιν*: *πᾶσιν* U | *σχεδὸν* < S **18** ein *ἡμᾶς* auch vor *διδάσκων* U; *πᾶσαν* + Holl | *πάλιν ἀποτίθεσθαι* S

σῳζομένου κατὰ τὴν ἀνάστασιν· »τοῦτο δέ φημι, ἀδελφοί, ὅτι σὰρξ
καὶ αἷμα βασιλείαν θεοῦ κληρονομῆσαι οὐ δύναται, οὐδὲ ἡ φθορὰ
τὴν ἀφθαρσίαν«. σῶμα μὲν γὰρ ἔσται περὶ τὸν ἅγιον διακρατού- 3
μενον ὑπὸ τοῦ εἰδοποιοῦντός ποτε τὴν σάρκα· σὰρξ δὲ οὐκέτι· ἀλλ'
ὅπερ ποτὲ ἐχαρακτηρίζετο ἐν τῇ σαρκί, τοῦτο χαρακτηρισθήσεται ἐν
τῷ πνευματικῷ σώματι.

Καὶ πρὸς τὰ ῥήματα δὲ τῶν γραφῶν, ἃ παρατίθενται οἱ ἀδελφοὶ 4
ἡμῶν, ταῦτα ἔστιν εἰπεῖν. καὶ πρῶτόν γε τὰ ἐν τῷ Ἰεζεκιήλ, [ἐπὶ τὸ
ὅσον] ἐφ' ὅσον βούλονται οἱ ἁπλούστεροι, κατὰ τὰς λέξεις ταύτας
οὐδὲ ἀνάστασις σαρκῶν ἔσται, ἀλλὰ ὀστέων μόνον καὶ δερμάτων καὶ
νεύρων. ἅμα δὲ καὶ ὑποδεικτέον αὐτοῖς ὅτι συναρπάζονται, ὡς μὴ 5
νενοηκότες τὸ γεγραμμένον. οὐ γὰρ εἰ ὀστᾶ ὀνομάζεται, πάντως τὰ
ὀστᾶ ταῦτα νοητέον· ὥσπερ οὐδὲ ἐν τῷ »ἐσκορπίσθη τὰ ὀστᾶ ἡμῶν
παρὰ τὸν Ἅιδην« καί »ἐσκορπίσθη πάντα τὰ | ὀστᾶ μου« καί »ἴασαί 538
με, ὅτι ἐταράχθη τὰ ὀστᾶ μου«, φανεροῦ ὄντος τοῦ μὴ λέγεσθαι τὰ
ὀστᾶ κατὰ τὴν κοινὴν ἐκδοχήν. ἐπιφέρεται γοῦν τῷ λόγῳ ὅτι »αὐτοὶ 6
λέγουσι· ξηρὰ γέγονε τὰ ὀστᾶ ἡμῶν«. ἆρα γὰρ λέγουσι »ξηρὰ γέ-
γονε τὰ ὀστέα ἡμῶν«, θέλοντες ἀνίστασθαι συναχθέντα; ἀλλὰ τοῦτο
ἀμήχανον. λέγοιεν δ' ἂν »ξηρὰ γέγονε τὰ ὀστᾶ ἡμῶν« ἐν αἰχμαλω-
σίαις γενόμενοι καὶ πᾶσαν ζωτικὴν νοτίδα ἀποβεβληκότες. ἐπιφέρουσι 7

1 I Kor. 15, 50 — **3** vgl. De res. I, 62, 1 — **13** Psal. 140, 7 — **14** Psal. 21, 15 — Psal. 6, 3 — **16** Ezech. 37, 11; vgl. De res. III, 9, 1. 2 — **19** Ezech. 37, 11

5 vgl. Greg. Nyss. De opif. hom. 27, 1, 117f

1 *κατὰ τ. ἀνάστασιν*] *τῆς ἀναστάσεως* S | *τοῦτο — ἀδελφοί*] *πρὸς τοῦτο* (od. *τούτῳ*) *δὲ πάλιν ὃ εἶπεν* S **2** *κληρον. οὐ δύν.*] *κληρονομήσει* S | *δύναται* V vgl. S: *δύνανται* U **3** *σῶμα* Bo, *ἴσως* V U Holl: < S | *ἔσται γὰρ* S | *τοῦ τὸν ἅγιον* U: *σῶμα* + Holl **4** *ἰδιοποιοῦντος* U | Greg. *ἕστηκε δὲ διὰ πάσης τροπῆς ἀμετάβλητον ἐφ' ἑαυτοῦ τὸ εἶδος, . . πάσαις ταῖς κατὰ τὸ σῶμα τροπαῖς μετὰ τῶν ἰδίων ἐμφαινόμενον γνωρισμάτων* **5** *ἐχαρακτηρίζετο* Pet: *χαρακτηριασθήσεται* V U | *τοῦτο* S 64 **7** *Καὶ ἃ* V 347^{V} | *δὲ* < V | *τῶν* U 115 | *ἃ* < V **8** *γε τὰ* < U | *πρὸς τὰ* Holl *ἐν*] *ἐπὶ*? S | **8f** *ἐπὶ τὸ ὅσον*] »wie« S: < Holl Kl **9** *ἐφ' ὅσον* S Jh, *ἐφ' οἷς* VU: *ἐπὶ τούτοις* + Holl | *βούλ.*] etwa *ἐπερείδεσθαι* + Holl **11** *μὴ* < V̂ **12** *εἰ ὀστᾶ*] *εἰς τὰ* V | *πάντως*? S | *τὰ — νοητέον* Z. 13 fragend S **13** *ἐν τῷ* w. e. sch. < S | *διεσκορπίσθη* U | *τὰ ὀστᾶ — ἐσκορπίσθη* Z. 14 < U **14** *πάντα* < S **17** *λέγουσι*] + *ὅτι* U | *γὰρ* w. e. sch. auch S: *γε* U **18** *ἡμῶν*: *ὑμῶν* S | *θέλοντες* chotjašte: *θέλοντα* chotjašta S | *αὐτὰ συναχθέντα* S **19** *ἀμίχανον* U | *λέγουσι δ' οὖν* viell. S (»Sie sagen aber nun«) | *ὀστέα* U | *ἡμῶν* S 64^{V} **20** *γινόμεναι* V

γοῦν τό »ἀπόλωλεν ἡ ἐλπὶς ἡμῶν, διαπεφωνήκαμεν«. οὐκοῦν ἡ ἐπαγγελία τῆς ἀναστάσεως τοῦ λαοῦ ἐστιν ἀπὸ τοῦ πτώματος καὶ τῆς οἱονεὶ νεκρότητος ἣν νενέκρωνται, διὰ τὰ ἁμαρτήματα τοῖς ἐχθροῖς παραδοθέντες. καὶ οἱ ἁμαρτωλοὶ δὲ ὑπὸ τοῦ σωτῆρος λέγονται εἶναι »τάφοι γέμοντες ὀστέων νεκρῶν καὶ πάσης ἀκαθαρσίας«. πρέπει δὲ τῷ θεῷ ἀνοίγειν τὰ μνημεῖα ἑκάστου καὶ ἐξάγειν ἐκ τῶν μνημείων ἡμᾶς ἐζῳοποιημένους, ὥσπερ ὁ σωτὴρ τὸν Λάζαρον εἵλκυσεν ἔξω.

XXIV. Τὸ δέ »ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων« πρὸς αὐτοὺς ἀπορητέον· ὅτι ὡς ἐν τούτῳ τῷ βίῳ πᾶν μέλος εἴς τινα χρείαν ὁ δημιουργὸς κατεσκεύασεν, οὕτως καὶ τοὺς ὀδόντας εἰς τὸ διακόπτεσθαι τὴν στερεὰν τροφήν. τίς οὖν χρεία τοῖς κολαζομένοις ὀδόντων; οὐ γὰρ εἰς τὴν Γέενναν ὄντες κατ᾽ αὐτοὺς φάγονται. καὶ δεικτέον ὅτι οὐ πάντα παραλαμβάνεσθαι δεῖ κατὰ τὸ κείμενον. 2
»ὀδόντας γοῦν ἁμαρτωλῶν«, φησίν, »συνέτριψας«, καί »τὰς μύλας τῶν λεόντων συνέθλασεν ὁ κύριος«. τίς δὲ οὕτως ἠλίθιος, ὡς ὑπολαμβάνειν ὅτι τηρῶν τὰ σώματα τῶν ἁμαρτωλῶν ὁ θεὸς τοὺς ὀδόντας αὐτῶν μόνον συντρίβει; ὥσπερ οὖν εἴ τις θέλων ταῦθ᾽ οὕτως ἔχειν θλιβόμενος εἵλκετο ἐπ᾽ ἀλληγορίαν, οὕτως ζητητέον τῶν κολαζομένων τὸν βρυγμὸν τῶν ὀδόντων τῆς ψυχῆς δύναμιν μασητικὴν ἐχούσης, ἥτις ἐν καιρῷ τοῦ ἐλέγχου περὶ τῶν ἁμαρτημάτων κατὰ τὸν συγκρουσμὸν τῶν οδόντων ὧν ἐφρόνησε βρύξει τοὺς ὀδόντας. τὸ δέ 3

5 Mt. 23, 27 — **7** Orig. In Ioann. 28, 7, Eustath. De engastr. 21 S. 49, 14ff Kl — **8** Mt. 8, 12 — **14** Psal. 3, 8 — Psal. 57, 7 — **19** vgl. Orig. zu Psal. 57, 6 Lomm. 12, 372

1 *διαπ.: ἀπολώλαμεν* S **2** *τῆς ἀναστάσεως* < S | *ἐκείνη ἐστὶν* w. e. sch. S | *ἀπὸ τοῦ*] *ὡς* od. *οἱονεὶ ἀπό τινος* S **3** *οἱονεὶ* < S **4** *σωτῆρος: κυρίου* S **5** *τάφοι — νεκρῶν* »gleich Totengebeinen« S | *νεκρῶν* < U | *πάσης ταύτης* S **6** *ἑκάστου κ.* U 115v: *καὶ ἕκαστον ὑμῶν* S **7** *ἡμᾶς: ὑμῶν* S **8** *Τὸ δὲ: καὶ ὃ λέγει* S **9** *ὅτι ὡς* ⟨jako⟩ jakože S | *πάντα μέλη* S **9f** *εἴς τινα χρείαν*] »zu ihrem Dienst« S **10** *δη|μι.* V 348 **11** *τίς οὖν*] vgl. III, 7, 2 **12** *φάγονται*] »werden sie essen« oder »haben sie zu essen« S; so auch unten III, 7, 2 **13** *καὶ δείξομεν* S | *τὸ κείμενον*] »in (bei) den Worten« + S **14** *ὀδόντας* S 65: vgl. III, 8, 1 | *γοῦν*] *γὰρ* V: *γε* od. *γοῦν* od. *δὲ* S | *φησιν ἁμαρτ.* U **15** *συνέθλασε κύριος* V: III, 8, 1 + Gen. 49, 12 | *δὲ*] *οὖν* S **15f** *ὑπολαμβάνειν οὕτως* w. e. sch. S **17** *αὐτῶν* w. e. sch. auch S | *συντρίβει μόνον* U | *μόνον* < S | *εἰ* < S | *ταῦτα* U **18** *καὶ* vor *θλιβόμενος* las schwerl. S (st. byti . i l. byti) | *εἵλκετο*: »ging« S | *ἀλληγορίαν: ἀγρεύειν* S **19** *τὸν βρυγμὸν*] *τοῦ βρυγμοῦ* las schwerl. S (»in Hinsicht des Knirschens«) **20** *τοῦ ἐλέγχου*] obličenija: obličena S **21** *τ. ὀδόντων*] *ὅρων* od. *δογμάτων* (»der Ordnungen« ustavlenii [ob etwa ustrŭmlenii *ὁρμημάτων*?]) S; *φρονημάτων* viell. richtig Holl | *ὧν ἐφρ.*] schwerl. las *τῆς φρονήσεως* S | *ὧν: ὡς* U | *τὸ δὲ*] »und was er sagt« S

»φοβήθητε τὸν δυνάμενον καὶ τὴν ψυχὴν καὶ τὸ σῶμα ἀπολέσαι ἐν
Γεέννῃ« τάχα μὲν διδάσκει ὅτι ἀσώματος ἡ ψυχή, τάχα δὲ δηλοῖ καὶ
ὅτι χωρὶς σώματος οὐ κολασθήσεται· περὶ οὗ φυσιολογοῦντες τὰ περὶ
τοῦ εἴδους καὶ τοῦ πρώ|του ὑποκειμένου εἰρήκαμεν. καὶ τὸ παρὰ τῷ 539 4
ἀποστόλῳ δέ »ζῳοποιήσει καὶ τὰ θνητὰ ἡμῶν σώματα«, θνητοῦ
ὄντος τοῦ σώματος καὶ οὐ μετέχοντος τῆς ἀληθινῆς ζωῆς, δύναται
παριστάνειν, ὅτι τὸ σωματικὸν εἶδος, περὶ οὗ εἰρήκαμεν, τῇ φύσει θνητὸν
ὄν, ὅταν »ὁ Χριστὸς φανερωθῇ ἡ ζωὴ ἡμῶν«, καὶ αὐτὸ μεταβάλλει
ἀπὸ τοῦ εἶναι σῶμα θανάτου ζῳοποιηθέν, διὰ »τὸ πνεῦμα τὸ ζῳοποι-
οῦν« ἐκ τοῦ ⟨σαρκικοῦ⟩ πνευματικὸν γεγονέναι. καὶ τό· »ἐρεῖ δέ πῶς 5
ἐγείρονται οἱ νεκροί; ποίῳ δὲ σώματι ἔρχονται;« γυμνῶς παρίστησιν,
ὅτι τὸ πρῶτον ὑποκείμενον οὐκ ἀναστήσεται. εἰ γὰρ καλῶς ἐλάβομεν
τὸ παράδειγμα, τηρητέον ὅτι ὁ σπερματικὸς λόγος ἐν τῷ κόκκῳ τοῦ

1 Mt. 10, 28 — **4** De res. I, 22f — **5** Röm. 8, 11 — **7** De res. I, 22, 3ff. 23, 2f — **8** Kol. 3, 4 — **9** Joh. 6, 63 — **10** I Kor. 15, 35 — **13** Orig. De princ. II, 10, 3. C. Cels. V, 23. VII, 32. Pamphilus Apol. pro Orig. c. 7. 24, 382 Lomm. Hieron. C. Ioann. Hieros. 26. PGr 23, 393

13 Greg. Nyss., De an. et res. III, 256 D. 257 AB (162ff Oehler). Aenaeas Gaz. PGr 85, 981

1 *τὴν* < U | *τὸ σῶμα*: »das Fleisch« S **2** *Γεέννῃ*: »Feuer« S | *διδάσκει*] učit: ust S | *τάχα μὲν . . τάχα δὲ* wie *καὶ . . καὶ πάλιν* übersetzt S | *δὲ καὶ δηλοῖ* Holl **3** *φυσι|ολογ.* U 116 | *τὰ*: »über die Form, das heißt« S **4** *καὶ*² < S | *τὸ — δέ* Z. 5: »das vom Apostel Gesagte« S **5** *ἡμῶν*: *ὑμῶν* S **6** *ζωῆς* S 65ᵛ **7** *ὅτι*: *ὅπου* U **7f** *θνητὸν ὄν* wohl auch S, nicht *θανατηφόρῳ*, smertjno sy nicht smertjnosnym wie HSS: *θνητὸν* V **8** *ὁ* < U **9** *εἶναι σ. θανάτου*] »Sterblichkeit« S | *τοῦ πνεύματος* S **9f** *τὸ ζῳοποιοῦν* < S **10** *ἐκ τοῦ*: »wegen dessen« S | *σάρκ.* + Holl | *γεγονέναι*] *γίνεται* oder *γέγονε* S | *τὸ*] »was er sagt; dann aber sagt der Apostel« S **11** *δὲ*] hier und III, 10, 2 *τις* + S **12** *ὑποκείμενον*: »Leib« S | *ἀ|ναστ.* V 348ᵛ | *εἰ*: *οὐ* V **13** *τηρητέον*] nach d. 1. *τ* ein Raum für etwa 6 Buchst., dann *ρητεον* V, *ῥητέον* U: »so sollen wir beachten« S | *κόκκῳ*] *σπέρματι . . καὶ ἐν τῷ κόκκῳ* S | Orig. C. Cels. V, 23 *ὥσπερ ἐπὶ τοῦ κόκκου τοῦ σίτου ἐγείρεται στάχυς, οὕτω λόγος τις ἐγκεῖται τῷ σώματι, ἀφ' οὗ μὴ φθειρομένου ἐγείρεται τὸ σῶμα ἐν ἀφθαρσίᾳ.* VII, 32 insita ratio ea quae substantiam continet corporalem, *λόγος σπερματικός.* Pamph. »sed rationis illius virtus quae est insita in interioribus eius medullis, ipsa rationis virtus assumta adiacentem sibi terram vel aquae humorem sed et aëris circumstantem temperiem, caloris quoque sufficientem recipiens fomitem, per divinam potentiam in corpus culmi vel spicae consurgit«, entsprechend I Kor. 15, 36f. Hier. C. Ioann. »Est, inquit, singulis seminibus ratio quaedam a Deo artifice insita, quae futuras

σίτου δραξάμενος τῆς παρακειμένης ὕλης καὶ δι' ὅλης αὐτῆς χωρήσας, περιδραξάμενος αὐτῆς τοῦ αὐτοῦ εἴδους ὧν ἔχει δυνάμεων ἐπιτίθησι τῇ ποτε γῇ καὶ ὕδατι καὶ ἀέρι καὶ πυρί, καὶ νικήσας τὰς ἐκείνων ποιότητας μεταβάλλει ἐπὶ ταύτην, ἧς ἐστιν αὐτὸς δημιουργός, καὶ οὕτως συμπληροῦται ὁ στάχυς, εἰς ὑπερβολὴν διαφέρων τοῦ ἐξ ἀρχῆς κόκκου μεγέθει καὶ σχήματι καὶ ποικιλίᾳ.

ΠΡΟΚΛΟΥ.

XXV. Ἃ μὲν οὖν Ὠριγένης εἰς τὴν περὶ τῆς ἀναστάσεως ἐγχειρῶν πραγματείαν ἐσπούδασε, ποικιλωτάτην ἐπιδεικνύμενος εἰς αὐτὴν θεωρίαν, τοσαῦτα ὡς ἐν ἐπιτομῇ· ἐνθυμοῦ δὲ καὶ τὰ τούτοις ἀναθεωρῶν ἐφεξῆς. λείπεται γὰρ τὰς ἀπὸ τῶν γραφῶν ἔτι πρὸς τοῖς εἰρημένοις μαρτυρίας παραλαβεῖν, ἵν' ὥσπερ ἀνδριὰς πάντα τὰ μέρη συμμέτρως ὁ λόγος ἑαυτοῦ λαβὼν ὅλος ἐκ πλήρους ᾖ κατεσκευασμένος, ἀλλὰ μηδὲν ἔχων ἐνδεὲς τῶν εἰς σχῆμα καὶ κάλλος συναγομένων.
τί οὖν αἱ γραφαὶ συνᾴδουσι τούτοις, ἐπικρατύνουσαι πρὸς συμπλή- 2

11 De res. I, 39, 5. Symp. S. 12, 13f. 42, 3f. Plato Symp. 196 D — 12 Plato Pol. II, 361 D. De res. I, 58, 1; vgl. auch Method. bei Anton. Mel. PGr 136, 805 C

12 Greg. Naz. Or. 27, 7 S. 492 B

materias in medullo principiis tenet . . . et in grano frumenti est intrinsecus vel medulla vel venula, quae cum in terra fuerit dissoluta, trahit ad se vicinas materias et in stipulam folia aristasque consurgit, aliudque moritur aliud resurgit. Greg. Nyss. vgl. zu De res. III, 10

1 αὐτῆς < S **2** καὶ περιδραξάμενος S | αὐτοῦ] ὅλου? Holl **3** ἀέρει w. e. sch. V | καὶ < U **4** ἐστιν αὐτὸς] $\overset{s}{e}$ sam: esm S **7** πρόκλου τοῦ αὐτοῦ V U, »Die Worte des Proklus« S **8** εἰς τὴν — ἐσπούδασε Z. 9] »an Reden über die Auferstehung sehr brauchte« S | τῆς < U **9** πραγμ. U 116ᵛ | εἰς αὐτὴν < U S **9f** ποικιλωτάτας . . θεωρίας las schwerl. S (»reiche Verständnisse« übers. S) **10** εἰσὶ τοσαῦτα U: »seiende« ὄντα od. τὰ ὄντα S | ἐπιτ.] εἰπεῖν oder λέγειν + S **10f** ἀναθεωρῶν] »Folgende (ἀκόλουθα?) wieder« S **11** γὰρ αὐτῷ S **11f** πρὸς τοῖς εἰρημένοις < S **12** ἵνα V | ἀνδριάς τις S **12f** πάντα τὰ μέρη . . ἑαυτοῦ λαβών: »von allen Seiten . . seiend« S; ἔχουσα + Holl **13** οὕτως ὁ λόγος οὗτος mit S Holl, u. vor λαβὼν + συμμετρίαν ὅλος ἐκ πλήρους] »ganz« S | ὅλως U **14** ἀλλὰ < Holl | εἰς σχῆμα] »zur Güte und zur Gestalt« S | τῶν . . συναγομένων] »bei nichts von dem, was . . ist« S, schwerl. aber las S ὄντων od. ὑπαρχόντων statt συναγομένων **15f** συμπλ. διαγ. κρείττ.] διαγωγὴν κρείττονα S

ρωσιν διαγωγῆς κρείττονος τὸν ἄνθρωπον, φραστέον. ταῦτα γὰρ
ἐάν τις οἷός τε ᾖ, μὴ παρακόπτων τοῦ δέοντος, ἀκριβῶς νοεῖν,
εἴσεται τὴν ἀνάστασιν ἐπὶ τούτου μὴ χρῆναι παραλαμβάνεσθαι τοῦ
σώματος, ἅτε ἀδυνατοῦντος ἀτρέπτου δι' αἰῶνος μένειν, ἀλλὰ ἐπὶ
τοῦ πνευματικοῦ, ἐν ᾧ ὁ αὐτὸς ὁ καὶ νῦν ἐν τούτῳ διασῳ|ζόμενος 540
χαρακτὴρ τηρηθήσεται, ἵν' ἕκαστος ἡμῶν καὶ κατὰ τὴν μορφὴν ὁ
αὐτὸς ᾖ, καθάπερ ἐλέχθη καὶ Ὠριγένει. οὕτω γὰρ ἐκεῖνος ἔσεσθαι 3
τίθεται τὴν ἀνάστασιν. ῥευστοῦ γὰρ ὄντος τοῦ σώματος τοῦ ὑλικοῦ
καὶ μηδέποτε μένοντος ἐφ' ἑαυτῷ κἂν τὸ βραχύ, ἀλλὰ προσγινομένου
καὶ ἀπογινομένου περὶ τὸ εἶδος τὸ χαρακτηρίζον τὸν ἄνθρωπον, ὑφ'
οὗ καὶ συγκρατεῖται τὸ σχῆμα, ἀνάγκη, | φησί, τὴν ἀνάστασιν ἐπὶ μό- 560
νου τοῦ εἴδους σῴζεσθαι δεῖν προσδοκᾶν. καὶ ἵνα μὴ εἴπῃς ὅτι Οὐ 4
μανθάνω (σκο|τεινῶς ἐκεῖνος γὰρ τοῦτο διέλαβεν), ἐγὼ δή σοι σα- 561
φέστερον ὧδε τὸν νοῦν τούτων ἐξηγήσομαι. ἤδη γὰρ πάντως
ἑώρακας δέρμα ζῴου ἢ ἄλλο τι τοιοῦτο γεμισθὲν ὕδατος, ὅπως, ἐὰν
πρὸς ὀλίγον κενούμενον πρὸς ὀλίγον πληροῖτο, ἀεὶ τὸ εἶδος τὸ αὐτὸ
δείκνυσιν. οἷον γὰρ ἂν ᾖ τὸ περιέχον, ἀνάγκη πρὸς αὐτὸ καὶ τὸ
ἐντὸς σχηματίζεσθαι. φέρε γάρ, ὑπεκρέοντος τοῦ ὕδατος εἴ τις

8 De res. III, 3, 5 — **12** Plato Phaed. 93 A. 100 A — **14** vgl. De res. III, 3, 6. De res. I, 16, 1 S. 239, 6f

1 φραστέον] πλαστέον] V | ταύτας U **2** τ. δέοντος] »das Verständnis« S | ἀκριβῶς viell. < S **4** ἅτε U S: ἀπ' V **5** ὁ vor αὐτὸς < U | καὶ νῦν las wohl auch S (i nyne): iziti A B | ἐν τούτῳ S 66ᵛ **6** ἕκαστος] ἔκδετος V **7** ὠριγένη V | ἐκεῖνος onŭ: »jenes« ono S **8** τὴν ἀναστ. V 349 | ῥευστοῦ — σῴζεσθαι Z. 12 vgl. III, 3, 5 aus Ph | ὄντος] ὑπάρχοντος III, 3, 5 | τοῦ ὑλικοῦ τούτου τοῦ σώματος S; τοῦ ὑλικοῦ σώματος III, 3, 5 **9** κἂν τὸ βραχύ < III, 3, 5 | τὸ] τῷ V **9f** ἀπογινομένου κ. ἐπιγινομένου III, 3, 5 **10** χαρακτηριάζον U | τ. ἄνθρ.] τὴν μορφὴν III, 3, 5 **11** nach ἀνάγκη eine Umstellung in U 133 ed. Petav. 540 B—560 D ἀνοικείως ἐκτιθεμένῳ; verbessert aus V (Bl. 349², Z. 8 ἀνάγκην φησὶ) u. S | φησί U 133: δὴ III, 3, 5 **12** τοῦ < III, 3, 5 | σῴζεσθαι < S; ἔσεσθαι III, 3, 5 u. endet | δεῖν < S, wie c. 49, 1 V: δεῖ U (in Correctur) **12f** Οὐ μανθ. Bo Holl vgl. S. 260, 23: οὐ καταμανθάνω Jh; Pl 93 A οὐ μανθάνω ἔφη u. 100 A βούλομαι δέ σοι σαφέστερον εἰπεῖν ἃ λέγω· οἶμαι γάρ σε νῦν οὐ μανθάνειν: καὶ λανθάνεις V, οὐκ ἀεὶ μανθάνει U: < S: καὶ λανθάνει Oehler Dd **13** σκοτεινῶς] σκοπεῖν ὡς V; tjmně: tomně S | γὰρ < S | διέλαβεν] δὲ ἔλαθεν V | δή Kl: δὲ VU; < S **14** ὧδε < S | τοῦτον U | ἤδη] ἰδὲ S, vgl. III, 3, 6 | παντὸς S] **15** ἄλλο ino: nina S | τι < V | τοιοῦτον U: < S | ὅπως ἐὰν < S

προσβάλλοι τοσοῦτον ὅσον ἐκχεῖται, μὴ ἐῶν τὸν ἀσκὸν ἀθρόως κενω-
θῆναι τοῦ ὕδατος, εἰ μὴ ἀνάγκη τοιοῦτο φαίνεσθαι τὸ προστιθέμενον
οἷον καὶ τὸ πρῶτον, διὰ τὸ εἶναι καὶ τὸ περιέχον τὸ αὐτό, περὶ ὃ εἰσρεῖ
καὶ ἀπορρεῖ τὸ ὕδωρ. καὶ δὴ καὶ τὸ σῶμα τούτοις ὁ ἐθέλων ἀπει- 5
κάζειν οὐκ αἰδεσθήσεται. ὡσαύτως γὰρ καὶ τὰ ἀπὸ τῆς τροφῆς ἀντ-
εισαγόμενα ἀντὶ τῶν ὑπεξωσθεισῶν σαρκῶν εἰς τὸ σχῆμα τοῦ
περιέχοντος εἴδους μεταβαλοῦνται· καὶ ὁπόσον μὲν ἂν κατὰ τοὺς
ὀφθαλμοὺς διαχυθῇ, τοῖς ὀφθαλμοῖς ἔοικεν, ὁπόσον δὲ κατὰ τὸ πρόσ-
ωπον, τῷ προσώπῳ, ὁπόσον δὲ κατὰ τὰ ἕτερα, τούτοις. ὥστε τὸν
αὐτὸν ἕκαστον φαίνεσθαι, οὐκ οὐσῶν τῶν σαρκῶν ἐν ταὐτῷ τῶν
πρώτων ὑποκειμένων, ἀλλὰ τοῦ εἴδους, καθ᾽ ὃ εἰδοποιοῦνται τὰ
προσγιγνόμενα. καὶ τοίνυν εἰ μή ἐσμεν οἱ αὐτοὶ κἂν ἐπ᾽ ὀλίγας 6
ἡμέρας τῷ σώματι, ἀλλὰ τῷ εἴδει τῷ ἐν τῷ σώματι (τοῦτο γὰρ μό-
νον ἕστηκεν ἀπὸ γενέσεως), πολλῷ μᾶλλον οὐδὲ τότε οἱ αὐτοὶ κατὰ
τὴν αὐτὴν σάρκα ἐσόμεθα, ἀλλὰ κατὰ τὸ εἶδος τὸ καὶ νῦν ἀεὶ δια-
σῳζόμενον ἐν ἡμῖν καὶ μένον. ὃ γὰρ ἐκεῖ τὸ δέρμα, τοῦτο τὸ εἶδος
ἐνθάδε· ὃ δὲ ἐκεῖ τὸ ὕδωρ ἐπὶ τῆς εἰκόνος, τοῦτο ἐνταῦθα τὸ προσ-
γιγνόμενον καὶ ἀπογιγνόμενον. ὥσπερ οὖν νῦν τοῦ σώματος οὐκ 7
ὄντος τοῦ αὐτοῦ, ὅμως ὁ χαρακτὴρ ὁ κατὰ τὴν αὐτὴν μορφὴν ὁ
αὐτὸς σῴζεται, οὑτωσὶ καὶ τότε, οὐκ ὄντος τοῦ σώματος τοῦ αὐτοῦ,
εἰς τὸ ἐνδοξότερον τὸ εἶδος αὐξηθὲν οὐκέτι ἐν φθαρτῷ, ἀλλ᾽ ἐν
ἀπαθεῖ καὶ πνευματικῷ δειχθήσεται σώματι, ὥσπερ οἷον ⟨τὸ⟩ τοῦ Ἰησοῦ

4 vgl. De res. III, 3, 6

1f *κενωθ.* S 67 **2** *τῶν ὑδάτων* las schwerl. S | *εἰ μὴ ἀνάγκη* ne nuždali: neimjždam S | *τοιοῦτο ἀνάγκη* V | *αὐτὸ τὸ προστιθέμενον* las schwerlich S **3** *πρότερον* Holl, *πρῶτον* S, *πᾶν* V U | *τὸ εἶναι καὶ* < S | *τὸ αὐτό* < S | *περιθεὶς ῥεῖ* U: *εἰς ὁ εἰσρεῖ* S **4** *καὶ δὴ* III, 3, 6 | *καὶ τὸ*] *τοῦτο τὸ* übersetzt S **5** *ἐδεσθήσεται* V **6** *ὑπεξωθεισῶν* V: *ὑπεξεωθεισῶν* U **7** *εἴδους*: *σώματος* schwerl. richtig S | *μὲν οὖν ἂν* V **9** *κατὰ τὰ ἕτερα*: »einem anderen Glied« S | *τούτοις*] *τοσοῦτον* S **10** *τῶν σαρκῶν ἐν ταὐτῷ* (*ἐν αὐτῷ* V): »dasselbe Fleisch« S **10f** *τ. πρ. ὑποκ.* < S **12** *προσγινόμενα* U | *καὶ* U 133^{V} | *εἰ μή ἐσμεν*] »nicht« S | *οἱ αὐτοὶ*] *ἐν αὐτοῖς* V: *τὸ αὐτὸ* viell. S, doch ist wohl für tože zu lesen tiže »dieselben« **13** *τὸ εἶδος, τὸ* las schwerl. S, obrazŭ wohl aus obrazom | *τῷ*^{2} < U **14** *πολλῷ οὖν* U | *τότε* < S **15** *κατὰ* < V | *τὸ κ.* V 349^{V} | ⟨*καὶ*⟩ *ἀεὶ* Holl: *ἀεὶ* < S **16** *καὶ μένον* < S **17** *ἐνθάδε*] »schien« + S, *ἐφάνη*? | *ἐκεῖ* S 67^{V} **17f** *προσγιν. κ. ἀπογιν.* U **18** *κ. ἀπογιγνόμενον* < V | *ὥσπερ οὖν*] *καὶ ὥσπερ* S **19** *ὁ*^{1} < V **20** *οὑτωσὶ* Jh, so od. *οὕτως* S: *οὕτως εἰ* V U | *τότε, οὐκ* < U **21** *ἀλλὰ* U **22** *ἀπαθεῖ*] »unverweslichem« S | *ὥσπερ οἷον*: »wie« S | *τὸ* + Md | *τοῦ*: *τῷ* U

κατὰ τὴν μεταμόρφωσιν ἥν, ὅτε εἰς τὸ ὄρος ἀνέβη μετὰ Πέτρου. καὶ τοῦ Μωυσέως καὶ τοῦ Ἠλίου τῶν ὀφθέντων αὐτῷ.

XXVI. *Καὶ ταῦτα μὲν οὖν μέχρι τοσούτου διεσκέφθω. οὗτος γὰρ ὡς ἐν κεφαλαίῳ τῶν Ὠριγένους δογματισμῶν ὁ νοῦς. ἐὰν δέ τις τῶν ἀμφισβητούντων προβαλλόμενος τὸ σῶμα τοῦ Χριστοῦ, | διὰ τὸ* 562 *»πρωτότοκον τῶν νεκρῶν« καὶ »ἀπαρχὴν« αὐτὸν εἰρῆσθαι »τῶν κεκοιμημένων«, λέγοι ὅτι Καθάπερ ἐκεῖνος ἀνέστη, καὶ τὰ πάντων ὡσαύτως ἐκείνῳ δεῖ προσδοκᾶν ἀναστήσεσθαι ⟨σώματα⟩, ἵνα ὥσπερ Χριστὸς ἐγήγερται, »οὕτως καὶ ὁ θεὸς τοὺς κοιμηθέντας διὰ τοῦ Ἰησοῦ ἄξει σὺν αὐτῷ«, ἐγήγερται δὲ τὸ τοῦ Ἰησοῦ καὶ τὰς σάρκας ἔχον ἃς εἶχε καὶ τὰ ὀστᾶ, καθάπερ ἐπείσθη καὶ Θωμᾶς· λέξομεν, Ἀλλὰ τὸ τοῦ Χριστοῦ σῶμα οὐκ ἦν »ἐκ θελήματος ἀνδρός«, »ἡδονῆς ὕπνῳ συνελθούσης«, »ἐν ἀνομίαις συλληφθὲν καὶ κισσηθὲν ἐν ἁμαρτίαις«, ἀλλὰ ἐκ »πνεύματος ἁγίου καὶ δυνάμεως ὑψίστου« καὶ παρθένου, τὸ δὲ σὸν ὕπνος ἐστὶ καὶ ἡδονὴ καὶ ῥύπος. καὶ διὰ τοῦτο* 2 *καὶ ὁ σοφὸς Σειράχ »ἐν γὰρ τῷ ἀποθνήσκειν ἄνθρωπον« ἀποφθέγγεται »κληρονομήσει ἑρπετὰ καὶ θηρία καὶ σκώληκας«. καὶ ἐν ὀγδοηκοστῷ ἑβδόμῳ ψαλμῷ· »μὴ τοῖς νεκροῖς ποιήσῃς θαυμάσια, ἢ ἰατροὶ ἀναστήσουσι καὶ ἐξομολογήσονταί σοι; μὴ διηγήσεταί τις ἐν τῷ τάφῳ*

1 Mt. 17, 1—3 (Mark. 9, 2—4) — **3** vgl. De res. I, 46, 3 — **6** Kol. 1, 18. Apok. Joh. 1, 5 — I Kor. 15, 20 — **9** I Thess. 4, 14 — **12** Joh. 1, 13 — Weish. Sal. 7, 2 — **13** Psal. 50, 7 — **14** Luk. 1, 35 — **16** Sir. 10, 11 — **18** Psal. 87, 11

2 *καὶ τοῦ Ἠλίου* < S **3** *καὶ ταῦτα — διεσκέφθω* auch unten 46, 3; in S wiederholt | *μὲν* < S | *οὖν* < U | *οὗτος* Pet Dd Jh: *οὕτως* V U, »dies« S **4** *ὁ νοῦς*] »haben wir erwähnt« S, schwerl. las S *ἐμνημονεύσαμεν* für *δογματ. ὁ νοῦς* **5** *προβ.*] *προβάλλεται* übersetzt, aber las schwerl. S | *τῷ σῶμα* U **6** *τῶν νεκρῶν* und *αὐτὸν* < S | *εἰρῆσθαι*] *εἶναι* las schwerl. S **7** *Καθάπερ* < Sb | *ἐκεῖνος*] *ὁ υἱός* bietet jetzt (aber wohl s̄n̄ aus sji) S | *καὶ τὰ*] *κατὰ* V **8** *ἐκεῖνο δεῖν* U | *σώματα* + S **9** *οὕτως* U 134 | *καὶ* < V **9f** *διὰ τ. Ἰ.*: »mit Jesus« S **10** *Ἰησοῦ*] *σῶμα* + S | *τὴν σάρκα* las schwerl. S (plotj wohl aus ploti) **11** *ἔχον* < U | *ἐπ. κ. Θωμᾶς*: »er sagte zu Thomas« oder »sagte Thomas« S | *λέξ.* S Holl: *λέξωμεν* V U **12f** *ἀνδρός — συνελθ.*: *σαρκὸς καὶ ἐξ ἑνώσεως* (*συνέρξεως*?) *ἀνδρός* S **13** *ἢ ἐν* S | *καὶ*] *ἢ* S | *κισσηθὲν*] »geboren« S **14f** vor *παρθένου* »reinen und heiligen« + S **16** *καὶ* vor *ὁ σοφὸς* < S | *σιρὰχ* V S | *τὸν γὰρ ἀποθνήσκοντα* las schwerl. S (»denn sterbend«) **16f** *ἀποφθέγγεται* < S **17** *σκώληκες* S **17f** *πζ ψαλμ.* V, *ὀγδοηκ. ψ. ἑβδ.* U; »88. Psalm« S u. + »spricht David« **19** *τις* < S | *τῷ* < U | *τά|φῳ* V 350

τὸ ἔλεός σου καὶ τὴν ἀλήθειάν σου ἐν τῇ ἀπωλείᾳ; μὴ γνωσθήσεται ἐν τῷ σκότει τὰ θαυμάσιά σου καὶ ἡ δικαιοσύνη σου ἐν γῇ ἐπιλελησμένῃ;« καὶ ἕτερα δὲ ῥήματα τοιαῦτα τῷ βουλομένῳ συνάγειν ἐκ τῶν γραφῶν πάρεστιν, ἃ ⟨ἐῶμεν⟩, ἵνα μὴ πάντων ἡμεῖς εἰς πλῆθος μνημονεύσαντες πολυπλασίονα τῶν εἰρημένων αὐξήσωμεν τὸν λόγον.

ΜΕΘΟΔΙΟΥ.

XXVII. Ὡς οὖν ἐπαύσατο μόγις ὁ Πρόκλος καὶ σιγὴ τῶν παρόντων ἦν ἐπὶ πολύ, καταβληθέντων ἱκανῶς πρὸς ἀπιστίαν, καὶ ἐγὼ ᾐσθόμην ὅτι τῷ ὄντι πεπαυμένος εἴη, ἠρέμα τὴν κεφαλὴν ἐπάρας καὶ ἀναπνεύσας, ὥσπερ οἱ πλέοντες τοῦ κύματος ἤδη λωφῶντος, ὑποτρέμων ἔτι καὶ σκοτιζόμενος (ἐβεβλήμην γάρ, ὡς πρὸς ὑμᾶς εἰρῆσθαι, τῇ δεινότητι κατηντλημένος τῶν λόγων) τρέπομαι πρὸς τὸν Αὐξέντιον, καὶ καλέσας αὐτόν Ὦ Αὐξέντιε, νομίζω, ἔφην, μὴ μάτην λελέχθαι τὸ ποιητικὸν

σύν τε δύ᾽ ἐρχομένω·

καὶ γὰρ οἱ ἀνταγωνισταὶ δύο.

4 Plato Pol. VII, 534 A — **7** Plato Alkib. I, 104 E. Phaed. 84 C. Meth. Symp. S. 22, 19f. 110, 16f. 121, 16ff — **9** Plato Prot. 328 D — **10** Symp. 2, 4 S. 19, 6. Plato Pol. I, 336 E. Prot. 339 E. Euthyd. 276 C — **11** Plato Pol. X, 595 B — **14** Plato Symp. 174 D. Plato Prot. 348 C D. 340 A — **15** Ilias 10, 224

3 *τοιαῦτα*] *πολλὰ* S **4** *ἃ* S: *ὅσα* V U | Pl *ἵνα μὴ ἡμᾶς πολλαπλασίων λόγων ἐμπλήσῃ* | *ἐῶμεν* + Md | *ἡμεῖς* < S **5** *μνημονεύοντες* U | *τὸν* < U **6** *ΛΟΙΠΟΝ ΜΕΘ.* V U **7** *μόλις* V, *μόγις καὶ* U | Pl Phaed. 84 C *σιγὴ . . ἐπὶ πολὺν χρόνον* **8** *ἐπὶ πολύ* < S | *καταβλ.* S 68^{v} | *ἱκανῶν* S **9** *ᾐσθόμην — εἴη* auch Pl | *τῷ ὄντι*: »sehr« »ganz« übersetzt S | *πεπαυμ.* U 134^{v} | *εἴην* U | *ἠρέμα τὴν*] *ἠρεματικὴν* U **10** *ἐκ τοῦ κύματος* S (schwerl. las S [»aus den schon sich beruhigenden Wellen«] *ἐκ τ. κυμάτων ἤδη λωφώντων*) **10f** Pl *εἶπον ὑποτρέμων* u. *ἐσκοτώθην* **11** *σκοτιζόμενος ὢν* S | *καὶ ὡς* w. e. sch. S | *εἰρῆσθαι* S u. Jh nach Plat. Pol. X, 595 B: *εἰρήσθω* V U **12** *τῶν λόγων κατηντλ.* U **12** *κατηντλημένος* < S: vgl. Symp. S. 139, 7 | *τῷ λόγῳ* V | *τρέπομαι*] Aoristform bei S **14** *τὸ ποιητικὸν*: »jenes Wort« S | Pl 340 A *ὥσπερ ἔφη Ὅμηρος . . σθένος ἀνέρος ἀμφότεροί περ σχῶμεν . . μὴ ὁ Πρωταγ. τὸν Σιμ. ἐκπέρσῃ* **15** *τε δύ᾽ ἐρχ.*] *τε δύο ἐρχομένω* V, *τε δυοῖν ἐρχομένοιν* U (*ἐρχομένῳ*?) S **16** *καὶ* übersetzt nicht S | *δύο* < S

διὸ σθένος ἀμφότεροι ἀμφοτέρων περ σχῶμεν.
συναντιλήπτορα γὰρ καὶ συναγωνιστὴν αἱροῦμαί σε τῆς πρὸς
αὐτοὺς μάχης, μὴ ἡμῖν ὁ Ἀγλαοφῶν μετὰ Πρόκλου καὶ Ὠριγένους
τοῖς ἀνατρεπτικοῖς καθ' ἡμῶν ὡπλισμένος λόγοις ἐκπέρσῃ τὴν ἀνά-
στασιν. ἄγε οὖν ἀντιπαραταξώμεθα, τῶν σοφισμάτων αὐτῶν μηδὲν 2
τῶν ἀντιλογικῶν, οἷς οἱ δειλοὶ βάλλονται, φοβηθέντες. καὶ γὰρ οὐδὲν 563
ἐν αὐτοῖς ὑγιὲς ὅλως οὐδὲ πάγιον, ἀλλὰ φαντασία μόνον εὐπρεπὴς
ῥημάτων, πρὸς κατάπληξιν ⟨μόνον⟩ τῶν ἀκουόντων καὶ πειθὼ κατ-
εσκευασμένη· οὐ τῆς ἀληθείας καὶ τοῦ συμφέροντος χάριν, ἀλλὰ τοῦ
δόξαι τοῖς παροῦσι σοφοὺς τοὺς λόγους. ἐντεῦθεν γοῦν τοῖς πολλοῖς 3
οἱ ἐκ τῶν εἰκότων ἔσθ' ὅτε λόγοι πρὸς κάλλος καὶ ἡδονὴν πεποικιλ-
μένοι μᾶλλον τῶν εἰς ἀκρίβειαν ἐξητασμένων νομίζονται σπουδαιό-
τεροι, τῶν διδασκάλων οὐ πρὸς τὸ βέλτιον ἁμιλλωμένων ἔτι καὶ
σεμνόν, ἀλλὰ πρὸς τὸ ἀρέσαι καὶ εὐημερῆσαι, καθάπερ οἱ σοφισταί.
οἳ μισθὸν αἴρονται τῶν λόγων, ἐπευωνιζόμενοι τῆς σοφίας ἐπαίνοις.
τὸ μέντοι παλαιὸν βραχὺ παντελῶς τὸ περὶ τὴν ἐξήγησιν ἦν, φιλο- 4
τιμουμένων μὴ τέρπειν ἀλλὰ ὠφελεῖν τοὺς παρόντας τῶν τότε. ἀφ'
οὗ δὲ λοιπὸν εἰς ῥαστώνην ἐπετράπη πᾶσιν ἑρμηνεύειν ἐξεῖναι τὰς

1 Ilias 21, 308f. — **2** vgl. Symp. 8, 1 S. 82, 5f — **9** De res. I, 2, 1 S. 221, 1f — **11** Plato Phaed. 92 D — De res. I, 28, 4 S. 257, 16f. Plato Menex. 235 A — **12** De res. I, 2, 5 S. 221, 18. Plato Theaet. 184 C

1 *διοσθένους* »des Diosthenos« S | *ἀμφότεροι* < V Dd Oehl: *ἀμφότερα* viell. S (»beide«) | *ἀμφοτέρων*] »beider« oboin od. oboina: obona S | *περ σχῶμεν* V vgl. Plat. Prot. 340 A: *ἐπέχομεν* U: »seiend«, viell. *ὑπάρχοντα* S **2** *γὰρ* < S | *ἐροῦμαί* U **4** *τοῖς ἀνατρεπτικοῖς* — *λόγοις* < S | *ἅμα τρεπτικοῖς* U | *ἐκπέσῃ* U, aber vgl. Pl Prot. 340 A **5** *ἀντιπαρατασσώμεθα* V | *τοῖς σοφίσμασιν* U S | *αὐτῶν* wohl auch S (ej *αὐτῇ* wohl aus eju) **6** *οἱ δηλοὶ* V, *δειλοὶ* U | *βάλλονται*] *φοβοῦνται* S | *φοβηθέντες βάλλονται* V **7** *ἑαυτοῖς* V | *ὅλως* < U **9** *μόνον* + S | *τ. ἀκουόντων τῶν* V **8f** *κατεσκευμένων* V: S 69 **9** *καὶ οὐ* viell. S | *καὶ τοῦ*] *οὐδὲ τοῦ* U | *τοῦ*] *ὡς* viell. S **10** *δεῖξαι* U u. S S. 221, 1f | *παροῦσι*] »den Hörenden« S | *τοὺς λόγους σοφούς* U | *λόγους*] *εἶναι* + S | *τοῖς πολλοῖς* < S **11** Pl *τοῖς διὰ τῶν εἰκότων τὰς ἀποδείξεις ποιουμένοις* | *ἔσθ' ὅτε* < S | *λόγοι* V 350ᵛ **12** Pl *μὴ δι' ἀκριβείας ἐξεταζόμενον* **13** *τ. διδασκ.*] *εἰς* (od. *ἐν*) *τ. διδασκ.* S; hierauf in S eine Lücke bis 29, 5 S. 260, 7 *αὐτὴν αὖθις* | *οὔτε* U | *βέλτιστον* U Jh | *ἁμιλλωμένων*] vgl. 106, 1 u. Symp. S. 12, *διαμιλλ.* unten I, 58, 1. 60, 3. II, 4, 3. Pl Pol. VI, 490 A **15** *ἐροῦνται* U | *τὴν σοφίαν* richtig Holl | *ἐπαίνοις* < V **16** *μέντοι*] *μὲν οὖν* U **18** *ἐτράπη* V | *ἐξεῖναι* tilgt Holl

γραφάς, καὶ πάντες εἰς τὸ ποιῆσαι μὲν τὸ καλὸν ἠμβλύνθησαν πλησθέντες οἰήματος, περὶ τὸ λογικεύεσθαι δὲ προέκοψαν καλλωπιζόμενοι ὡς πάντα γινώσκειν ὑπάρχοντες δεινοί, διδάσκεσθαι μὲν ὁμολογεῖν χρήζειν αἰδεσθέντες, φιλονικεῖν δὲ μᾶλλον καὶ προπηδᾶν, ὡς οἱ διδάσκαλοι . . θρασυνθέντες γοῦν ἐντεῦθεν τοῦ μὲν εὐλαβοῦς καὶ πρᾴου καὶ πάντα δύνασθαι ποιεῖν τὸν θεόν, ὡς ἐπηγγείλατο, πιστεύειν ὠλίσθησαν, εἰς δὲ ζητήσεις κενὰς καὶ βλασφημίας ἥκασι· μὴ νοήσαντες ὡς οὐ τὰ ἔργα τῶν λόγων ἐπετηδεύθη χάριν, ἀλλὰ τῶν ἔργων οἱ λόγοι, ὥσπερ ⟨ἐπ'⟩ ἰατρικῆς δι' ὧν τοὺς κάμνοντας σῴζεσθαι δεῖ τῶν λόγων ἔργοις κυρουμένων, ἵν' ἡρμοσμένων ἡμῶν πάντα σύμφωνος ὁ νοῦς εἴη τοῖς ἀρίστοις λόγοις τὰ ἤθη τῇ γλώσσῃ συνῳδὰ παρέχων δίκην λύρας, ἀλλὰ μὴ ἄμουσα καὶ ἀσύμφωνα. ἐπὶ γὰρ τῷ κτήσασθαι κατὰ ἀλήθειαν ⟨τὴν σοφίαν⟩ ἀγωνίζεσθαι δεῖ τὸ δίκαιον ἀσκοῦντα καὶ οὐκ ἐπὶ τῷ δοκεῖν, χωλῶς ἐπιβαίνοντα σοφίας, καὶ πρὸς δόξαν μᾶλλον ἢ πρὸς ἀλήθειαν ἁμιλλώμενον, πρόθυρα καὶ προσχήματα καὶ πᾶσαν ὑποδυσάμενον τῆς ὑποκρίσεως τὴν σκευήν. |

XXVIII. Εἰσὶ γάρ, εἰσὶν οἱ λόγων τραγικῶς κεκοσμημένοι προβο- 564
λαῖς καθάπερ γυναῖκες ἔξωθεν ὡραϊζόμεναι πρὸς ἀπάτην ἐντέχνως, ἐὰν μή τις πεφυλαγμένως αὐτοῖς τῶν ἔτι νεωτέρων προσβλέψῃ τῇ πίστει καὶ νηπτικῶς. ὅθεν εὐλαβητέον πρὸ τοῦ καταμαθεῖν ἀσφαλῶς εἰς τὴν καρδίαν εἰσδέξασθαι τὸν τοιούτων λόγον. καὶ γὰρ φθάνουσιν οἱ ἐξαπατῶντες πολλάκις τοὺς διδάσκοντας, καθάπερ δὴ καὶ αἱ Σει-

1 Plato Pol. VI, 490 B. Symp. 8, 14 S. 102, 17f — **2** Symp. S. 4, 1 — **10** Plato Lach. 188 D. Klem. Alex. Paed. I, 12 — **14** Symp. 3, 2. 5, 4 S. 29, 12. 57, 1 — Plato Epin. 981 A — **15** Plato Pol. II, 365 C — **18** Symp. 7, 2 S. 73, 6f — **22** Symp. 8, 1 S. 81, 16f. De autex. 1, 1f S. 145, 3ff

1 *καὶ* tilgt Holl | *μὲν* vor *εἰς* V | *ἠμβλύνθησαν*] C. Porph. 3. Pl **4** *φιλ.* Bo: *φιλονεικίαν* V, *φιλονεικεῖν* U | *οἱ* tilgt Holl **5** Lücke vor *θρασ.* Holl **6** *ὡς*] *ὧν* U | *τὸ πιστεύειν* U **7** *καινὰς* V | *μὴ*] *οὐ* V **9** *ἐπ'* + Holl | *δι' ἧς* Holl | *δεῖ σώζεσθαι* U | *δεῖν* U **10** *κυρουμένης* vermutet Jh »verbo *κυροῦσθαι* vi media non passiva posito« unter Vergleichung von Pl Gorg. 451 C *ὅτι καὶ αὕτη λόγῳ κυροῦται τὰ πάντα* | Klem. *ἡμᾶς ἁρμοσαμένους . . σύμφωνον τὸν λόγον ποιησαμένοις τοῖς ἔργοις* | *ἵν'* < V | *σύμφ.* Holl: *συμφώνως* V U **11** *εἴη*] *ἐπὶ* V **13** *τ. σοφ.* + Holl | *ἀσκ.* Holl: *ἀσκεῖν* V U **14** *τῷ*] *τὸ* V | *ἐπιβαίνοντας* V. Unten II, 16, 2. Pl *σοφίας . . ἐπιβαίνειν* | *καὶ πρὸς* U 135ᵛ **15** *ἀμιλλωμένων* corrig. in *ἀμιλλώμενον*, aber ohne Tilgung von *ων* U | Pl *πρόθ. . . κ. σχῆμα* **16** *ἀποδυσάμενον* V **17** *οἱ* U Dd: V 351 | *κεκ.* Bo: *κεκοσμημένων* V U **17f** *προβ.* Pet: *προσβολαῖς* V U **18** *γυναῖκες αἱ* U | *ὡραϊζόμενοι* Jh **19** vor *ἐὰν* Lücke nach Holl | *αὐτ.* Jh: *αὐταῖς* V U | *νεοτέρων* U **21** *τὸν* < V | *τοιοῦτον* V U: *τῶν τοιούτων* Jh **22** *διδ.*: *διστάζοντας* Holl | *δὴ* < U **22f** *σιρῆναι* V

ρῆνες τοὺς φεύγοντας αὐτὰς κρύπτουσαι μακρόθεν τὸ μισάνθρωπον τῇ
καλλιφωνίᾳ. ἢ πῶς, ὦ Αὐξέντιε, ἔφην ἐγώ, σοι ⟨δοκεῖ⟩ ταῦτα τίθεσθαι; 2
ΑΥΞ. καὶ ὃς ἀπεκρίνατο, Οὕτως καθάπερ καὶ σύ.
ΜΕΘ. Οὐκοῦν πάντως τῶν ἑτεροδόξων τοὺς σοφιστὰς μιμητὰς
εἰδώλων ἀληθείας εἶναι λέγωμεν, ἀλήθειαν μὴ γινώσκοντας, καθάπερ
ζωγράφους; καὶ γὰρ οὗτοι μιμεῖσθαι μὲν ναυπηγοὺς καὶ πλοῖα καὶ
κυβερνήτας ἐπιχειροῦσι, ναυπηγεῖν καὶ κυβερνᾶν οὐ γινώσκοντες. οὐκ- 3
οῦν ἀποξέοντες ⟨εἰ⟩ θέλεις τὰ χρώματα πείθωμεν αὐτῶν τὰ θαυμάζοντα
τὰς τοιαύτας γραφὰς παιδία, ὅτι οὔτε τὸ πλοῖον τοῦτο πλοῖόν ἐστιν
οὔτε ὁ κυβερνήτης κυβερνήτης, ἀλλὰ τοῖχος ἔξωθεν πρὸς τέρψιν χρώ-
μασι καὶ γραφαῖς κεκοσμημένος, καὶ ὅτι μιμηταὶ μὲν εἰδώλου πλοίου
καὶ κυβερνήτου οἱ δημιουργήσαντές εἰσιν ἀπὸ τῶν χρωμάτων ταῦτα,
καὶ οὐ πλοίου ⟨ἢ κυβερνήτου⟩;
ΑΥΞ. Μακρὸν τῷ ἀκοῦσαι ποθοῦντι τὸ προοίμιον. 4
ΜΕΘ. Ἀλλ᾽ ὠφέλιμον, ἔφην, ὦ ἄριστε. τὰ γὰρ ἀπὸ τῶν θεο-
πνεύστων γραμμάτων ῥήματα, οἷς ἐπιχρωματίζοντες ποικίλλουσιν
ἑαυτῶν πρὸς ἀπάτην οὗτοι τὴν δόξαν, δικαιοσύνην αὐθαδῶς καὶ
ἀλήθειαν ὀνομάζοντες, οὐ γινώσκοντες ὅλως δικαιοσύνην, εἴ τις ἀφέ-
λοιτο, πόσον οἴει γυμνωθέντας αὐτοὺς τῶν τοιούτων ὀνομάτων
χλευασθήσεσθαι;
ΑΥΞ. Πάνυ πολύ, ἔφη.
ΜΕΘ. Πότερον οὖν, ὦ Αὐξέντιε, ἦν δὲ ἐγώ, σὺ βούλει ταύτης 5
ἡγεμονεύειν τῆς ὁδοῦ, ἢ ἐγὼ ἡγῶμαι;

4 Plato Pol. X, 600f — **10** Symp. 11 S. 129, 15f — **14** Plato Pol. IV, 432f — **16** Symp. 10, 5 S. 127, 27. De res. I, 27, 3 S. 255, 11f — **22** Plato Prot. 351 E

4—20 S. Parall. 413 S. 162 Holl — **6** vgl. Dial. Adam. V, 16 S. 204, 10f Bh

1 *κρύπτ.* V Holl; *κρύπτουσι* U **2** *σὺ τ. τίθεσαι* Gataker mit Pl Krat. 386 B *πῶς τοῦτο τίθεσαι* | *δοκεῖ* + Holl nach S. 259, 16 **3 ff** *ΑΥΞ.*, *ΜΕΘ.* u. *ΑΓΛ* + Bo, wie sonst S | *ἀπεκρίνετο* V **4** C Bl. 160, 12; Lemma *περὶ ἀναστάσεως* | *πάντας* V Jh: *πάντως* U **5** *λέγομεν* (auch U) *εἶναι* C | *λέγ.* V Jh Holl | *μὴ* U Holl: *οὐ* V **7** *οὐ*] *μὴ* U | *γινώσκοντες*] *λεγόμενοι* C **8** *εἰ* + Holl | *θέλεις* < C: *ὅσα εἰς* V | *πείθομεν* C | *αὐτῶ* V, *αὐτοὺς* C | *τὰ θ.*] *θαυμάζοντας* C **9** *τοῦτο* < U **11** *κεκοσμιμένος* V: *κεκοσμημένα* U **12** *καὶ κυβ.*: *ἢ κυβ.* C | *δημιουρ|γήσαντες* U 136 **13** *καὶ οὐ — ἄριστε* Z. 15 < C | *ἢ κυβ.* + Kl **14** *τῷ*] *τὸ* U **15** *ἀλλὰ* U | *ἔφη* V U **16** *γραμμάτων* V C: *γραφῶν* U Jh mit II Tim. 3, 16 | *ποικίλλουσιν*] I, 27, 3 **18** *ἀληθινῶς* C | *αὐτὴν ὀνομ.*? Bo **19** *ποσὸν* V | *οἴη* C 1. Hd. | *τοιούτων* C 160ᵛ | *ὀνομά|των* V 351ᵛ **20** *χλευασθήσεσθαι*: es endet C **22** Pl *πότερον οὖν, ἦν δ᾽ ἐγώ, σὺ βούλει ἡγεμονεύειν τῆς σκέψεως* und *ἢ* bis *λόγου* S. 258, 1 **23** *ἡγ.* Pl Kl: *ἡγήσομαι* Holl: *ἥγομαι* V, *ἡγήσομαι* U

ΑΥΞ. Δίκαιος, ἔφη, σὺ ἡγεῖσθαι· σὺ γὰρ καὶ κατάρχεις τοῦ λόγου.

XXIX. *ΜΕΘ.* Οὐκοῦν ἐλέγετο (φέρε γὰρ πρὸς μέρος ἐξ ἀρχῆς ἀκολούθως τὸν Ἀγλαοφῶντος ἐξετάσωμεν νοῦν) ἡ ψυχὴ τὸ σῶμα διὰ τὴν παράβασιν ὃ περικείμεθα τοῦτο ἀνειληφέναι, χρόνοις τοῖς ἄνω χωρὶς αὐτοῦ μακαρίως διάξασα; τοὺς γὰρ δερμαντίνους εἶναι χιτῶνας σώματα, εἰς ἃ | ἐνεῖρχθαι συνέβη τὰς ψυχάς, δίκην ὅπως ὧν ἔδρασαν 565 νεκροφοροῦσαι παράσχωσιν. ἢ οὐ ταῦτα πρῶτον ἦν ἐν ἀρχῇ τὰ λεχθέντα ὑπὸ σοῦ, ἰατρέ; ἀλλ' ἴθι ὑπόμνησον, ἐάν τί σοι φαίνωμαι μὴ μεμνημένος.

ΑΓΛ. Οὐδὲν νῦν ὑπομνήσεως εἰς τοῦτο δέῃ· αὐτὰ ταῦτα γὰρ ἦν ἐν πρώτοις ἡμῖν τὰ εἰρημένα.

ΜΕΘ. Τί δέ; οὐχὶ καὶ τοῦτο ἐν τοῖς ἑξῆς ἐλέγετο πολλαχῶς 2 ὑπὸ σοῦ, ὡς ἐμπόδιον πρὸς τὴν κατάληψιν ἡμῖν τὸ σῶμα τῶν ὄντως ὄντων καὶ γνῶσιν διὰ τὰς πρὸς τὸ κοσμεῖν ἀσχολίας αὐτὸ καὶ θεραπεύειν γίγνεται καὶ τὰς ἄλλας τὰς περὶ τὴν ἐπιθυμίαν τῆς γαστρὸς προσβολάς, ἔτι τε βλασφημιῶν καὶ παντοίων αἴτιον ἁμαρτημάτων, διὰ τὸ μὴ δύνασθαι καθ' ἑαυτὴν δίχα σώματος ὅλως ἁμαρτῆσαι ψυχήν· καὶ διὰ τοῦτο μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν ἐκτὸς ἁμαρτήματος

4 vgl. Plato Phaedr. 250 C — **5** De res. I, 4, 2f. 5, 6 S. 224, 1ff. 227, 6ff; vgl. Symp. 2, 7 S. 24, 9. Tert. Adv. Valent. 24. De res. 7 — **8** vgl. I, 3, 1 S. 222, 2 — Plato Phaed. 91 C — **13** vgl. De res. I, 4, 7. 30, 5 S. 225, 6ff. 263, 11ff. Plato Phaed. 65 A

2 vgl. Anast. Sin. In Hexaem. B. XI (latein. PL 89, 1044 C—1046 A, griech. Jh I, 68. Bo Meth. v. Ol. I, 107) — **5** Greg. Naz. Or. 38. Carm. I, 1, 8 v. 115f PGr 37, 324 C. 455. Greg. Nyss. De an. et res. III, 253 B

1 *δίκαιον* U | *σὺ*¹: *σοι*? V **2** über Anastasius vgl. die Einleitung **3f** vgl. Pl *ὃ νῦν δὴ σῶμα περιφέροντες ὀνομ.* **5f** *τὸν χιτῶνα τῆς ψυχῆς τὸν σάρκινον* Symp. S. 24, 9; *τοὺς δερματίνους ἀμφιέννυται χιτῶνας, ἴσως τὴν παχυτέραν σάρκα καὶ θνητήν* Greg. Or., *δερματίνους δὲ χιτῶνας ἐφέσσατο σάρκα βαρεῖαν νεκροφόρος* Greg. Carm.; *δέρμα . . τὸ σχῆμα τῆς ἀλόγου φύσεως νοεῖν μοι δοκῶ* Greg. Nyss. Vgl. sonstige Stellen bei Holl, Amphilochius S. 202. Hilt, D. h. Gr. v. Nyssa Lehre v. Menschen (1890) S. 112ff **6** *σώμ.*] *ἔφη* + Holl | *ὁπόσων* V **7** *παράσχουσιν* V: *δίκην ὁπόσων . . παρασχούσας* empfiehlt Dd **8** *ἴθι ὑπόμνησον* V: *εἰς ὑπόμνησιν* U **8f** Pl *ὑπομνήσατε ἃ ἐλέγετε, ἐὰν μὴ φαίνωμαι μεμνημένος* **8** *τίς σοι φαίνομαι* U | *μὴ* vor *φαίν.* V **10** *οὐδὲν* Gataker für *οὐδὲ* **13** *ἐμπόδιον* Dd, vgl. Symp. S. 61, 2, Pl *ἐμπόδιον τὸ σῶμα*: *ἔμποδον* V, *ἐμποδῶν* U: Jh gegen Dd »*ἐμποδὼν γίγνεσθαι* i. q. *ἐμποδίζειν* p. 567 D« (30, 5) **14** *ἀσχολλίας* U 136ᵛ **15** *γίνεται* V U **16** *ἔτι τε*] *εἴ τε* V **17** *διὰ τὸ μὴ*] *ὧν οὐ* V **17f** *τὴν ψυχήν* U **18** *ἁμαρτημάτων* U

ὅπως ἔσοιτο καὶ παρακοῆς ἐν τοῖς οὐρανοῖς, ἔνθα καὶ τὰς διατριβὰς ἕξει μετὰ τῶν ἀγγέλων, ἐλευθέραν αὐτὴν καὶ γυμνὴν χρῆναι διαμεῖναι σώματος, ἐπειδήπερ τὸ σῶμα τοῦ χραίνεσθαι τοῦτο καὶ ἁμαρτάνειν παραίτιον αὐτῇ καὶ συνεργὸν γίγνεται· ἄνευ γὰρ σώματος ἀμήχανον ἁμαρτῆσαι ψυχήν· ὅθεν ἵνα τὸν ἄπειρον ἀναμάρτητος αἰῶνα τηρηθῇ, οὐκέτι τὸ ταλαντεῦον αὐτὴν εἰς τὴν φθορὰν κάτω καὶ τὴν ἀδικίαν σῶμα λήψεσθαι;

ἈΓΛ. Ἀλλ' ἐλέχθη καὶ τοῦτο.

ΜΕΘ. Τί δέ; καὶ καλῶς σοι τοῦτο καὶ ὀρθῶς, ἔφην, ἥγησαι 3
λελέχθαι;

ἈΓΛ. Καὶ τί σοι, ἔφη, τοῦτο διαφέρει, ἀλλὰ οὐκ ἐξελέγχεις τὸν λόγον;

ΜΕΘ. Οὐδέν, ἦν δὲ ἐγώ, ἀλλὰ δι' ἃ εἴρηκας, ὅπως ἐξετάζηται ὁ λόγος.

ἈΓΛ. Καλῶς καὶ ὀρθῶς, ἔφη.

ΜΕΘ. Καλῶς δέ σοι δοκεῖ τίθεσθαι καὶ ὀρθῶς ὁ ἑαυτῷ τἀναντία λέγων καὶ ἀσύμφωνα;

ἈΓΛ. Οὐδ' ὁπωστιοῦν.

ΜΕΘ. Ἀμούσως γὰρ οὗτος σοι φαίνεται τὴν ἀλήθειαν ὑποκρίνεσθαι;

ἈΓΛ. Πάντων μάλιστα, ἔφη.

ΜΕΘ. Οὐκ ἄρα ἀποδέχῃ τὸν τὰς ἁρμονίας ἐντείνοντα πρὸς τὸ ψευδὲς μέλος τῶν λόγων;

ἈΓΛ. Οὐδ' ὁπωστιοῦν.

ΜΕΘ. Οὐκοῦν οὐδὲ σεαυτοῦ λέγοντος ἀμούσως οὐδ' ὁτιοῦν ἀπο- 4
δέξῃ. δοὺς γὰρ ἀσωμάτως ἡμαρτηκέναι τὰς ψυχάς, ἀποσφαλείσας

1 Plato Phaed. 81 A — **2** Plato Krat. 403 B — **11** Plato Pol. I, 349 A

26 Dial. Adam. V, 21 S. 216, 10ff

1 *σέσοιτο* V **1f** Pl *μετὰ θεῶν διάγουσα* **2f** Pl *ἡ ψυχὴ γυμνὴ τοῦ σώματος* **3** *ἵνα ἐπειδήπερ* V **4** *γίνεται* U **8** *Ἀλλ'* < U **9** *σοι* V 352 **11** *διαφέρει* Pl Pet: *διαφέρειν* VU | *ἐλέγξεις* U **13** *Οὐδὲν ἦν*] *οὐδὲ ψυχὴν* U **16** *ὁ*] *ὃς* U | *τὰ ἐνάντια* U **18. 24** *οὐδ' ὅπως. τί οὖν* V U: Dd vergleicht Thesaur. V, 2129 **19** *οὕτως* U Jh (*ἀμούσως οὕτως* = »sic inconcinne«), schon Pet übers. »ille« **22** *ἁρμονίας*] *ἁμαρτίας* Jh **24** *Οὐδ'*] *οὐχ* V **25f** *ἀποδέξει* Jh: Pl Phaed. 92 A *οὐ γάρ που ἀποδέξῃ σαυτοῦ λέγοντος* **26ff** D *Ἔφης, διὰ τὸ ἡμαρτηκέναι τὴν ψυχὴν ἐνδεθῆναι ἐν τῷ σώματι· εἶτα μετ' ὀλίγον ὑποβὰς αἴτιον πάντων τῶν κακῶν λέγεις τὸ σῶμα, τῆς ψυχῆς καὶ πρὶν ἢ ἐνδεθῆναι ἐν τῷ σώματι ἁμαρτησάσης. εἰ οὖν δυνατὸν τῇ ψυχῇ χωρὶς σώματος ἁμαρτάνειν, τί αἴτιον τὸ σῶμα τῆς ψυχῆς ἁμαρτανούσης* **26** *ἀποσφαλίσας* U 137

τῆς ἐντολῆς, καὶ φράσας διὰ τὴν ἀνομίαν τοὺς χιτῶνας αὐταῖς ὕστερον
τοὺς δερματίνους δεδωκέναι τὸν θεόν, ἵνα δίκην νεκροφοροῦσαι πα-
ράσχωσι, χιτῶνας τὰ σώματα φράσας, προϊόντος τοῦ λόγου ἐπιλαθό-
μενος ἃ τὸ πρῶτον ὑπέθου, μὴ δύνασθαι καθ᾽ ἑαυτὴν τὴν ψυχὴν
ἁμαρτῆσαι λέγεις | (οὐ πεφυκέναι γὰρ ὅλως πρὸς τοῦτο, ἀλλὰ παραί- 566 5
τιον αὐτῇ παντοίων κακῶν τὸ σῶμα γεγονέναι· ὅθεν πρὸς τὸ μὴ
παρορμηθῆναι πρὸς ἀδικίαν αὐτὴν αὖθις, καθάπερ συνέβη καὶ πρόσθεν
ὑπὸ τοῦ σώματος, οὕτως εἰς τοὺς αἰῶνας αὐτὴν ἔσεσθαι χωρὶς αὐτοῦ),
καίτοι πρῶτον εἰπὼν ἐν τῷ παραδείσῳ πρὸ τοῦ σώματος τὴν ψυχήν,
ὁπότε ἔτι μακαρία καὶ ἀναλγὴς ἦν, ἡμαρτηκέναι· παραβάσῃ γὰρ τὴν
ἐντολήν, κεκρατυμμένης ἤδη διὰ τὴν πρὸς τὸν ὄφιν πειθὼ τῆς ἁμαρ-
τίας, δεσμὸν αὐτῇ τὸ σῶμα δεδόσθαι τιμωρόν. ὥστε ἢ τὸ πρότερον 6
ἢ τὸ ὕστερον οὐκ ὀρθῶς ἔχει. ἤτοι γὰρ πρὸ σώματος ἥμαρτε, καὶ
οὐδέν τι μᾶλλον κἂν μὴ λάβῃ σῶμα ἁμαρτήσεται, καὶ μάταιος ἡ περὶ
τοῦ μὴ ἀνίστασθαι τὸ σῶμα περισσολογία· ἢ μετὰ σώματος, καὶ οὐ
δύνανται σῶμα οἱ χιτῶνες νομίζεσθαι εἶναι οἱ δερμάτινοι. εὑρίσκεται
γὰρ πρὸ τῆς κατασκευῆς αὐτῶν ἀθετήσας ὁ ἄνθρωπος τὴν θείαν
ἐντολήν· οὗ καὶ χάριν οἱ χιτῶνες κατασκευάζονται, τὴν γύμνωσιν
τὴν ἀπὸ τῆς ἁμαρτίας αὐτῶν προσγενομένην καλύψοντες. ἀλλὰ 7
πότερον πείθω σε, καὶ ὁρᾷς ὡς ἑαυτῷ μαχόμενα ὑπέθου, καί σοι
τοῦτο γεγένηται σαφές; ἢ οὐδέπω μανθάνεις, ὦ Ἀγλαοφῶν, ἔφην,
ὃ λέγω;

ΑΓΛ. Μανθάνω, ἔφη, καὶ οὐκέτι δέομαι δεύτερον ἀκοῦσαι· ἀλλὰ 8

3 Plato Phaedr. 238 D. Prot. 339 D — **4** De res. I, 5, 1 S. 226, 6f. 57, 1. 54, 2 — **9** De res. I, 4, 2. 5, 1. 54, 2 S. 224, 2. 226, 8f — **21** vgl. De res. I, 25, 4 S. 251, 12f. Plato Gorg. 447 D — **23** Plato Pol. III, 392 D. Phaed. 76 D

4 ἃ] πρῶτον V **6** ὅθεν μὴ πρὸς τὸ μὴ V **7** καθάπερ συνέβη] wieder S **8** οὕτως < V | αὐτὴν < S **9** τὴν ψυχὴν] τῆς ψυχῆς οὔσης w. e. sch. S **10** ἀναλγὴς] »tadellos« S | αὐτὴν ἡμαρτηκέναι S | παραβάσει V S: παραβᾶσα U | γὰρ < S **10f** τῆς ἐντολῆς S **11** κεκρατημένης U: < S: καὶ κεκρατημένη Jh | ἤδη < S | ὑπὸ τῆς Jh: < S **12** καὶ τιμ. S **13** οὐκ < S (oder li aus ne) | ἔχει] εἶπες ἡμῖν S | ἤτοι: εἰ? S **15** τοῦ] αὐτοῦ V | περισσολ.: »Rede« S | οὐ V 352ᵛ **16** σῶμα] δέρμα (τὰ) σώματα S | νομίζεσθαι εἶναι] »genannt werden das heißt« S **17** πρὸς τὴν U **17f** ἀθετ. . . τ. θείαν ἐντολὴν: »gesündigt habend« S **18** καὶ χάριν S 69ᵛ **19** τῆς ἀπὸ τ. V | αὐτῷ S | προσ|γεν. U 137ᵛ | καλύψαντες V **20** ἑαυτῷ Pet S: ἑαυτῶν V U | ἀχόμενα U **21** γένηται V **21ff** Pl ἢ οὐ μανθάνεις ὡς λέγω; Μανθάνω **21** μανθ.: »kannst verstehen« S | ἔφη S **23** ἈΓΛ. u. ΜΕΘ. stets + S | ἔμαθον od. ἐμάνθανον S | οὐκέτι U: οὐδέν τι V: οὐ S | ἀκούσθαι V, ἀκούσεσθαι U

ἔλαθον ἐμαυτὸν οὐκ ὀρθῶς εἰπών. ἀνάγκη γάρ μοι (δεδωκότι τοὺς δερματίνους χιτῶνας εἶναι τὰ σώματα) ὁμολογεῖν, καὶ πρὶν εἰς τὸ σῶμα τὴν ψυχὴν ἐληλυθέναι ἡμαρτηκέναι, ἀνθ᾽ ὧν πρὸ τῆς κατασκευῆς αὐτῶν ἡ παράβασις ἐγένετο (διὰ τὴν παράβασιν γὰρ οἱ χιτῶνες αὐτοῖς κατασκευάζονται, καὶ οὐχ ἡ παράβασις διὰ τοὺς χιτῶνας γίγνεται), καὶ ἐκ ταύτης τῆς ὁμολογίας συγκατατίθεσθαι, ὡς οὐ τὸ σῶμα τοῦτο παραίτιον κακίας ἐστίν, ἀλλ᾽ αὐτὴ ἡ ψυχὴ ἐν ἑαυτῇ. διὸ κἂν μὴ λάβῃ τὸ σῶμα, ἁμαρτήσεται, ἐπειδήπερ καὶ πρόσθεν ἥμαρτεν χωρὶς σώματος. καὶ ἀνόητον τὸ λέγειν ἀναβιῶναι μὴ δύνασθαι τὸ σῶμα διὰ τοῦτο [τὴν σάρκα], ἵνα μὴ παραίτιον τῇ ψυχῇ τοῦ ἁμαρτῆσαι γενηθῇ. ἁμαρτήσεται γάρ, ὥσπερ καὶ πρὸ τοῦ σώματος ἥμαρτεν, οὕτως καὶ μετὰ τὴν τοῦ σώματος ἀπόθεσιν, κἂν μὴ αὖθις τὸ σῶμα ἀπολάβῃ. ὅθεν ἀνάγκη μοι διὰ ταῦτα μήτε ἐμαυτοῦ μήτε ἄλλου ἀποδέχεσθαι λέγοντος, | τοὺς δερματίνους χιτῶνας εἶναι τὰ σώματα. εἰ 567
δὲ ἀποδεξαίμην, ὁμολογεῖν χρή με καὶ τὰ εἰρημένα.

XXX. *ΜΕΘ.* Τί δέ; οὐχὶ κἀκεῖνο, ἔφην, ὦ Ἀγλαοφῶν, δοκεῖ σοι μὴ ὀρθῶς ἔχειν;

ἈΓΛ. Τὸ ποῖον;

ΜΕΘ. Τὸ δὴ λέγειν, ἦν δὲ ἐγώ, δεσμὸν καὶ πέδας τὸ σῶμα

7 Dial. Adam. V, 21 S. 218, 5ff — **19** Phot. Bibl. 234 S. 293a, 5—10

1 ἐμαυτὸν < U | μοί ἐστι S | δεδοκότι U, corr. in V **2** ὡς (oder ὅτι) καὶ S **3** ἡμαρτικέναι U: ἡμαρτηκέναι αὐτὴν w. e. sch. S **4** ἡ < V | τὴν παράβασιν] τοῦτο S **4f** οἱ χιτῶνες αὐτοῖς: αὐτοὶ S **5** κατασκευάζονται] »sind bereitet worden« S: καὶ δι᾽ αὐτῶν ἡ τούτων αὐτοῖς κατασκεύασις U | τοὺς] »(wegen) jener« S **5f** γίνεται V **6** συγκατατίθεσθαι: »muß man schließen (?)« S **7** αὕτη V | ἐν ἑαυτῇ < V: ἑαυτῇ S | D εἰ γὰρ πρὸ τοῦ σώματος ἥμαρτε καὶ ἀπαλλαγεῖσα νῦν ἐκ τοῦ σώματος αὖθις ἁμαρτήσει διὰ τὸ καὶ πρὸ τούτου ἡμαρτηκέναι **9** ἀναβ. μὴ δύν.] μὴ ἀναβιῶναι S | τὸ σῶμα] χωρὶς σώματος V **10** τὴν σάρκα tilgt Dd, < S | τῆς ψυχῆς S **11** γεννηθῇ U | ὡς U | τοῦ < V **13** διὰ ταῦτα < S | μήτε ἄλλου μήτε ἐμαυτοῦ S **14** ταῦτα λέγοντος S **14f** εἰ δὲ] ἢ V **15** ἀπο|δεξαίμην U 138 **16** Τί δέ] das Folgende in kurzer Fassung bei Ph 234 S. 293a, 5—10. 13—29; Überschrift Ἀνεγνώσθη τοῦ ἁγίου Μεθοδίου, ἐπισκόπου καὶ μάρτυρος ἐκ τοῦ περὶ ἀναστάσεως λόγου οὗ ἡ ἐκλογὴ τὰ ὑποκείμενα λέγει | die Namen stets aus S | Τί δὲ — ἔχειν Z. 17] »jenes stimmt« S **19** Ph ὅτι οὐ δεσμόν φησι τὸ σῶμα τῆς ψυχῆς εἶναι, ὡς Ὠριγένης ᾤετο, οὐδὲ δεσμώτιδας τὰς ψυχὰς παρὰ τοῦ προφήτου Ἱερεμίου καλεῖσθαι διὰ τὸ ἐν σώμασιν αὐτὰς τυγχάνειν. οὐ γὰρ ἐμποδίζειν τὰς τῆς ψυχῆς ἐνεργείας τὸ σῶμα τίθεται, συμπεριάγεσθαι δὲ μᾶλλον τὸ σῶμα καὶ συνεργεῖν πρὸς ἃ ἡ ψυχὴ ἐπιτρέπει | τὸ δὴ (Md Kl: δὲ V, < U) λέγειν, ἦν δὲ ἐγώ] τὸ od. ὃ ἐγὼ λέγω S | ἣν V 353 | καὶ πέδας < S

μεμηχανῆσθαι κατὰ τῆς ψυχῆς, καὶ ὅτι καὶ ὁ προφήτης »δεσμίους
γῆς« ἔφη ἡμᾶς διὰ τοῦτο, καὶ ὁ Δαυὶδ »πεπεδημένους«.
ʼΑΓΛ. καὶ ὅς, Οὐκ ἔχω σοι προχείρως ἀποκρίνασθαι, ἔφη. ἀλλὰ
τί ἄλλῳ οὐ διαλέγει;
ΜΕΘ. καὶ ἐγὼ (ᾐσθόμην γὰρ ἐρυθριᾶν αὐτόν, φεύγοντα ἐλεγ- 2
χθῆναι τὸν λόγον) Οἴει γάρ με κατὰ φθόνον ἐπιχειρεῖν σε ἐλέγξαι,
ἔφην, καὶ μὴ τὸ προκείμενον καταφανὲς φιλονεικεῖν ποιῆσαι; ἀλλ᾽,
ὦ ἀγαθέ, μὴ ἀποκάμῃς ἀνερωτώμενος. ὁρᾷς γὰρ ὡς οὐ περὶ μικρῶν
ἡμῖν εἰσιν οἱ λόγοι, ἀλλ᾽ ὅντινα χρὴ τρόπον πεπιστευκέναι· καὶ γὰρ
οὐδὲν οἶμαι τοσοῦτον κακὸν ἀνθρώπῳ γενέσθαι, ὅσον ἀπὸ τῶν
ἀναγκαίων, ὁπόταν ψευδῆ περὶ αὐτῶν δοξάζοι. ἴθι οὖν προθύμως 3
πρὸς τὰ ἐρωτώμενα ἀποσάφει, καὶ ἐάν τί σοι λέγειν ἀληθὲς μὴ δοκῶ,
μᾶλλον τῆς ἀληθείας φροντίσας ἢ ἐμοῦ ἔλεγξον. μεῖζον γὰρ ἀγαθὸν

1 Klagel. Jerem. 3, 33 — De res. I, 4, 4. 33, 2 S. 224, 12ff. 270, 8f — 2 Psal. 145, 7 3 Plato Symp. 204 D — 5 De res. I, 4, 1 S. 223, 26. Plato Pol. I, 350 D — 6 Plato Gorg. 457 D E — 7 De autex. 8, 2 S. 165, 9 — 8 De res. I, 12, 3 S. 235, 14. Plato Gorg. 500 C. 458 B — 13 Plato Gorg. 458 A

13—S. 263, 2 S. Parall. 414 S. 162f Holl

1 μεμηχάνεσθε S (oder umyslite aus umysliti) | καὶ ὅτι] ὡς od. ὅτι S **2** ἡμᾶς γῆς ohne ἔφη V | διὰ τοῦτο < S **3** καὶ ὃς < S | τι ἀποκρίνασθαι S | ἔφη < V S | ἀλλὰ — διαλέγει Z. 4 < S **4** διαλέγη V **5** ᾐσθόμην 2 mal in S | ἐρυθριᾶν αὐτὸν < S **6** με] μὴ U | ἐπιχειρεῖν < S **7** ἔφην < S | τὸ προκείμενον — ποιῆσαι: »damit ich eine Widerlegung des Wortes bereite« S **8** ἀποκάμοις ἂν ἐρωτώμενος U | ὁρᾷς etc.] das Folgende bis S. 263, 4 aus Pl Gorgias | Pl Gorg. 500 C ὁρᾷς γὰρ ὅτι περὶ τούτου εἰσὶν ἡμῖν οἱ λόγοι . . ὅντινα χρὴ τρόπον ζῆν; 457f οὐδὲν γὰρ οἶμαι τοσοῦτον κακὸν εἶναι ἀνθρώπῳ, ὅσον δόξα ψευδὴς περὶ ὧν . . νῦν ἡμῖν ὁ λόγος | μικρὸν V **9** εἰσιν ἡμῖν U | εἰσιν < S | ὁ λόγος S | οὖν τίνα V Holl | τρόπον χρὴ V **10** οὐδὲν < V | οἶμαι < S | τοσούτων κακῶν U | γενέσθαι < S **10f** ἀπὸ τῶν ἀναγκαίων ὁπόταν < S **11** περὶ αὐτῶν < S | δοξάζῃ Dd Jh: »glaubt« S | ἴθι] ὃς S **12** ἀποσαφές V: < S | καὶ ἐάν: ἐὰν δὲ (τε) S | λέγειν . . μὴ δοκῶ] μὴ λέγω S | ἀληθείας S 70[v] **13** φρόνη V: φρόντισον w. e. sch. S | ἢ < V | ἐμοῦ mi < S, dagegen νομίζω mnju aus dem Folgenden hier | καὶ ἔλεγξον S | μεῖζον — ἀπαλλάξαι S. 263, 2 C in O 25[v] A κεφ. Αια (PGr. 95, 1148 A) u. R 257[r]; Lemma in O A Μεθοδίου, in R τοῦ ἁγίου Μεθοδίου περὶ ἀναστάσεως. Anton. Melissa (PG 136, 1145. 1153) | Pl Gorg. 458 A: μεῖζον γὰρ αὐτὸ (τὸ ἐλεγχθῆναι) ἀγαθὸν ἡγοῦμαι, ὅσωπερ μεῖζον ἀγαθόν ἐστιν αὐτὸν ἀπαλλαγῆναι κακοῦ ἢ ἄλλον

τὸ ἐλεγχθῆναι τοῦ ἐλέγξαι νομίζω, ὅσῳ μεῖζόν ἐστι τὸ αὐτὸν ἀπαλ-
λαγῆναι κακοῦ τοῦ ἄλλον ἀπαλλάξαι. φέρε οὖν παρ᾽ ἀλλήλους παρα-
βάλλοντες τοὺς λόγους σκεπτώμεθα εἴ τι διοίσουσιν ἀλλήλων. καὶ
γὰρ τυγχάνει περὶ ὧν ἀμφισβητοῦμεν οὐ πάνυ σμικρὰ ὄντα, ἀλλὰ
περὶ ὧν εἰδέναι τε κάλλιον, μὴ εἰδέναι τε αἰσχρόν. οὐκοῦν σὺ μὲν 4
οὐ νομίζεις ἀναβιῶναι τὸ σῶμα, νομίζω δὲ ἐγώ.
ἈΓΛ. Πάνυ μὲν οὖν, ἔφη, καὶ δι᾽ ἃ εἴρηκα.
ΜΕΘ. Καὶ σὺ δέ, ἦν δὲ ἐγώ, δεσμὸν αὐτὸ καὶ φυλακὴν καὶ σῆμα
καὶ ἄχθος καὶ πέδας εἶναι ἔφης, ἐγὼ δὲ οὔ φημί.
ἈΓΛ. Ἀληθῆ, ἔφη, μοι λέγεις.
ΜΕΘ. Καὶ μὴν καὶ ἀκολασίας καὶ πλάνης καὶ λύπης καὶ θυμοῦ 5
καὶ συλλήβδην τῶν ἄλλων ἁπάντων εἶναι παραίτιον αὐτὸ κακῶν
ἔφης, ἃ ἐμποδίζουσιν ἡμῶν τὴν πρὸς τὸ κάλλιον ὁρμὴν τῆς ψυχῆς,
μὴ ἐῶντα τῶν ὄντως ὄντων εἰς κατάληψιν ἡμᾶς καὶ γνῶσιν παρελ-
θεῖν. κἂν γὰρ ἐπιχειρήσωμεν θηρεῦσαί τι τῶν ὄντων, ἀεὶ παρεμ-

2 Plato Gorg. 472 C — **4** vgl. S. 262, 8 — **8** vgl. De res. I, 4, 2. — **11** vgl. De res. I, 4, 6ff. 29, 2 — **13**—S. **264, 4** Plato Phaed. 66 C D A. 83 A, vgl. Justin De resurr. 8 (S. Parall. S. 44, 235 Holl)

8 vgl. Greg. Palamas Prosopopoeia S. 5, 10. 32 Jh

ἀπαλλάξαι. 472 C: *παραβαλόντες οὖν παρ᾽ ἀλλήλους (τοὺς λόγους) σκεψώμεθα εἴ τι διοίσουσιν ἀλλήλων καὶ γὰρ τυγχάνει περὶ ὧν ἀμφισβητοῦμεν οὐ πάνυ σμικρὰ ὄντα, ἀλλὰ σχεδόν τι ταῦτα, περὶ ὧν εἰδέναι τε κάλλιστον, μὴ εἰδέναι τε αἴσχιστον* | *γὰρ* < C

1 *ἐλεγχθ. τοῦ* < V | *νομίζων* C^{o} | *ὅσον* C^{r} | *ἑαυτὸν* C^{oa}: *αὐτὸ* V, < S **2** *ἀπαλάξαι* C^{a} | *παράλλους* V S **2f** *παραβαλόντες* V **3** *σκεψώμεθα* Jh mit Plato **4** *ἀλλὰ: καὶ* S **5** *τε κάλλιον*] *τὰ καλὰ* w. e. sch. S | *τῶν αἰσχρῶν* S | *οὐκοῦν* U 138^{v} **6** *νομίζης* V | *τὸ σῶμα ἡμῶν* S **7** *ἔφην* U | *δι᾽ ἃ* U S Jh: *δὴ* V Dd: vgl. 29, 3 *δι᾽ ἃ εἴρηκας* | *εἴρηκε* S **8** *Καὶ — δὲ: Σὺ δὲ οὖν*(?) *καὶ* S | *ἦν δὲ*] *ἦν μὲν* U | *αὐτὸ* < S | (*σῶμα*) *καλεῖται καὶ τάφος κ. φρουρὰ κ. σῆμα κ. δέμας* Palamas | *καὶ φυλακὴν κ. σῆμα* < S **9** *πέδας καὶ ἄχθος* S | *φῄς* S | *ἐγὼ δὲ*] *ἔφη* + S, bei S schon Worte Aglaophons **10** *ἀληθῆ γὰρ* S | *λέγεις*] *ἔλεγες περὶ τούτων νῦν* S **11** *καὶ ἀκολ.: δι᾽ ἀκολ.* U Jh | *θυμοῦ: ἁμαρτίας* etwa S **12** *συλλ. εἰπεῖν* S | *εἶναι*] *ὧν εἶναι* U | *κακὸν* V **13** *φῄς* S | *ἃ ἐμποδ.* V S u. 4, 6: *ἐμποδίζον* U, *ἐμποδίζει* Jh | *ἡμῖν* U, *ἡμᾶς* S **14** *καὶ μὴ* S | *ἐῶν τὰ τῶν* V: *ἐὸν τὸν* U | *ὄντως* < V | *ὄν|των* V 353^{v} | *κατάληψιν . . καὶ* < S **15** *ἐπιχειρήσω* S | *θηρ. τι τῶν ὄντων*] vgl. Pl Phaed. 66 A, ob. aber 4, 7 S. 225, 11 »Gutes tun« | *τι* S 71 | *ἀεὶ* < hier u. S. 225, 11 S **15f** *παρεμπίπτον* V U

πίπτων ζόφος ζοφοῖ τὸν λογισμόν, μὴ ἐπιτρέπων ἡμᾶς ἐπισκοπῆσαι τὸ ἀληθὲς τρανῶς. ἀπάτης μὲν γὰρ ἡ διὰ τῶν ὤτων ἡμῶν πεπλήρωται σκέψις, ὡς ἔφης, ἀπάτης δὲ καὶ ἡ διὰ τῆς ὄψεως, | ἀπάτης δὲ 568 *καὶ ἡ διὰ τῶν ἄλλων αἰσθήσεων.*

ἈΓΛ. Ὁρᾷς, ἔφη, ὦ Εὐβούλιε, ὡς ἐγὼ ἕτοιμός εἰμί σε ἐπαινεῖν, ὁπόταν ὀρθῶς διασαφῇς τοὺς λόγους;

XXXI. *ΜΕΘ. Ἆρ᾽ οὖν, ἵνα δή με καὶ μᾶλλον ἐπαινέσῃς· εἰ δεσμὸς τὸ σῶμα καθ᾽ ὑμᾶς δοκεῖ, οὐ δύναται κακίας ὑπαίτιον εἶναι νομίζεσθαι τῇ ψυχῇ καὶ ἀδικίας ἔτι, ἀλλὰ σωφροσύνης ἀντιστρόφως καὶ παιδείας; ὧδε δὲ σκόπει· οὕτω γὰρ ἂν μᾶλλον ἀκολουθήσειας· ποῖ ἄγομεν τοὺς* 2 *τὰ σώματα κάμνοντας; οὐ παρὰ τοὺς ἰατρούς;*

ἈΓΛ. Δῆλον, ἔφη.

ΜΕΘ. Ποῖ δὲ τοὺς ἁμαρτάνοντας; οὐ παρὰ τοὺς δικαστάς;

ἈΓΛ. Ἀνάγκη.

ΜΕΘ. Οὐκοῦν δίκην ὧν ἔδρασαν δώσοντας, ἔφην, δικαίως;

ἈΓΛ. Ναί.

1 vgl. Symp. 8, 11 S. 94, 10 — **2** vgl. De res. I, 4, 9 — **5** Plato Gorg. 510 A — **10—S. 265, 7** Plato Gorg. 478 A. 476 E. 477 A

7—S. 268 vgl. Dial. Adam. V, 21 S. 218, 9ff; vgl. Phot. Bibl. 234 S. 293a, 19—29

1 *ζόφος* < S, aber vgl. ob. S. 225, 11 | *ζοφοῖ* < V | *ἐπιτρέπον* V | *ἡμᾶς* < viell. 4, 7 S **2** *τρανῶς: τῶν νοητῶν* w. e. sch. S, aber vgl. 4, 7 S. 225, 12 | *ἀπάτης* etc.] vgl. Pl zu De res. I, 4, 7 S. 225, 16f | *μὲν* < U S | *ἡμῶν* < V **3** *σκέψις* befremdet: *νόησις*? S; aber vgl. 4, 7 u. Pl | *ὡς ἔφης* u. zweimal *δὲ* < S | *ὄψεως σκέψις* S **4** *ἡ διὰ τ. ἀ. αἰσθ.*] *αἱ ἄλλαι αἰσθήσεις* S **5** Pl *Ὁρᾷς, ὦ Σώκρ., ὡς ἐγὼ ἕτοιμός εἰμι ἐπαινεῖν, ἄν τι καλῶς λέγῃς* **6** *διασ. τ. λ.*] »redest über diese Worte« S **7** nach *Μεθόδιος* »Nachweis, daß wenn der Leib eine Fessel, so ist er nicht schuldig am Bösen unserer Seele« + mit roter Schrift S | *ἆρ᾽* V Jh (*ἆρ᾽ οὖν οὐ* = nonne) *ἆρα* U: *ἄρα* Pet Dd | *δή* < S | *ἐπαινέσεις* U | *εἰ δεσμὸς — πεπεδημένον* S. 268, 13 verwertet bei D S. 218, 9ff | sehr freie Wiedergabe der folgenden Auseinandersetzungen bei Ph **8** *τὸ σῶμα*] *τῆς ψυχῆς* (od. *τῇ ψυχῇ*) *τὸ σῶμα τοῦτο* vielleicht richtig S **9** *καὶ ἀδικίας ἔτι* < S | *πεδείας* U **10** *ὧδε* — **S. 265, 7** ganz aus Pl **10ff** Pl *ὧδε σκόπει· ποῖ ἄγομεν . . τοὺς κάμνοντας τὰ σώματα; Παρὰ τοὺς ἰατρούς . . Ποῖ δὲ τοὺς ἀδικοῦντας . .; Παρὰ τοὺς δικαστὰς . .; Οὐκοῦν δίκην δώσοντας;* 476 E *Τὰ δὲ δίκαιά που καλὰ ὡμολόγηται; . . Τούτων ἄρα ὁ μὲν ποιεῖ καλά* **10** *ἂν* < schwerl. S | *ἀκολουθήσεις* las schwerl. S | *ὅποι* V **11** *τὰ σώματα* w. e. sch. < S **12** *ἈΓΛ. — ΜΕΘ.* Z. 13 < S **13** *δὲ* < S **14** *ἈΓΛ.* < S **15** *δίκην* < S | *ὡς ἔφην* V: < S | *Δικαίως, ναί* S

ΜΕΘ. Τὸ δὲ δίκαιον πᾶν καλόν;

ἈΓΛ. ὡμολόγει.

ΜΕΘ. Ὁ δὲ δικαίως κρίνων καλῶς ποιεῖ, δικαίως γὰρ κρίνει;

ἈΓΛ. συνέφη.

ΜΕΘ. Τὸ δὲ καλὸν ὠφέλιμον;

ἈΓΛ. Φαίνεται.

ΜΕΘ. Ὠφελοῦνται ἄρα οἱ κρινόμενοι· ἀναιρεῖται γὰρ αὐτῶν ταῖς βασάνοις ἡ πονηρία κωλυομένη, καθάπερ καὶ πρὸς τῶν ἰατρῶν τομαῖς καὶ φαρμάκοις αἱ νόσοι. τὸ γὰρ ἀδικοῦντα διδόναι δίκην ἐπανορθοῦσθαι τὴν ψυχήν ἐστιν, τὴν μεγάλην νόσον ἀδικίαν ἀποβάλλοντα.

ἈΓΛ. ὡμολόγει.

ΜΕΘ. Τί δέ; οὐ κατὰ ἀναλογίαν τῶν ἁμαρτηθέντων τὰς κο- 3
λάσεις τοῖς κολαζομένοις δικαίως προσφέρεσθαι φής, καθάπερ καὶ τοῖς ἰατρευομένοις κατὰ ἀναλογίαν τῶν τραυμάτων τὰς χειρουργίας;

ἈΓΛ. ἐπένευσεν.

ΜΕΘ. Οὐκοῦν ὁ μὲν θανάτου δράσας ἄξια τιμᾶται θανάτῳ τὴν 4
δίκην, ὁ δὲ πληγῶν πληγαῖς, ὁ δὲ δεσμῶν δεσμοῖς;

ἈΓΛ. ὡμολόγει.

ΜΕΘ. Ζημιοῦται δὲ ὁ ὀφλήσας, ἔφην, δεσμοῖς ἢ πληγαῖς ἢ ἄλλῃ τινὶ τοιαύτῃ τιμωρίᾳ, ὅπως παύσηται μεταγνοὺς τοῦ ἀδικεῖν, ξύλον καθάπερ διεστραμμένον βασάνοις εὐθυνόμενος;

ἈΓΛ. Ἀληθέστατα, ἔφη, λέγεις.

9 Plato Gorg. 478 D. 480 C D — Clem. Alex. Paed. I, 8, 67 — **10** vgl. Plato Tim. 88 B — **16** Plato Gorg. 480 D — **17** vgl. De autex. 14, 4 — **20** Plato Prot. 325 D

1 *Τὸ δὲ* U 139 | *πάγκαλλον* (aber Punkte beim 2. *λ*) V **2** *ἈΓΛ.* und *ΜΕΘ.* Z. 3 < S | *ὁμολόγει* V (S 71^{v}), *ὁμολογεῖ* U **3** *δικαίως γὰρ κρίνει* < S **4** *σύμφημι κἀγὼ* S **7** *ἄρα* V **8** *κολουομένη* Md, aber vgl. S. 267, 4: < S **9** Pl 478 D *Οὐκοῦν τὸ δίκην διδόναι μεγίστου κακοῦ ἀπαλλαγὴ ἦν, πονηρίας;* **10** *μεγάλην νόσον* < S | *ἀδικίαν* tilgt Md, aber es erscheint hier wie ein Eigenname **11** *ἈΓΛ. ὡμολ.* < S: *ὁμολόγει* U **12** *ΜΕΘ.* < S | *οὐ*] (*τί δὲ*) *οὖν; οὐ* w. e. sch. S **12 f** *κωλάσεις* V **13** *τ. κολαζ. δικαίως* < S **16** *θανά|τ.* (V 354) smerti: smertj i S | *δράσας ἄξ. θαν.* V | *ἄξια*] *πράξεις* w. e. sch. S | *θανάτου τῇ δίκῃ* wohl m. Recht S **17** *πληγῶν*] *πλήττων* V **18** *ἈΓΛ.* — *ΜΕΘ.* Z. 19 < S: *ὁμολόγει* U **19** *ὁ ὀφλήσας*: »der Bestrafte« S | *ὁ* < V | *ἔφην* — *τιμωρίᾳ* Z. 20 < S **20** *τοιαύτῃ* < V | *ὅπως* — *ἀδικεῖν*] »der Besserung halber« S | *ξύλον* — *τοῦτο* S. 266, 3 aus Pl **20 f** Pl *ὥσπερ ξύλον διαστρεφόμενον . . εὐθύνουσιν . . πληγαῖς* **21** *βασάνοις* < S | *εὐθυνόμενος*] »gebessert wird« + S **22** *ἔφη* < S

ΜΕΘ. Τιμωρεῖται γὰρ αὐτὸν οὐ τοῦ παρεληλυθότος ἐγκλήματος ἕνεκα ὁ δικαστής, ἀλλὰ τοῦ μέλλοντος, ὅπως μὴ καὶ αὖθις ποιήσῃ τοῦτο.

ἈΓΛ. Δῆλον, ἔφη.

ΜΕΘ. Ὁ γὰρ δεσμὸς αὐτῷ δῆλον ὡς τὴν πρὸς τὸ ἀδικεῖν ὁρμὴν ἀναιρεῖ, μὴ ἐπιτρέπων ποιεῖν ἃ θέλει.

ἈΓΛ. Ἀληθές.

ΜΕΘ. Οὐκοῦν εἴργεται τοῦ ἁμαρτάνειν, τῶν δεσμῶν μὴ ἐώντων 5
ἐλευθεριάζοντα χρῆσθαι ταῖς ἡδοναῖς, ἀλλὰ συστελλόντων καὶ τὸ δίκαιον διδασκόντων τιμᾶν, ἔστ' ἂν αὐτὸς μάθῃ νουθετούμενος σωφρονεῖν;

ἈΓΛ. Φαίνεται, ἔφη.

ΜΕΘ. Οὐδὲ τοίνυν παραίτιος | ὁ δεσμὸς γίγνεται τοῦ πλημμελεῖν. 569

ἈΓΛ. Ἔοικεν.

ΜΕΘ. Σωφρονίζει γὰρ καὶ ποιεῖ δικαιοτέρους, ἀλεξιφάρμακον ὢν ψυχῆς, αὐστηρὸν μὲν καὶ δηκτικόν, ἀλλ' ἰατικόν.

ἈΓΛ. Δῆλον, ἔφη.

ΜΕΘ. Τί γάρ; φέρε γὰρ ἐξετάζωμεν πάλιν τὰ ἔμπροσθεν. οὐ 6
δεσμὸν τὸ σῶμα διὰ τὴν παράβασιν δέδωκας εἶναι τῆς ψυχῆς;

ἈΓΛ. Καὶ δίδωμι, ἔφη.

ΜΕΘ. Ἁμαρτάνειν δὲ τὴν ψυχὴν μετὰ σώματος, εἴπερ τὸ μοιχᾶσθαι, φονεύειν τε καὶ ἀσεβεῖν ἁμαρτία σοι δοκεῖ, ἃ μετὰ τοῦ σώματος ἡ ψυχὴ ποιεῖ;

1 Plato Prot. 324 B — **2** vgl. De res. I, 54, 5 — **8** vgl. Plato Gorg. 505 B — **15** Plato Gorg. 478 D — **19** De res. I, 4, 4. 5, 6

21 Dial. Adam. V, 21 S. 218, 14f

1f Pl *οὐ τοῦ παρεληλυθότος ἕνεκα ἀδικήματος τιμωρεῖται . . ἀλλὰ τοῦ μέλλοντος χάριν, ἵνα μὴ αὖθις ἀδικήσῃ* **2** *ἕνεκα ὁ δικαστής* < S | *ὅπως* S 72 | *καὶ μὴ* V | *αὖθις*: »ferner« S | *ποιῇ* U **3f** *τοῦτο δῆλον* V U **5** *δῆλον ὡς* < S | *πρὸς τὴν τὸ* V **9** *ἀλλὰ — σωφρονεῖν* Z. 10f < S **10** *τιμᾶν* U 139ᵛ | *αὐτὸς μ.* Holl: *αὐτὸ μάθῃ* V: *ἀπομάθῃ* U Jh (unter Hinweis auf Worte wie *ἀποθεωρεῖν*) **12** *Φαίν., ἔφη*: »Auch ich sage es« S **13** *οὔτε* V U | *παραίτιον* V | *γίνεται* V **14** *ὡς ἔοικεν* U: »So ist es« S **15** Pl *σωφρονίζει γάρ που καὶ δικαιοτέρους ποιεῖ* | *καὶ — ψυχῆς* Z. 16 < S | *δικαιωτέρους* U **16** *μὲν*] »obschon wenn auch . . ist« S | *δεκτικὸν* U | *ἀλλὰ* U **17** *Δῆλον, ἔφη*: »Ja, ich sage es« S **18** *Τί γάρ*: *τί δέ* S | *φέρε γὰρ* U S: *γὰρ* < V | *ἐξετάζομεν* V: + »Nachweis, daß der Leib keine Fessel ist« S **19** *διὰ τὴν παράβασιν* u. *εἶναι* < S **20** *Καὶ*] *ναί* S **21** *Ἁμαρτ. δὲ*] *Οὐχ ἁμαρτ. καὶ* S **21f** *τὸ δὲ σῶμα συνεργεῖ τῇ ψυχῇ εἰς φόνους καὶ μοιχείας* D **22** *τῷ μ. φ. τε κ. ἀσ.* ⟨*ἢ ἄλλῃ*⟩ *ἁμ.* (vgl. S) *συνευδοκεῖ, ἣν* Holl | *φονεύειν — δοκεῖ*] »und eine andere Sünde« S

ʼΑΓΛ. ἐπένευσεν.

ΜΕΘ. ʼΑλλὰ τὸν δεσμώτην ὡμολογήσαμεν μὴ δύνασθαι ἀδικεῖν;

ʼΑΓΛ. Ὡμολογήσαμεν, ἔφη.

ΜΕΘ. Κωλύεσθαι δὲ ἀλγυνόμενον ὑπὸ τῶν δεσμῶν;

ʼΑΓΛ. Ναί.

ΜΕΘ. Δεσμὸς δὲ ἡ σὰρξ τῆς ψυχῆς;

ʼΑΓΛ. ἐπένευσεν.

ΜΕΘ. ʼΑλλὰ ἁμαρτάνομεν ὄντες ἐν σαρκί, ὁμοδοξούσης ἡμῖν εἰς τοῦτο τῆς σαρκός;

ʼΑΓΛ. Ἁμαρτάνομεν, ἔφη.

ΜΕΘ. Ὁ δὲ πεπεδημένος οὐ δύναται ἁμαρτάνειν;

ʼΑΓΛ. καὶ ἐνταῦθα ἐπένευσεν.

ΜΕΘ. Ἄγχεται γάρ.

ʼΑΓΛ. Ναί.

ΜΕΘ. Μὴ ἐώμενος ὑπὸ τοῦ δεσμοῦ;

ʼΑΓΛ. Δῆλον.

ΜΕΘ. ʼΑλλὰ τὸ μὲν σῶμα πρὸς τὸ ἁμαρτῆσαι συνεργόν;

ʼΑΓΛ. Ναί.

ΜΕΘ. Εἴργει δὲ ὁ δεσμός;

ʼΑΓΛ. συνέφη.

ΜΕΘ. Οὐκ ἄρα τὸ σῶμα δεσμός, οὔτε κατὰ σὲ οὔτε κατὰ 7
ἄλλον, ἔφην, ὦ ʼΑγλαοφῶν, ἀλλὰ πρὸς ἑκάτερον τῇ ψυχῇ συνεργόν, εἴτε πρὸς τὸ ἀγαθὸν εἴτε πρὸς τὸ κακόν.

ʼΑΓΛ. συνεχώρει.

XXXII. ΜΕΘ. Οὐκοῦν οὕτω δὴ τούτων ἐχόντων ἀπολόγησαι, ὦ ʼΑγλαοφῶν, πρὸς ἃ πρῶτον ὑπέθου. ἔφης γὰρ δεσμὸν καὶ εἱρκτὴν καὶ πέδας τὸ σῶμα τῆς ψυχῆς ἐν τοῖς ἔμπροσθεν. καὶ ὁρᾷς ὡς οὐ συνᾴδουσι τούτοις ἃ ἔφης; πῶς γὰρ συνᾴδοιεν, εἴπερ γε ἀνάγκη, ὦ

26 vgl. De res. I, 4, 4. 29, 1. 54, 3. 5. 57, 3 — **27** Plato Prot. 333 A

28 Dial. Adam. V, 21 S. 218, 11

2 *δεσμώτην*] *δεσμὸν* S | *ἀδικεῖν* S 72ᵛ **5** *ναὶ ἔφη* (oder *φησίν*) S **7 f** *ἐπένευσεν. ΜΕΘ.* < S **8** *ὁμοδοξ.*: »indem lehrt« S | *ἡμῶν* V **10** *Ἁμαρτάνομεν, ἔφη* sind schon Worte des Method. in S **11** *Ὁ* < V **15** *Μὴ ἐώμ.* etc. Worte Aglaophons bei S | *ἐώμενος ὑπὸ*] *ἐῶντος* viell. S (»indem nicht zuläßt«) | *ὑπὸ* V 354ᵛ **16** *Δῆλον* < S **18** *ναί φημι* S **19** *Εἴργει — Συνέφη* Z. 20 < S | *εἴργη* U **21** *ὁ δεσμ.* U **22** *ἄλλων* V, *ἄλλους τινάς* viell. S | *ἔφη* (?) V: < S **25** *ἀπ. σύ* S **26** *πρὸς ἅ*: »wie« S | *ὑπέθου* U 140 **27** *καὶ πέδας* < S | *καὶ ὁρᾷς* fragend in S **27 f** Pl *οὐ .. συνᾴδουσιν .. ἀλλήλοις* und *πῶς — ἀνάγκη* (*γὰρ ἂν* Pl) **28** *συνᾴδ.* S 73

ἄριστε, δεσμὸν μὲν τὴν σάρκα νομίζεσθαι, τὴν δὲ ψυχὴν συνεργῷ
πρὸς ἀδικίαν χρῆσθαι καὶ συμπράκτορι τῷ δεσμῷ, ὅπερ ἀδύνατον;
εἰ γὰρ διὰ τὴν ἁμαρτίαν βασανιστήριον ἐδόθη, πρὸς τὸ ἀλγυνθεῖσαν 2
εἰς τὸ τιμᾶν τὸν θεὸν παιδευθῆναι τὴν ψυχήν, πῶς συνεργεῖ καὶ
συναγωνίζεται τὸ σῶμα αὐτῇ πρὸς τὸ ἀδικεῖν; δεσμοὶ γὰρ καὶ φυλα-
καὶ καὶ πέδαι καὶ συλλήβδην αἱ τοιαῦται πᾶσαι πρὸς ἐπανόρθωσιν
τιμωροὶ μηχαναὶ ἐφεκτικαὶ τοῦ ἀδικεῖν καὶ ἁμαρτάνειν τοῖς κολαζο-
μένοις γίγνονται. οὐ γὰρ ὅπως ὁ ἀδικήσας ἀδικήσῃ πλέον συνεργὸς 3
αὐτῷ πρὸς τὸ ἀδικεῖν ὁ δεσμὸς δίδοται, ἀλλ' ὅπως λήξῃ τοῦ | ἀδικεῖν, 570
βασανιζόμενος διὰ τῶν δεσμῶν· καὶ γὰρ οἱ δικασταὶ ταύτῃ πεδοῦσι
τοὺς φαύλους. κωλύονται γάρ, κἂν μὴ βούλωνται, κακοποιεῖν ὑπὸ
τῶν δεσμῶν. ἐλευθεριαζόντων δὲ τὸ κακουργεῖν ἐστιν καὶ ζώντων
ἀφυλάκτως, ἀλλ' οὐ πεπεδημένων. ὁ δὲ ἄνθρωπος πρῶτον μὲν 4
ἐφόνευσε, κατὰ τὸν Κάϊν, ηὐξήθη πρὸς ἀπιστίαν, εἰδώλοις προσέσχεν,
ἀπεστάτησε θεοῦ. καὶ πῶς αὐτῷ δεσμὸς τὸ σῶμα ἐδόθη; ἢ πῶς ὁ

14 Symp. S. 59, 15ff. 134, 5f. De res. I, 37, 6

4—10 Justinian Ad Men. PGr 86, 951 A

1 *τὸ σῶμα οὐ δεσμός ἐστι ψυχῆς, ἀλλὰ συνεργόν* D | *τὴν δὲ — χρῆσθαι* Z. 2 < V | *τὴν δὲ*: *καὶ τὴν* S | *συνεργῷ*] *αὐτῇ* w. e. sch. S **2** *καὶ συμπρ. τῷ δ.* < S **3** *εἰ γὰρ — τῶν δεσμῶν* Z. 10 fast wörtlich Just (Abweichungen in d. Wortstellung merke ich nicht an) | *εἰ*] *ἕνα* V | *ὡς βασανιστήριον* S, *πρὸς κόλασιν τῇ ψυχῇ* Just | *ἐδόθη τὸ σῶμα* Just | *πρὸς — εἰς* Z. 4] *ὥστε αὐτὴν ὀδυνωμένην . . πρὸς* Just | *πρὸς — ψυχήν* Z. 4] »daß sie gedemütigt Gott ehre« S **4f** *καὶ συναγωνίζεται* < S **5** *αὐτῇ* < S | *ἀδικεῖν*] *ἁμαρτάνειν* Just u. + *ὁ τοῖς κολαζομένοις γίνεται* aus dem Folgenden | *δεσμὸς* V **6** *καὶ πέδαι — πᾶσαι*] »und das Übrige« S | *συλλήβδην*] *συντόμως εἰπεῖν* Just | *αἱ — ἐφεκτικαὶ* Z. 7] *τὰ τοιαῦτα ἐφεκτικὰ* Just | *πᾶσαι* < V | *πρὸς ἐπανόρθωσιν — γίγνονται* Z. 8] »sind zur Erhaltung und Weisung und zur Besserung für die Unzucht und anderes Böse, und es ist bestimmt den Sündigenden« S **7** *ἐπεκτικαὶ* U | *τοῦ ἁμαρτ.* Just **8** *γὰρ* < V | *ἁμαρτήσας πλέον ἁμάρτῃ* Just | *ἀδικήσει* U **9** *αὐτὸ* V | *πρὸς τὴν ἁμαρτίαν* Just: »zur Vollbringung« S | *λήξῃ*] *παύσηται* Just | *ἀδ.*] *ἁμαρτάνειν* Just **10** *τῶν δεσμῶν* U Just (endet): *τὸν δεσμὸν* V, *τοῦ δεσμοῦ* übersetzt S | *οἱ δικ. γὰρ* (ohne *καὶ*) S | *πεδοῦσι*] *τῇ πεδώσει* V: »strafen« S, aber las schwerl. *παιδεύουσι* **11** *κωλύον* V **12** *τοῦ δεσμοῦ* übersetzt S | *ἐλευθερ. — πεπεδημένων* Z. 13 wohl wegen eines Homoioteleuton < S **14** *πρὸς ἀπ.*] »an Unglauben« S: nevěrstvom, aber wohl nevěrstvom aus nevěrsjstvo S **15** *ἀπεστάτησεν ἀπὸ* U

θεὸς μετὰ τὸ πρὸ σώματος ἀνομῆσαι τὸν ἄνθρωπον συνεργὸν πρὸς
ἀδικίαν αὐτῷ μείζονα τὸ σῶμα ἔδωκεν; πῶς δὲ καὶ μετὰ τὴν κατα-
σκευὴν τοῦ δεσμοῦ τό »ἰδού, πρὸ προσώπου σου« λέγεται »τέθεικα 5
τὴν ζωὴν καὶ τὸν θάνατον, ἔκλεξαι τὴν ζωήν, τὸ ἀγαθὸν καὶ τὸ
πονηρόν, ἔκλεξαι τὸ ἀγαθόν«, καί »ἐὰν θέλητε καὶ εἰσακούσητέ μου«.
ταῦτα γὰρ ὡς αὐτεξουσιάζοντι, καὶ οὐχ ὡς ὑπὸ δεσμὰ καὶ ἀνάγκην
ἀγομένῳ ἐρρήθη. ὥστε ἐκ παντὸς συνίστασθαι μήτε πέδας ἢ φυλακὴν 6
ἢ δεσμοὺς ⟨δεῖν⟩ νομίζειν τὸ σῶμα μήτε »δεσμώτιδας γῆς« διὰ ταῦτα
τὰς ψυχάς, »χοϊκαῖς« κατακρίνοντος αὐτὰς τοῦ θεοῦ δεθῆναι »πέδαις«.
πῶς γάρ, ὁπότε μὴ δύναται ἀποδειχθῆναι τοῦτο; ἄτοπον δὲ κἀκεῖνο 7
προφανῶς τὸ οἴεσθαι τὸ σῶμα ἐν τῇ κατὰ τοὺς αἰῶνας διαγωγῇ μὴ
συνέσεσθαι τῇ ψυχῇ διὰ τὸ δεσμὸν αὐτὸ καὶ πέδας εἶναι, ἵνα μὴ
αἰώνιοι γενώμεθα κατάκριτοι δεσμῶται κατ᾽ αὐτοὺς φθορᾶς, ἐν τῇ
βασιλείᾳ τοῦ φωτὸς ἐσόμενοι. λελυμένου γὰρ ἱκανῶς καὶ ἐξελεγχθέν- 8
τος τοῦ λόγου, ἐν ᾧ δεσμὸν τῆς ψυχῆς ὡρίσαντο εἶναι τὴν σάρκα,

3 Deut. 30, 15 — **5** Jes. 1, 19 — **8** vgl. Klagel. Jerem. 3, 33; vgl. De res. I, 30, 1. 33, 2 — **12** vgl. De res. I, 6, 2 S. 227, 19f — **15** De res. I, 4, 4. 5, 6. 31, 6

10 S. Parall. 445 S. 163 Holl. Doctrina patrum S. 179, 20 Diekamp

1 τὸν ἄνθρωπον < S (oder αὐτὸν u. < αὐτῷ Z. 2) | συνεργὸν U 140ᵛ **2** ἀδικ. S 73ᵛ | τὸ V 355 | ἔδ. S: ἔδωτο V, ἔδοτο U **3** τῶν δεσμῶν übersetzt S | τέθηκα U **4f** τὸ πονηρὸν κ. τὸ ἀγ. S | καὶ τὸ πονηρὸν — ἀγαθόν < V **5** ἔκλ. τὸ ἀγ. < Dd Jh **6** τ. γὰρ πάντα S | ὡς αὐτ. Bo: ὡσαυτῷ ἐξουσιάζοντι U, ὡς ἐξουσιάζοντι V S: λέγεται + S **7** ἐρρέθη V **8** ἢ δεσμοὺς < S | δεῖν + Holl | διὰ ταῦτα < S **9** κατακρ... δεθῆναι] »gebunden hätte« S **10** δύνασθαι ἀπεδείχθη V | ἄτοπον — ἐσόμεθα S. 270, 2 in Doctr. patr. (= An) c. 25. Lemma Τοῦ ἁγίου Μεθοδίου ἐπισκόπου καὶ μάρτυρος ἐκ τῶν παρὰ Ἐπιφανίου τοῦ τρισμάκαρος ἐν τῷ β' βιβλίῳ τῶν παναρίων κατὰ Ὠριγένους γραφέντων. C in C Bl. 78ᵛ, 27 und in R 88ᵛ. Lemma in C τοῦ ἁγίου Μεθοδίου Ἀγλαοφῶν περὶ ἀναστάσεως, in R (angereiht an ein Justincitat), von später Hd. τοῦτο τοῦ ἁγίου ἱερομάρτυρος Μεθοδίου Πατάρων ἐστίν | δὲ οὖν las schwerl. S **11** προφανῶς < S | τὸ vor σῶμα < C | κατὰ τοὺς] εἰς Cʳ **12** αὐτῷ U Cʳ | καὶ πέλας An: < S | εἶναι τῇ ψυχῇ S **13** αἰώνιοι C 79 | δεσμῶται — φθορᾶς < S, aber 6, 3 hat S δεσμῶται φθορᾶς | κατὰ τοὺς φθορέας U **14** τοῦ φωτὸς] τῶν οὐρανῶν Cʳ: τοῦ θεοῦ (od. τοῦ θείου) φωτὸς S | ἐσόμενοι] γενόμενοι? S | λελυμένοι V, λελεγμένου An | καὶ < Cʳ **14f** ἐλεγχθέντος An, w. e. sch. auch S **15** ὁρίζονται S | τ. σάρκα] »d. Leib« übersetzt S

λέλυται καὶ τό Ἵνα μὴ δεσμῶται δι᾿ αὐτὴν ἐν τῇ βασιλείᾳ τοῦ φω-
τὸς ἣν ἀπολαμβάνωμεν ἐσόμεθα, διὰ τοῦτο οὐκ ἀναστήσεται.
XXXIII. Ποταπὸν γὰρ λοιπὸν εἰς πειθὼ τοῖς δυσχεραίνουσιν
ἕτερον ἀλήθευμα χρὴ δεικνύναι, | τῶν εἰρημένων ἐναργέστερον, οὗ 540
ἀνέξονται; ἀλλὰ ταύτην μὲν αὐτῶν τὴν φιλονεικίαν καὶ ἐκ τούτων
ἄν τις καὶ ἐξ ἑτέρων ἐλέγχοι πλειόνων. ἀπεδείξαμεν γὰρ ⟨καὶ ἀποδεί- 2
ξομεν⟩ ἐν τοῖς ἑξῆς προβαίνοντος τοῦ λόγου φύσεως ἀληθεύμασι καὶ
οὐκ εἰκασίαις μήτε τὸν Ἱερεμίαν »δεσμίους« ἡμᾶς »γῆς« διὰ τὴν πρὸς
τὸ σῶμα κοινωνίαν εἰρηκέναι μήτε τὸν Δαυὶδ κατὰ τοῦτο »πεπεδη-
μένους«. ἄξιον γὰρ καὶ ταῦτα προσφέρειν ἐν οἷς μάλιστα φαίνονται
διαπίπτοντες. περὶ μὲν οὖν τῶν »δερματίνων χιτώνων«, καὶ ὅτι 3
πρὸ τῆς κατασκευῆς αὐτῶν οἱ πρωτόπλαστοι διῆγον μετὰ σώματος,
ἀθανασίας ἀπολαύοντες, ἔτι τε καὶ ὡς οὐ δύναται τὸ σῶμα δεσμὸς
καὶ εἱρκτὴ νομίζεσθαι, τὰ προσήκοντα εἰπών, ὦ ἄνδρες δικασταί
(δικαστὰς γὰρ ὑμᾶς τῶν λόγων ⟨τῶν προκειμένων⟩, ὦ κράτιστε Θεό-
φιλε, καλῶ), τρέψομαι λοιπὸν ἐπὶ τὰ ἀκόλουθα, καθάπερ ὑπεσχόμην,
[τῶν προκειμένων] ἵν᾿ εὐκρινέστερον ἴδωμεν ὃ βουλόμεθα.

2 vgl. De res. I, 6, 2 S. 227, 19f — **7** vgl. De res. I, 2, 6 S. 221, 22 — **8** Klagel. Jerem. 3, 33; vgl. De res. I, 4, 4. 30, 1 S. 224, 12ff. 262, 1f — **9** Psal. 145, 7 — **11** Gen. 3, 21; vgl. De res. I, 4, 2. 40, 2f — **15** Plato Symp. 219 C — De res. I, 54, 1. Luk. 1, 3 — **17** Plato Pol. VIII, 564 C

1 λέλυται < S | τό: ὥστε (ὡς, ὅτι) S | ἵνα] εἶναι U | διὰ τὴν V An **2** ἣν ἀπ. Holl: ἣν ἀπολ. VU: εἰ ἀπολάβομεν αὐτὴν viell. richtig C;S | ἀπολαμβάνωμεν V, ἀπολάβομεν C urspr. auch C[r] (jetzt ἀπολάβωμεν) | ἐσώμεθα An: es endet C | ἀναστήσεσθαι Jh: S 74 **3** εἰ ἐπειθὼ U | τοῖς δυσχεραίνουσιν < S **4** δεικνύναι] schwerl. las S εἶναι | nach δεικνύναι fährt Pet fort εἰς παγίδα etc. 570 D im Anschluß an den Text von U | τῶν — ἀνέξονται Z. 5] »welches sie annehmen« (ὃ ἀποδέχονται?) S | τῶν U 117 | ἐναργ. Pet: ἐνεργέστερον VU | οὗ V S Holl: οὐκ U **6** ἐλέγχων V | πλειόνων < S ἀποδείξωμεν VU **6f** καὶ ἀποδείξομεν (κ. δείξομεν) + S **8** εἰκ.] »mit eigenen Gedanken« S | μήτε] καὶ γὰρ (ὁ Ἱερεμίας) S | ἰηρεμίαν V | ἡμᾶς < S **9** εἴρηκε S | μήτε — πεπεδημένους Z. 9f] »Aber Jeremias und David redete davon« S | μηδὲ V **10** καὶ < U | προσφέρειν V S: προφέρειν U Holl | φαίνονται] διαπίπτουσι S **11** οὖν δὴ V **13** ἔτι τε übersetzt nicht S **13f** εἱρκτὴ οὐδὲ δεσμὸς S **15** τῶν προκειμένων + S **15f** ὦ κράτιστε Θεόφ. < S **16** καλῶ] κελεύω oder θέλω w. e. sch. S u. + εἶναι | καὶ τρέψομαι S | λοιπὸν] πάλιν S | καθάπερ — βουλόμεθα Z. 17 < S | ἵν᾿ — βουλ. auch Pl | ἵν᾿ < V

XXXIV. Ὁ τῶν ὅλων δημιουργὸς θεός, ἐπειδὴ τὸ πᾶν εὐτάκτως συνεστήσατο, καθάπερ μεγάλην πόλιν, καὶ διεκόσμησεν προστάσσων τῷ λόγῳ, ἕκαστόν τε αὐτῷ συμφώνως ἡρμόσατο στοιχεῖον καὶ πάντα ζῴων πεπλήρωτο διαφοραῖς, ἵνα τελείως ὁ κόσμος εἰς κάλλος αὐξηθῇ, παντοίας φύσεως ζῳοτοκήσας μορφάς, ἄστρα μὲν κατὰ τὸν οὐρανὸν καὶ πτηνὰ κατὰ τὸν ἀέρα, τετράποδα δὲ κατὰ τὴν γῆν καὶ νηκτὰ κατὰ τὸ ὕδωρ, τελευταῖον τὸν ἄνθρωπον, προετοιμάσας ὡς οἰκίαν αὐτῷ καλλίστην τὸ πᾶν, μίμημα τῆς ἰδίας εἰκόνος ἐμφερὲς εἰς τὸν κόσμον εἰσήγαγεν, ἄγαλμα ὡς ἐν ναῷ καλῷ φαιδρὸν ταῖς ἑαυτοῦ χερσὶ κα|τασκευάσας. ἠπίστατο γὰρ ὅτι πάντως, ὅπερ ἂν τῇ ἑαυτοῦ 2 τεχνήσηται χειρί, ἐξ ἀνάγκης ἔσται ἀθάνατον, ἅτε ἀθανασίας ἔργον. ἀθανασίᾳ γὰρ ἀθάνατα τὰ ἀθάνατα γίγνεται, καθάπερ καὶ τὰ κακὰ κακίᾳ κακά, καὶ τὰ ἄδικα ἀδικίᾳ ἄδικα. οὐ γὰρ δικαιοσύνης ἔργον τὸ ἀδικεῖν, ἀλλὰ ἀδικίας, οὐδ' αὖ ἀδικίας ἀντιστρόφως τὸ δικαιοπραγεῖν ἔργον, ἀλλὰ δικαιοσύνης, ὥσπερ οὐδὲ ἀφθαρσίας τὸ φθείρεσθαι ποιεῖν, ἀλλὰ φθορᾶς, οὐδὲ φθορᾶς τὸ ἀθανατίζειν, ἀλλ' ἀφθαρ-

1—7 Plato Tim. 68f — **5** Gen. 1, 14. 20. 24 — **8** Symp. 6, 2 S. 65, 11ff

1—S. 273, 18 S. Parall. 410 S. 463ff Holl — **8** vgl. Theodor bei Theodoret PG 80, 109 — **10** Prokop. PGr 87, 1, 157

1 *Ὁ τῶν ὅλων*] es beginnt C in K 25. Lemma *τοῦ αὐτοῦ ἐκ τοῦ περὶ ἀναστάσεως* (nach Symp. II, 6 S. 24, 1; in S mit roter Schrift »Daß allein unsterblich unter den Sinnesfälligen der Mensch« | *εὐτάκτως τὸ πᾶν* C **2** *καθάπερ μεγ. πόλιν* nach *καὶ διεκ.—λόγῳ* Z. 3 in S | *διεκ.* S 74^{v} **3** *τε*] *δὲ* C | *αὐτῶν* V, *ἐν* (?) *ἑαυτῷ* S, *αὐτῶ* U C Ausgg. | *συμφ. εἱρμόσατο* V: »harmonisch war« S | *ἡρμώσατο* U, *ἥρμοστο* C | *στοιχείων* V | *καὶ πάντα—διαφοραῖς* Z. 4 < S **4** *ζῶον* C | *τελέως* V | *εἰς κάλλος*] »an (durch) Schönheit« S **5** *παντοίας* (oder *πάσης*) *γὰρ* S | *ζωοτόκοις* C | *ἄστρα—ὕδωρ* Z. 7 < C | *μὲν* < S **6** *τετρ. δὲ*] *καὶ τετρ.* S **7** *προητοιμάσας* C | *ὡς* < S | *οἰκείαν* C **8** *τὸ πᾶν*] *ἐποίησεν* S | *τῆς* U 117^{v} | *ἐμφερὲς* < S **9** *καλ. φ.* C Holl: *φαιδρῷ καλόν* V U **9f** *ταῖς—κατασκευάσας*] *εἰσήγαγεν* S **10** *πάντως*] *πᾶν* S, *ὄντως* Prok **11** *χειρὶ τεχνήσηται* C | *ἀνάγκης* C 25^{v} | *ἀθάνατον—κακά* Z. 13 bei Prok. | *ἔργον ὄν* C Holl **12** *ἀθανασίαις* V, *ἀθανασίας* U | *ἀθάνατα*^{1} < S | *τὰ ἀθάνατα* < U Prok | *γίνεται* C Prok **13** *κακίας* U | *κακά* < U S | *ἀδικίας* U | *ἄδικα*^{2} < U **14** *τὸ ἄδικον* V | *ἀλλὰ ἀδικίας* < S | *οὐδ' αὖ*: »und wiederum« S (aber vielleicht i »und« aus ni »und nicht« | *αὖ*] *ἂν* C | *ἀναστρόφως* C **14f** *δίκαιον προάγειν* V, *δίκαιον πράττει* w. e. sch. S: Pl Gorg. 460 B *δίκαιος δίκαιά που πράττει* **15f** *τὸ φθ. π.*] *ἡ φθορά* S **16** *οὐ φθορᾶς* U | *τὸ ἀθανατίζον* V

σίας. καὶ συλλήβδην, οἷον ἂν ᾖ τὸ ποιοῦν, κατὰ τὸν αὐτὸν οὕτως 3
λόγον τοιοῦτον καὶ τὸ ποιούμενον ἐξ ἀνάγκης ἀπεργάζεσθαι συμ-
βαίνει. ὁ δὲ θεὸς καὶ ἀθανασία καὶ ζωὴ καὶ ἀφθαρσία, ἔργον δὲ
ἄνθρωπος θεοῦ· πᾶν δὲ τὸ ὑπὸ ἀθανασίας ἐργασθὲν ἀθάνατον.
ἀθάνατος ἄρα ὁ ἄνθρωπος. διὸ δὴ τὸν μὲν ἄνθρωπον αὐτούργησεν
αὐτός, τὰ δὲ λοιπὰ γένη τῶν ζῴων ἀέρι καὶ γῇ καὶ ὕδατι προσέταξε
φέρειν. ἄνθρωπος δὲ ἀληθέστατα λέγεται κατὰ φύσιν οὔτε ψυχὴ 4
χωρὶς σώματος οὔτ' αὖ πάλιν σῶμα χωρὶς ψυχῆς, ἀλλὰ τὸ ἐκ συστάσεως
ψυχῆς καὶ σώματος εἰς μίαν τὴν τοῦ καλοῦ μορφὴν συντεθέν. ὅθεν
ἐντεῦθεν ἀθάνατον δὴ τὸν ἄνθρωπον γεγονέναι φαίνεται, φθορᾶς τε
ἁπάσης καὶ νόσων ἐκτός. μάθοι δ' ἄν τις τοῦτο καὶ ἀπὸ τῆς γραφῆς 5
ἱκανῶς. ἐπὶ μὲν γὰρ τῶν ἄλλων, ὁπόσα χρόνων μετακοσμοῦνται

5 Gen. 1, 27. 2, 7 — **6** Gen. 1, 20. 24 — **7** vgl. Plato Epin. 981 A. De res. I, 50, 3. Justin De res. 8 (S. Parall. S. 45, 283 ff Holl). Iren. Adv. haer. V, 6, 1. Tert. De resurr. 40

7 Phot. Bibl. 234 S. 293a, 30—33. Justin. Ad Men. PGr 86, 953 A. Prokop. PGr 87, 1, 157 — **12**—S. **274, 2** vgl. Justin. Ad Men. PGr 86, 953 C D

1 *συλλήβδην* (S 75) *εἰπεῖν* übersetzt S (wie Ph S. 305b, 40) **1f** *κατὰ τ. α… λ. τοιοῦτον* < S **2** *τοιοῦτον καὶ τὸ*] *τοῦτο* U, *τοιοῦτο* C | *ἐξ ἀνάγκης — συμβαίνει* Z. 2f < S **3** *ὁ δὲ θεὸς — ἔπλασεν αὐτὸν* S. 273, 10 auch in O 10^{v} A L^{c} = C^{2} ohne Lemma, aber an Symp. 2, 6 angereiht | *δὲ* < C^{2} | *καὶ* vor *ἀθαν.* < C | *ἀθαν. ἐστι* C^{2} | *ἀφθ.* V 356 **5** *ἀθάν. ἄρα ὁ ἄνθρ.* < C^{2} | *ἆρα* V U | *δὴ* < C^{2} **6** *αὐτός*] *ὁ θεός* U | *γένη τ. ζῴων* < S | *γένοι* C^{oa}, corr. C^{o} | *ἀέρι καὶ πυρὶ* S **7** *ἄνθρωπος — γηράσκοντα* S. 273, 1 < C^{2}: Ph S. 293a, 30 ff | *ἄνθρ. — ἄνθρωπον* Z. 10 ähnlich Prok | *δὲ* < Ph | *λέγ. ἀληθ.* (*κ. φ. λ. ἀ.* Ph^{b}) Ph; *κυρίως* Prok | *οὔτε — ψυχῆς* Z. 8 in umgekehrter Folge Just | *ἄνθρωπος δὲ τὸ ἐκ ψυχῆς κ. σώματος λέγεται συντεθέν, οὐκ ἔσται ἄρα ἐκτὸς σώματος ἄνθρωπος, ἀλλὰ μετὰ σώματος* I, 50, 3. Justin *τί γάρ ἐστιν ὁ ἄνθρωπος, ἀλλ' ἢ τὸ ἐκ ψυχῆς καὶ σώματος συνεστὸς ζῷον λογικόν; μὴ οὖν καθ' ἑαυτὴν ψυχὴ ἄνθρωπος; οὔ, ἀλλ' ἀνθρώπου ψυχή. μὴ οὖν καλοῖτο σῶμα ἄνθρωπος; οὔ, ἀλλ' ἀνθρώπου σῶμα καλεῖται. εἴπερ οὖν κατ' ἰδίαν μὲν τούτων οὐδέτερον ἄνθρωπός ἐστιν, τὸ δὲ ἐκ τῆς ἀμφοτέρων συμπλοκῆς καλεῖται ἄνθρωπος* **7f** *οὐδὲ . . οὐδὲ* Just **8** *αὖ*: *ἂν* C | *πάλιν* + Ph | *χωρὶς*: *ἄνευ* C | vor *ἀλλὰ* »Diese Rede von den Tieren und anderen Lebewesen« + S **9** *εἰς — μορφὴν*] »zu einem Guten (Schönen)« S | *συντεθέν*] Ph endet, hinzufügend *ὁ δ' Ὠριγένης τὴν ψυχὴν μόνην ἔλεγεν ἄνθρωπον ὡς ὁ Πλάτων* **10** *φθορᾶς — νόσων* Z. 11] *καὶ ἁπάσης νόσου* S | *τε*] *δὲ* U C **11** *ἐκτὸς καὶ νόσων* C | *μάθοιεν* C **12** *μὲν* < U | *γὰρ* < C | *χρόνων* C^{k} 26

διαστολαῖς ἡβῶντα καὶ γηράσκοντα, »ἐξαγαγέτω« λέγεται »τὰ ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν, καὶ πετεινὰ πετόμενα ἐπὶ τῆς γῆς, κατὰ τὸ στερέωμα τοῦ οὐρανοῦ«, καί »ἐξαγαγέτω ἡ γῆ ψυχὴν ζῶσαν κατὰ γένος τετράποδα καὶ ἑρπετὰ καὶ θηρία τῆς γῆς κατὰ γένος«, ἐπὶ δὲ τοῦ ἀνθρώπου ὡσαύτως ἐκείνοις οὐκέτι »ἐξαγαγέτω ἡ γῆ« ἢ »ἐξαγαγέτω τὰ ὕδατα« ἢ »γενηθήτωσαν φωστῆρες«, ἀλλά »ποιήσωμεν ἄνθρωπον κατ᾽ εἰκόνα καὶ καθ᾽ ὁμοίωσιν ἡμετέραν καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ καὶ πάντων τῶν κτηνῶν«. καί »ἔλαβεν ὁ θεὸς χοῦν ἀπὸ τῆς γῆς, καὶ ἔπλασε τὸν ἄνθρωπον«.

XXXV. *Καὶ ἵνα δὴ* μᾶλλον καὶ ὑμεῖς τὴν διαφορὰν αἴσθησθε, ὡς ὅλῳ καὶ παντὶ τῶν ἄλλων διαφέρων καὶ ἐν δευτέρᾳ τιμῇ τῶν ἀγγέλων ἐγκαταλεχθεὶς ὁ ἄνθρωπος εὑρίσκεται ἀθάνατος ὤν, φέρε κατὰ τὸν ἀληθῆ πάλιν καὶ ὀρθόδοξον καὶ τοῦτο διαλάβωμεν λογισμόν. | τοῖς μὲν γὰρ ἀπὸ τῆς εἰσπνοῆς τοῦ κατὰ τὸν ἀέρα πνεύ- 542 2
ματος ⟨τὸ⟩ ἐμψυχῶσθαι ἐδόθη καὶ ζῆν, τῷ δὲ ἐξ αὐτῆς τῆς ἀθανάτου καὶ διαφερούσης οὐσίας. »ἐνεφύσησε« γὰρ ὁ θεὸς »εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς, καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν«. καὶ

1 Gen. 1, 20. 24 — **5** Gen. 1, 24. 20. 14 — **6** Gen. 1, 26 — **9** Gen. 2, 7 — **17** Gen. 2, 7 — **18** Plato Phaed. 79 E

15—S. 274, 1f Oktateuchcatene (Leipziger Catene 63 BC)

1 *ἡβῶντα καὶ γηράσκοντα* < S | *ἐξαγαγέτω*] es beginnt C^{2} | *λέγων* C^{2}, *λέγει* S **2** *ἑρπετὰ — οὐρανοῦ* Z. 3] »Vögel und Fische und kriechende Tiere« S | *ἑρπετὰ* U 118 **3f** *ψυχὴν ζ. κατὰ γένος* < S **3** *ζωσῶν ψυχῶν* C^{o} **4** *καὶ ἑρπ. — γῆς* < S | *καὶ*^{2} < C^{a} **5** *ὡσαύτως . . οὐκέτι*] *οὐχ ὡσαύτως* S | *ὡσαύτως* < C^{2} | *ἐκείνοις* < S C^{2} | *οὐκέτι* nach *γῆ* in U | *ἡ γῆ — φωστῆρες* Z. 6 < C | *ἢ — φωστῆρες* Z. 6] *φησι καὶ ὕδωρ* S **6** *γεν . ηθήθωσαν* V | *ἀλλά*] *ἐπὶ τοῦ ἀνθρώπου* + S **7** *κατ᾽* S 75^{v} | *καὶ καθ᾽ ὁμ. ἡμ.*] *ἡμετέραν* (*ἡμετέρα* C^{oa}) *καὶ καθ᾽ ὁμοίωσιν* C^{2} | *καὶ ἀρχ. — κτηνῶν* Z. 9 < C | *ἀρχέτω* S | *τῶν — θαλάσσης καὶ* Z. 8 < S **8** *τ. θαλάσσης* < U **8f** *πάντων τ. κτ.*] »über die Tiere der Erde usw.« S **9f** *τ. ἄνθρ.*] *αὐτόν* C^{2} und endet **11** *μᾶλλον δὴ* C | *καὶ ὑμεῖς* < S **12** *καὶ ὡς* S | *ὅλῳ — διαφ. καὶ* < S | *ὅλων* U: ⟨*ἐν*⟩ *ὅλῳ* Holl | *πάντη* C | *ἄλλων*: *ὅλων* C | *διαφορεῖ* V **13** *ἐγκαταλ. . . εὑρίσκεται*] »geehrt ward (oder »ist«)« S | *ἐγκαταλειφθεὶς* C | *ἀθάν. ὤν*] *ἄνθρωπος* S **14** *πάλιν — τοῦτο* u. *λογισμόν* Z. 14f < S | *τοῦτον* C | *διαλάβω* U **14f** *τὸν λογ.* C **15** *τοῖς — δεσπ.* S. 274, 1f Catene, Lemma *Μεθοδίου ἐπ.* u. Theodor | vor *τοῖς* »Diese Rede von den Tieren und anderen Lebewesen« S | *γὰρ*] *ἀλόγοις* Catene | *τῆς εἰσπνοῆς* < S **16** *τὸ* + Holl | *ἐμψυχωθεῖσιν* Md: < S | *ἐδόθη*: »gebend« S *καὶ ζῆν* C Holl Kl: *τὸ* V U Catene | *αὐτῆς* < S **17** *καὶ διαφερούσης* < S **18** *αὐτοῦ* V 356^{v} | *ὁ* < U | *ζῶσαν*] *ζωῆς* w. e. sch. S: C endet

τοῖς μὲν δουλεύειν καὶ ἄρχεσθαι προσετάγη, τῷ δὲ ἄρχειν καὶ δε-
σπόζειν. καὶ τοῖς μὲν διάφορα σχήματα φύσεως δίδονται καὶ μορφαί,
ὁπόσας ἡ ⟨γῆς⟩ στερέμνιος καὶ ὁρατὴ φύσις κελεύοντος θεοῦ ἐγέννησε,
τῷ δὲ τὸ θεοειδὲς καὶ θεοείκελον καὶ πάντα πρὸς ἐκείνην ἀπηκρι-
βωμένον τὴν πρωτότυπον τοῦ πατρὸς καὶ μονογενῆ εἰκόνα. »ἐποίησε
γὰρ ὁ θεός« ⟨φησι⟩ »τὸν ἄνθρωπον, κατ' εἰκόνα θεοῦ ἐποίησεν αὐ-
τόν«· διὸ καὶ ἐμέλησεν αὐτῷ τοῦ σφετέρου ἀγάλματος τῆς διαμονῆς,
ἵνα μὴ εὐάλωτον ᾖ πρὸς διαφθοράν, καθάπερ καὶ τῶν ἀνδριάντων 3
τοῖς δημιουργοῖς. οὐ γὰρ μόνον κάλλους τῶν ἀγαλμάτων αὐτοῖς καὶ
τῆς εὐπρεπείας αὐτῶν πεφρόντισται, ὅπως ὦσι περικαλλῆ μεγαλο-
πρεπῶς, ἀλλὰ καὶ τῆς εἰς τὸ δυνατὸν σφίσιν αὐτοῖς ἀθανασίας τῶν
δημιουργημάτων πρόνοιαν ποιοῦνται, ⟨τοῦ⟩ εἰς τὸν μακραίωνα χρό-
νον διασῴζεσθαι μὴ λυόμενα, καθάπερ καὶ Φειδίας. οὗτος γὰρ μετὰ

5 Gen. 1, 27 — 9 vgl. Justin De resurr. (S. Parall. 45, 270ff Holl)

2—5 Phot. Bibl. 234 S. 293a, 35—40 — 13—S. 275, 3 Phot. Bibl. 234 S. 293b, 1—4. Zachar. Mityl. Kirchengesch. 1, 1 S. 4, 11ff Ahrens-Krüger

1f Pl τῷ μὲν (σώματι) δουλεύειν καὶ ἄρχεσθαι ἡ φύσις προστάττει, τῇ δὲ (ψυχῇ) ἄρχειν κ. δεσπόζειν 2 καὶ τοῖς — μονογενῆ εἰκόνα Z. 5 bei Ph ὅτι διαφορὰν ἀνθρώπου κ. τῶν ἄλλων ζῴων φησί· καὶ τοῖς etc. | φύσεων U Jh: < S 3 ὁπόσας U Ph S: πρὸς ἅ V | γῆς + S (schwerl. las S γῆς καί), vgl. Plat., Epin. 981 D γῆς καὶ στερεμνίας φύσεως | καὶ ὁρατὴ < S | τοῦ θεοῦ U | ἐγέννησε θεοῦ Ph 4 τὸ < U | θεοειδὲς μόνον S | καὶ πάντα — εἰκόνα Z. 5 < S | πάντα V U Ph: πᾶν τὸ Md 4f ἀπηκριβομένην V, ἀπικριβωμένον U 5 μονογενοῦς Holl 6 φησί + S 7 ἐμέλησεν] brěze: prežde »bevor« S | τῆς vor τοῦ σφετ. in U 118^{v} (vor διαμ. < τῆς) 8 εὐάλωτος V | καθάπερ] »Gleichnis« mit roter Schrift + S 9 τῶν ἀγαλμά-των — εὐπρεπείας Z. 10 < S 10 ὅπως — μεγαλοπρεπῶς Z. 10f < S | περικαλλεῖς U, aber über εῖς übergeschrieben ῆ 11 τῆς — λυόμενα Z. 13] »daß sie eine dauernde und bleibende Schöpfung haben möchten« S | ἔφεσιν V 12 ποι. τοῦ Md: ποιεῖ-σθαι V U | εἰς τὸ εἰς Holl | μακρὸν αἴωνα V, aber m. Recht vergleicht Jh Pl Epin. 982 A 13 φιδίας V, »Philidias« S | οὗτος — φυλάσσων αὐτό S. 275, 3: ὅτι φησὶ Φειδείαν τὸν ἀγαλματοποιὸν τὸ Πισαῖον εἴδωλον ποιήσαντα ἐξ ἐλέφαντος προστάξαι ἔλαιον ἔμπροσθεν τοῦ ἀγάλματος ἐκχέειν, ὥστε ἀθάνατον ἐς δύναμιν αὐτὸ φυλάσσεσθαι Ph; »Methodios . . berichtet . . von Pheidias, einem Künstler, welcher Standbilder verfertigte, daß er ein Standbild aus Elfenbein von schönem Aussehen angefertigt habe, u. damit es lange Zeit bestände, ohne zerfressen u. verdorben zu werden, habe er Öl unter dessen Füsse gegossen u. den übrigen (Teil) des Schnitzbildes gesalbt« Zachar.

τὸ κατασκευάσαι τὸ Πισαῖον εἴδωλον (ἐξ ἐλέφαντος δὲ τοῦτο ἦν)
ἔλαιον ἐκχεῖσθαι προσέταξεν ἀμφὶ τοὺς πόδας ἔμπροσθεν τοῦ ἀγάλ-
ματος, ἀθάνατον εἰς δύναμιν φυλάσσων αὐτό. καὶ τοίνυν εἰ τῶν 4
χειροκμήτων οὕτως οἱ δημιουργοί, θεὸς ὁ ἀριστοτέχνας, ὃς πάντα
δύναται καὶ ἐξ οὐκ ὄντων ποιεῖν, οὐ μᾶλλον τὸ ἄγαλμα τὸ λογικὸν
ἑαυτοῦ, τὸν ἄνθρωπον, ἀνώλεθρον καὶ ἀθάνατον εἶναι τὸ παράπαν ἐξ
ἁπάσης ἀνάγκης ἐμηχανήσατο; ἀλλ᾽ εἴασεν οὕτως ἀτιμότατα λυόμενον
ὀλέθρῳ παραδοῦναι καὶ φθορᾷ, ὃ διαφερόντως ἠξίωσε ταῖς ἑαυτοῦ
ποιῆσαι χερσίν, »κατ᾽ εἰκόνα« μορφοποιήσας αὐτὸ »καὶ καθ᾽ ὁμοίωσιν«
τὴν ἑαυτοῦ, τὸν κόσμον τοῦ κόσμου, δι᾽ ὃ καὶ ὁ κόσμος ἐγένετο;
οὐκ ἔστιν εἰπεῖν· ἀπήει γὰρ εἰς ἀφροσύνην ἐπαρθέντα φρονῆσαι
τοῦτο.

XXXVI. Ἀλλ᾽ ἴσως μὲν ἐπιστήσαντες ἑαυτοὺς πρὸς τὰ λεχθέντα
νῦν, ὦ Ἀγλαοφῶν, λέξετε, Καὶ πῶς, εἰ ἀθάνατον ἦν ἐκ γενέσεως καθ᾽
ὑμᾶς τὸ ζῷον, γεγένηται θνητόν, ὁπότε τὸ ἀθάνατον ἀμεταστρόφως
τοῦτο ὅ ἐστιν εἶναι χρή, μὴ μεταπῖπτον ἢ ἐξιστανόμενον εἰς τὴν
αἰσχίονα καὶ θνητὴν φύσιν; | ἀμήχανον γάρ, ἐπεὶ οὐκέτι ἔσται 543
ἀθάνατον. Ἐπειδή, λέξω, γενόμενον αὐτεξούσιον πρὸς τὴν αἵρεσιν 2

4 vgl. De res. I, 9, 5. II, 21, 2. Symp. S. 23, 5. 11 — 9 Gen. 1, 26

1 ἦν] ἐποιήθη las schwerl. S, »war es gemacht« se tvorisja: »macht er sie« ja tvorit' S **2** ἀμφὶ τοὺς] »an beide« (πρὸς ἀμφοτέρους?) S **2f** ἔμπρ. τ. ἀγάλματος < S **3** φυλάσσειν U | καὶ τοίνυν εἰ: »wenn aber nun« S **4** χειροτμήτων V | ὁ θεὸς U: πόσῳ μᾶλλον θεὸς S **5** ἐξ οὐκ ὄντων τὰ ὄντα S, wohl nach Röm. 4, 17 | τὸ ἄγαλμα — ἄνθρωπον Z. 6] »den nach seinem Bild geschaffenen Menschen« S | εἶναι — ἀνάγκης Z. 7 < S **7** ἐμηχ.] »ist mächtig zu machen« S | οὕτως ἀτιμ. λυόμενον] αὐτὸν S | ἀτιμώτατα U **8** παρ.] »zu übergeben« predati: »übergeben werde« sja predati S | καὶ φθορᾷ < S | ὃ] ὃν S | διαφερόντως] »vielmehr« S **9** μορφωπ. U **10** ὃ καὶ ὁ] οὗ U | ὃ] ὃν S **11** ἔ στιν V 357 | ἀπήει γὰρ etc.] »denn der Unvernünftigkeit ist dieser Gedanke voll« S | ἀπείη vermutet Jh | φρονῆσαι U 119 **13** μὲν Jh] μὴ V U: < S | ἐπιστήσαντες — νῦν Z. 14 < S **14** νῦν < U | λέξετε rečete: λέγειν rešti S **14f** καθ᾽ ὑμᾶς] καὶ θαυμάσιον S **15** γεγ. θν.] »ward es sterblich« smrtno by̆ (s über y): »denn es ist unsterblich« besmrtno bo S | ἀμεταστρόφως — ἀθάνατον Z. 18] »nicht sterblich (»unsterblich« S 76^{v}) wird; denn es ist nicht mehr möglich dem Unsterblichen zum Tod überzugehen«; vor »denn« + »Wider die, welche sagen: Wenn der Mensch unsterblich war, — wie ward er dem Tode unterworfen? und vom freien Willen« S **16** ἐξιστανόμενον V Holl: ἐξανιστάμενον U **17** οὐκέτ᾽ ἔσται Md u. Bo: οὐκ ἔστιν V U: nach οὐκ ἔστι etwa ⟨τῷ⟩ ἀθανάτῳ ⟨δυνατὸν ἥκειν εἰς θάνατον⟩ nach S Holl **18** Ἐπειδή, λέξω < S: davor etwa ⟨Δυνατὸν δέ, φημί⟩ Holl | γεν. οὖν S

τοῦ καλοῦ, καὶ τοῦτον τὸν θεσμὸν εἰληφός, ὁ μισόκαλος ἐπιστὰς ἐβάσκανε φθονῶν. »ὁ« γὰρ »θεὸς ἔκτισε τὸν ἄνθρωπον ἐπὶ ἀφθαρσίᾳ καὶ εἰκόνα τῆς ἰδίας ἀϊδιότητος ἐποίησεν αὐτόν«. καὶ »ὁ θεὸς θάνατον οὐκ ἐποίησεν, οὐδὲ τέρπεται ἐπ᾽ ἀπωλείᾳ ζώντων«· »φθόνῳ δὲ διαβόλου θάνατος εἰσῆλθεν εἰς τὸν κόσμον«, καθάπερ καὶ ἡ σοφία διὰ
Σολομῶνος μαρτυρεῖ. πόθεν οὖν ὁ θάνατος πάλιν δὴ λέγεσθαι 3
ἀνάγκη, εἰ μὴ θάνατον ἐποίησεν ὁ θεός. εἰ ἀπὸ τοῦ φθόνου, καὶ πῶς ὁ φθόνος τῆς βουλήσεως μᾶλλον ἴσχυσε τοῦ θεοῦ; ἀλλὰ τοῦτο δύσφημον λέξομεν. Πόθεν οὖν ὁ φθόνος; ὁ ἀντιλέγων ἐρεῖ. εἰ γὰρ ἀπὸ τοῦ διαβόλου, καὶ διὰ τί διάβολος ἐγένετο, εἰ ἐγένετο, καὶ ὁ ποιήσας αὐτόν ἐστιν αἴτιος τοῦ εἶναι κακόν; ἀλλὰ ἀναίτιος παντάπασι
κακῶν πᾶσιν ὁ θεός. ἀγένητος ἄρα ὁ διάβολος, καὶ εἰ ἀγένητος, καὶ 4
ἀπαθὴς καὶ ἀνώλεθρος καὶ ἀνενδεής. τῷ γὰρ ἀγενήτῳ ἐξ ἀνάγκης ἁπάσης ταῦτα ὑπάρχειν δεῖ. ὁ δὲ διάβολος καταργεῖται καὶ κολάζεται· τὸ δὲ κολαζόμενον ἀλλοιοῦται καὶ πάσχει, ἀπαθὲς δὲ τὸ ἀγένητον. οὐκ
ἄρα ἀγένητος, ἀλλὰ γενητὸς ὁ διάβολος. εἰ δὲ γενητὸς καὶ πᾶν τὸ 5
γεγενημένον ἀπό τινος ἀρχῆς ἐγένετο καὶ ἔστιν αὐτοῦ δημιουργός,

1 vgl. De autex. 17, 5. 18, 8. 19, 9 S. 190, 11. 194, 4. 196, 9. De res. 37, 3 S. 278, 11 — **2** Weish. Sal. 2, 23. 1, 13. 2, 24 — **7** vgl. De autex. 17, 5. 18, 8. 19, 3 S. 190, 11ff. 194, 4f. 196, 9 — **8** vgl. De autex. 11, 8 S. 175, 4f — **10** vgl. De autex. 19, 8 S. 198, 11f

1 Basil. PGr 31, 348 A. Chrysost. PGr 49, 260 etc.; vgl. zu S. 190, 11 — **2—6** Prokop. PGr 87, 1, 164 A — **2—S. 280, 3** Oktateuchcatene, vgl. Lietzmann, Caten. gr. catal. S. 2ff

1 *εἰληφὼς* V U | *ὁ δὲ* S | *ἐπ. αὐτῷ* S **2** *φθονῶν* S Holl: *φθόνος* U: < V; *φθόρος* Md, aber vgl. Z. 4. 7 | *ὁ γὰρ — πληγαί* S. 280, 3 die Catene, s. Einl. | *ὁ γὰρ — μαρτυρεῖ* Z. 6 Prok | *ἐπὶ ἀθανασίᾳ καὶ ἀφθαρσίᾳ* S **3** *εἰκόνι* Catene | *ἐπ.* < S | *καὶ γὰρ* U **4** *ἐπὶ* V | *ζώντων*] *ἀνθρώπων* S **4f** *διαβόλῳ* las schwerl. S **5** *καθ.*: *ὡς* Prok | *καὶ* < Prok Catene | *διὰ* < Prok **6** *σολομῶντος* V Catene | *μαρτυρεῖ*: *δηλοῖ* Prok | *πόθεν οὖν*] *Καὶ πόθεν* U | *ὁ* < Catene | *δὴ*: *γὰρ* S, aber wohl bo »denn« aus ubo = *δὴ*: *δια* Catene **7** *εἰ*] *ἢ* Catene:? < S **8** *μᾶλλον τῆς βουλ.* Catene | *ἰσχύει* S **9** *λέξωμεν* U Catene: *οὖν* + S | *οὖν* < U | *ἐρεῖ*] *φησίν* od. *ἔφη* S | *εἰ γὰρ* < S | *εἰ — αὐτόν* Z. 11 < V **10** *εἰ ἐγέν. καὶ*: *εἰ γὰρ* S **11** *αὐτόν* < S | *αἰτ. ἐ.* Catene | *τοῦ* (?) *εἶναι αὐτὸν κακόν* S | *πανταπ.*] *πάντη* U Catene **12** *πᾶσιν*] *ἐστιν* U: < S Catene | *ἆρα* V: etwa *λοιπὸν* + S | *καὶ*[1] S 77 **13** *καὶ ἀνώλεθρος* < S **13f** *ἁπάσης*] *ἅπαντα* S Holl **14** *δεῖ*] *χρῆ* U | *καταρᾶται* S **15** *ἄρα ἀλλ.* U | *καὶ ἀλλ.* Catene | *ἀλλ. κ. πάσχει*] »geht zugrunde« (*ἀπόλλυται*?) S | *τὸ ἀγέννητον* U: »schuf ihn das Ursächliche« (*αὐτὸν ἐποίησε τὸ αἴτιον*) S **16** *ἀλλὰ γενητὸς* < S | *εἰ δὲ — πᾶν* < S | *τὸ δὲ* S **17** *γενόμενον* Catene | *καὶ ἔστιν αὐτοῦ δημιουργός* < S

ἔστιν ἄρα τις δημιουργὸς τοῦ διαβόλου. καὶ πότερον κἀκεῖνος ἀγένη-
τός ἐστιν ἢ γενητός; ἀλλὰ τὸ ἀγένητον ἓν εἶναι μόνον νοεῖσθαι χρὴ
τὸν θεόν· οὐδὲ γὰρ εἶναι τὸ σύνολον ὅλως ἐκ παντὸς τὸ παράπαν
ἕτερος δημιουργὸς δύναται πλὴν αὐτοῦ (»ἐγώ« φησὶ »πρῶτος, καὶ
ἐγὼ μετὰ ταῦτα, καὶ πλὴν ἐμοῦ ἄλλος οὐκ ἔστιν θεός«), οὐδὲ μετα-
σκευάζεσθαί τι ἢ κτίζεσθαι παρὰ τὴν αὐτοῦ δύναται βουλήν. καὶ γὰρ
»ὁ υἱὸς οὐδὲν ἀφ' ἑαυτοῦ δύνασθαι ποιεῖν« ὁμολογήσει, »ἐὰν μή τι
βλέπῃ τὸν πατέρα ποιοῦντα· ἃ γὰρ ἂν« φησίν »ὁ πατὴρ ποιῇ, ταῦτα
καὶ ὁ υἱὸς ὁμοίως ποιεῖ«. οὐδὲ μήν τι πολέμιον ἢ ἀντίξουν αὐτῷ ἢ 6
ἀντίθεόν ἐστιν· ἐπεὶ κἂν εἰ ἀντέπρασσέ τι τῷ θεῷ, ἐπαύσατο ἂν
τοῦ εἶναι, λυθείσης αὐτοῦ τῇ τοῦ θεοῦ δυνάμει καὶ ἰσχύϊ τῆς συστά-
σεως. τῷ γὰρ ποιήσαντι λῦσαι μόνῳ καὶ τὰ ἀθάνατα δυνατόν. |

XXXVII. *Τί οὖν ὁ διάβολος; λέξετε. πνεῦμα περὶ τὴν ὕλην ἔχον,* 544

3 vgl. S. 281, 2f — **4** Jes. 44, 6 — **7** Joh. 5, 19 — **9** Athenagoras, Suppl. pro christ. 24 S. 31, 24. 26ff Schwartz — **12** Plat. Tim. 32 C — **13** vgl. Athenag. Suppl. c. 24 S. 32 Schwartz. De autex. 19, 4 S. 196, 11ff

13 Phot. Bibl. 234 S. 293 b, 5—21; vgl. Greg. Nyss. Or. cat. 6 S. 55 A B (30 Oehler)

1 *ἔστιν ἄρα τ. δημ.*] *καὶ* U 119^v^ | *πότερον*: ubo . . ašte S | *κἀ|κεῖνος* V 357^v^ | *κἀκεῖνος* i on: i in S **1f** *ἀγέν.*] *ἀγέννητος ἢ ἀγένητος* S **2** *ἓν* < U | *εἶναι*] *ἐστι* Catene | *νοεῖσθαι χρὴ*] *νοεῖται* S **3** *οὐδὲ*] *οὐ* las schwerl. S | *τὸ σύνολον — παράπαν* < S | *παντὸς εἰς τὸ* U | *τὸ* < Catene **4** *ἕτερον δημιουργὸν* Catene | *δύναται* < U Catene | *γάρ φησι* Catene S: < U **5** *ἐγὼ* < S | *ἄ. θ. ο. ἔ.* V: *οὐκ ἔ. ἄ. θ.* Catene | *οὐδὲ — δυνατόν* Z. 12 < Catene **5f** *μετασκευάζεσθαί* < S: *δεῖ* + U **6** *ἢ* < S | *παρὰ τὴν . . αὐτοῦ βουλήν*: »ohne ihn« S **7** *δύν. ποιεῖν*: »schafft« S und + »ohne den Willen des Vaters« | *ὁμολογεῖ* U S Holl | *τι* < U **8** *ποιεῖ* V (U corrig. in *ῇ*) **9** *ὁμοίως* < U | *οὐδὲ — δυνατόν* Z. 12 < S | *οὐδὲ — ἐστιν* Z. 10: *οὐχ ὅτι ἀντιδοξοῦν τί ἐστι τῷ θεῷ* Athenag. | *πολέμιόν τι* V Dd | *ἀντιξοῦν* V Dd: *ἀντιδοξοῦν* U u. Athenag. **10** *ἐπεὶ — συστάσεως* Z. 11f auch Athenag. | *ἀντέπρασεν* V; *ἀνθειστήκει* Athenag. | *ἂν* < Athenag. **11** *λυθήσεις* U **12** *μόνον* V **13** vor *Τί οὖν* + »Was der Teufel ist, und wofür zu sorgen er beauftragt ward« mit roter Schrift S | *Τί οὖν — ἀνθρώπων* S. 278, 14 (außer *κ. ὥσπερ* S. 278, 7 — *ἄγγελοι* Z. 8) bei Ph (*ὁ διάβολός ἐστιν πνεῦμα* etc.): Catene *Καὶ μετ' ὀλίγα* und fährt fort | *λέξετε* V Dd wie 36, 1. 38, 2: *λέξεται* U Catene: < S | *πνεῦμα — πρόνοιαν* S. 278, 6 fast wörtlich aus Athenag., das Weitere mit kleinen, hier nicht angemerkten, Änderungen | *πνεῦμα* dch vielleicht ursprünglich auch S, jetzt »damit« da | *ἔχον* < Ph Catene: *ἔχῃ* S

καθάπερ ἐλέχθη καὶ Ἀθηναγόρᾳ, γενόμενον ὑπὸ τοῦ θεοῦ, ὥσπερ δὴ
καὶ οἱ λοιποὶ γεγόνασιν ὑπ' αὐτοῦ ἄγγελοι, καὶ τὴν ἐπὶ τῇ ὕλῃ καὶ
τοῖς τῆς ὕλης εἴδεσι πεπιστευμένον διοίκησιν. τοῦτο γὰρ ἦν ἡ τῶν 2
ἀγγέλων σύστασις, τῷ θεῷ ἐπὶ προνοίᾳ γεγονέναι τοῖς ὑπ' αὐτοῦ
διακεκοσμημένοις, ἵνα τὴν μὲν παντελικὴν καὶ γενικὴν ὁ θεὸς ἔχων
τῶν ὅλων πρόνοιαν ᾖ, τὸ κῦρος καὶ τὸ κράτος ἁπάντων αὐτὸς ἀνηρ-
τημένος καὶ ὥσπερ σκάφος τῷ τῆς σοφίας οἴακι διευθύνων ἀκλινῶς
τὸ πᾶν, τὴν δὲ διὰ μέρους οἱ ἐπὶ τούτῳ ταχθέντες ἄγγελοι. ἀλλ' 3
οἱ μὲν λοιποὶ ἐφ' οἷς αὐτοὺς ἐποίησε καὶ διέταξεν ὁ θεὸς ἔμειναν,
ὁ δὲ ἐνύβρισε καὶ πονηρὸς περὶ τὴν τῶν πεπιστευμένων ἐγένετο διοί-
κησιν, φθόνον ἐγκισσήσας καθ' ἡμῶν, ὥσπερ καὶ οἱ μετὰ ταῦτα σαρ-
κῶν ἐρασθέντες καὶ ταῖς τῶν ἀνθρώπων εἰς φιληδονίαν ἐνομιλήσαντες
θυγατράσιν. αὐθαίρετον γὰρ καὶ αὐτοῖς ἔχειν πρὸς ἑκάτερα διετάξατο 4
βούλησιν ὁ θεός, οἷα καὶ ἐπὶ τῶν ἀνθρώπων, ἵν' ἢ πειθόμενοι τῷ
λόγῳ συνῶσιν αὐτῷ καὶ ἀπολαύωσι μακαριότητος, ἢ μὴ πειθόμενοι

3 Plato Tim. 41f. 69 C. Symp. 202 Ef — **7** vgl. De res. II, 10, 5 — **11** vgl. De autex. 17, 5. 18, 8. 19, 3 — **12** Gen. 6, 2

1 *γενόμ.—θεοῦ* vor *καθάπερ—Ἀθην.* Ph | *καὶ Ἀθην. γεν.* < Catene | *Ἀθην.* S 77^{v} | *μὲν* vor *γενόμ.* + Athenag. **1f** *ὥσπ. δὴ κ.*: *καθὸ* Athenag. **1** *δὴ*: *δὲ* U; < S **2** *ὑπ' αὐτοῦ γεγόν.* Athenag.: < S | *ὑπ'* U Ph Catene: *ἀπ'* V Dd | *τὴν* u. *διοίκησιν* Z. 3 < S **3** *πεπιστευμένοι* U | *τούτων* Ph^{b} | *ἦν* < Athenag. Ph, viell. auch S doch wohl ursprünglich *γὰρ ἦν* bo⟨by⟩) **4** *γέγονε* Athenag. **4f** *τ. ὑπ' αὐ. διακε(κ.*] »seinen Geschöpfen« S **5** *ἵν' η* Athenag. HS | *καὶ γενικὴν* Ph Catene Athenag.: *καὶ ἀγενητικὴν* V, *καὶ γενετικὴν* U: < S | *ἔχων ὁ θεός* Catene | *ἔχων* < Athenag. **6** *τῶν ὅλων*] »des Geschaffenen« S | *ᾖ* Ph Catene S: *ἢ* V U | *πάντων* Catene | *αὐτὸς* < Catene S **6f** *ἀνηρτημένος*: »haltend« S **7** *καὶ ὥσπερ—ἄγγελοι* Z. 8 < Ph | *καὶ* w. e. sch. < S | *σκάφος τι* (od. *τις*) S | *τῷ τ. σοφ. οἴακι*] »durch seine Weisheit« S | *διευθύνον*? Catene | *ἀκλινῶς* < S **8** *ἐπὶ μέρει* Athenag. | *οἱ* < Catene | *ἐπὶ τούτων* V, *ἐπὶ τοῦτο* Catene?: *ἐπ' αὐτοῖς* Athenag. **8f** *ἀλλ' οἱ μ. λ.*] *οἱ μὲν γὰρ ἄλλοι* Athenag. **9** *ἐφ' ὧν* Ph | *ὁ θ. καὶ διετ. αὐτοὺς* Catene | *διέταξεν* V S Athenag.: *διετάξατο* U Ph Catene | *θεὸς*] *κύριος* S **10** *ὁ δὲ*] *αὐτὸς δὲ* Ph | *τὴν* < U | *τῶν αὐτῷ πεπιστ.* S **11** *ὥσπερ—θυγατράσιν* Z. 13 < S u. Catene, w. + *καὶ μετ' ὀλίγα* **12** *φιλοκοιτίαν ὁμιλήσαντες* U, *φιλοτησίαν ὁμιλ.* Ph **13** *ἔχειν* < S **14** *βούλησιν* V 358^{r} | *οἷα*] *ὅσα* Catene: *ὡς*? S | *ἐπὶ τ. ἀνθρώπων*: »den Menschen« S | *ἀνθρώπων* < Ph^{a}: es endet Ph | *ἵνα* Catene | *ἢ* U: *οἱ* V **15** *συνοῦσιν* V | *ἀπολαύσωσι* V Catene: *ἀπολάβωσι* U Ph

κρίνωνται. ἦν δὲ καὶ ὁ διάβολος ἀστὴρ ἑωσφόρος. »πῶς ἐξέπεσεν 5
ἐκ τοῦ οὐρανοῦ ὁ ἑωσφόρος, ὁ πρωῒ ἀνατέλλων;« ἦν μετὰ τῶν ἀγ-
γέλων ἀνατέλλων τοῦ φωτός, ἦν ἄστρον πρωϊνόν, ἀλλ' ἐξέπεσε καὶ
»εἰς τὴν γῆν συνετρίβη«, ἐπιτροπεύσας τῷ ἀνθρώπῳ τἀναντία. τὸ
γὰρ θεῖον νεμεσᾷ ⟨ἀεὶ⟩ »τοῖς ὑπερηφάνοις« καὶ τὰ αὐθάδη φρονήματα
κολούει. ἐπέρχεται δέ μοι καὶ ἔμμετρόν ⟨τι⟩ εἰπεῖν, 6

ὦ πᾶσιν ἀρχὴ καὶ πέρας κακῶν ὄφις,
σύ τ' ὦ βαρὺν τίκτουσα θησαυρὸν κακῶν
πλάνη, τυφλοῦ ποδηγὲ ἀγνοίας βίου,
χαίρουσα θρήνοις καὶ στενάγμασι βροτῶν,
ὑμεῖς ἀθέσμους εἰς ὕβρεις ὁμοσπόρων
τὰς μισαδέλφους ὁπλίσαντες ὠλένας
Κάϊν μολῦναι φοινίῳ πρῶτον λύθρῳ
ἐπείσατον γῆν, καὶ τὸν ἐξ ἀκηράτων
πεσεῖν αἰώνων πρωτόπλαστον εἰς χθόνα
ὑμεῖς ἐτεκτήνασθε. |

1 Jes. 14, 12 — **4** vgl. De autex. 17, 5. 18, 8. 19, 4 — **5** vgl. I Petr. 5, 5 — **10** vgl. Symp. 11 S. 132, 6 — **12** vgl. Symp. 5, 5. 11 S. 59, 15ff. 134, 6f. De res. I, 32, 4 S. 268, 13f — **13** Symp. 11 S. 135, 19

1 *κρίνονται* U | vor *ἦν* + »Wie der Teufel der Morgenstern war« mit roter Schrift S | *πῶς* (*ὅς* Catene) — *ἑωσφόρος* Z. 2 < V **2** *ἦν — ἀνατέλλων* Z. 3 < U **3** *ἀνατέλλων* < Catene | *τοῦ φωτὸς ἦν* interpungiert S | *προϊνὸν* V U: < S **4** *τὰ ἐναντία* U **4f** *τὸ γὰρ — ἐτεκτήνασθε* Z. 16 < Catene **4** *τὸ* S 78 **5** *νεμέσαν* U | *ἀεὶ* + S | *καὶ τὰ — κολούει* Z. 6 < S **6** *κολούει* Pet: *κωλύει* V U | *μοι* < U | *ἔμμετρον* w. e. sch. S (»metrisch«) wie Pl Symp. 197 C: *ἐν μέτρως* V, *ἐμμέτρως* U | *τι* Bo, vgl. Pl a. a. O u. S | *εἰπεῖν*] *τίκτειν* aus *τι εἰπεῖν* S **7** *ὦ*] *ὡς* U | *πάντων* las schwerl. S | *ὄφις ὄφις* V, *ὁ ὄφις* U: *φησι* S **8** *σύ τ' ὦ* Md: *σὺ* od. *σὺ τὸν* S: *οὐ τῷ* V, *οὕτω* U: *ἥ τ' ᾧ* Scaliger | *θησαυρὸν*] »Besitztum« iměnie S: iměti se S **9** *ποδηγὸς* Scaliger | *ἀγνοίας* viell. verderbt: *κ' ἀνόου* w. e. sch. S (viell. aber i »und« nachträglich eingeschaltet) **10** *βροτῶν*: »der Menschen« S **11** *ὑμεῖς* < S **12** *ὠλένας* < S **13** *Κάϊν γὰρ* S | *μολῦναι*] »befleckte« S | *φοιν. . . λύθρῳ*] »mit Blut« S **14** *ἔπισα τὸν* V, *ἐπείσατο* U: < S | *γῆν*] »Grube« S | *τὸν* Pet: *τῶν* VU **15** *εἰς χθόνα*: *εἰς αἰῶνα* (*ἀιώνων* <) S **16** *ἐτεκτ.* Scaliger Pet: *ἐτεκτήνασθαι* (ε über αι) V, *ἐτεκτήνασθαι* U

XXXVIII. *Καὶ ὁ μὲν διάβολος οὕτως· ὁ δὲ θάνατος πρὸς ἐπι-* 545
στροφὴν εὑρέθη, καθάπερ καὶ τοῖς ἀρτιμαθέσι γραμμάτων παιδίοις
πρὸς ἐπανόρθωσιν αἱ πληγαί. οὐδὲν γὰρ ἄλλο ὁ θάνατος ἢ διάκρισις
καὶ διαχωρισμὸς ψυχῆς ἀπὸ σώματος. Τί οὖν; παραίτιος ὁ θεὸς 2
θανάτου; λέξετε. πάλιν γὰρ ὁ αὐτὸς ἡμῖν ἥκει λόγος. μὴ γένοιτο,
ἐπεὶ μηδὲ οἱ διδάσκαλοι προκαθηγουμένως τοῦ ἀλγύνεσθαι ταῖς πλη-
γαῖς τοὺς παῖδας αἴτιοι. καλὸν οὖν ὁ θάνατος, εἰ καθάπερ παισὶ
πρὸς ἐπιστροφὴν δίκην πληγῶν εὑρέθη, οὐχ ὁ τῆς ἁμαρτίας, ὦ σο-
φώτατοι, ἀλλ᾽ ὁ τῆς διαζεύξεως τῆς σαρκὸς καὶ τοῦ χωρισμοῦ. αὐτεξ- 3
ούσιος γὰρ ὢν καὶ αὐτοκράτωρ ὁ ἄνθρωπος, καὶ αὐτοδέσποτον βού-
λησιν καὶ αὐτοπροαίρετον πρὸς τὴν αἵρεσιν, ὡς ἔφην, τοῦ καλοῦ
λαβών, ἀκούσας τε »ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ φάγεσθε,
ἀπὸ δὲ τοῦ ξύλου τοῦ γινώσκειν καλὸν καὶ πονηρὸν οὐ φάγεσθε ἀπ᾽
αὐτοῦ· ᾗ δ᾽ ἂν ἡμέρᾳ φάγητε ἀπ᾽ αὐτοῦ, θανάτῳ ἀποθανεῖσθε«, ἐν-
δοὺς ἀπ᾽ αὐτοῦ εἰς τὸ φαγεῖν τῷ διαβόλῳ δεδελεασμένῃ σοφίᾳ ποι-
κίλως πρὸς παρακοὴν πείθοντι, ἠθέτησε τὴν ἐντολὴν τοῦ θεοῦ· καὶ

3 Plato Phaed. 67 D — **5** vgl. De res. I, 36, 1—3 — **7** Theoph. Ad Autol. II, 26 — **11** De res. I, 36, 2 S. 275, 18f; vgl. De autex. 16f S. 186ff — **12** Gen. 2, 16. 17

1—S. 281, 7 S. Parall. 417f S. 165f Holl

1 *Καὶ* < S | *ὁ δὲ θάνατος—χωρισμοῦ* Z. 9 C in K 174ᵛ. Lemma *τοῦ ἁγίου Μεθοδίου ἐκ τοῦ περὶ ἀναστάσεως* **2** *ηὑρέθη* U | *καὶ* < Catene **3** *πρ. ἐπανόρθ.* < S | *πληγαί*] hier endet die Catene | *ὁ* < C **4** *καὶ χωρισμὸς* V: < S | *τοῦ σώματος* C, aber vgl. auch Pl *οὐκοῦν τοῦτό γε θάνατος ὀνομάζεται, λύσις κ. χωρισμὸς ψυχῆς ἀπὸ σώματος* **5** *λέξεται* C Jh | *πάλιν—λόγος* < C | *ὁ* < V **6** *προκαθηγ.*] »durch das Vorgesetztsein« S **7** *καλὸν* U 120ᵛ | *οὖν* < C | *εἰ*] *ὅς* w. e. sch. S | *παισὶ*] *φησὶν* C **8** *δίκην πληγῶν* < S | *ηὑρέθη* U, *εὑρεθεῖ* C | *ἁμαρτίας*] *φημί* od. *λέγω* + S **8f** *σοφώτατοι* S 78ᵛ **9** *τ. χωρισμοῦ*] *τῆς ψυχῆς* S: C endet, aber fügt an *καὶ τὰ ἑξῆς εἰς τὸν περὶ αὐτεξουσίου*, weil sich das Fragm. Cᵏ 50ᵛ unmittelbar an das Z. 1ff anschließt **9f** *αὐτεξούσιος—δικαιοσύνης* S. 281, 7 C in K Bl. 50ᵛ, von *οὐκ ἐποίησεν κακὸν* S. 281, 1f an auch in C u. R: Lemma in Cᵏ *τοῦ ἁγίου Μεθοδίου ἐκ τοῦ περὶ ἀναστάσεως* **10** *γὰρ* < C **11** *καὶ αὐτοπροαίρετον* < S | *ὡς ἔφην* < S **12** *τε* < C S | *παντὸς—ἀπὸ δὲ* Z. 13 < C | *τοῦ ἐν τ. παρ.* < S | *τῷ* V 358ᵛ | *φάγ.*] *βορὰν φάγῃ* S **13** *δὲ* < C **14** *ἢ* U | *δ᾽*] *γὰρ* S **14f** *ἐνδοὺς—φαγεῖν* Z. 15 < S **15** *ἀπ᾽ αὐτοῦ* nach *φαγεῖν* C **15f** *τοῦ διαβόλου . . πείθοντος* wie Jh viell. S **15** *δὲ δελεασαμένη ἡ* U, *δελεασμένη* C: *δεδελ. σοφίᾳ* < S **15f** *ποικίλω* C **16** *πείσοντι* U

ἐγένετο τοῦτο αὐτῷ εἰς σκάνδαλον καὶ παγίδα καὶ σκῶλον. οὐ γὰρ 4
ἐποίησεν ὁ θεὸς κακόν, οὐδέ ἐστιν τὸ σύνολον ὅλως ἐκ παντὸς εἰς
τὸ παράπαν αἴτιος κακοῦ· ἀλλὰ πᾶν ὅπερ ἂν αὐτεξούσιον οὕτως ὑπ᾽
αὐτοῦ γεγονὸς ᾖ πρὸς τὸ φυλάξασθαι καὶ τηρῆσαι νόμον, ὃν αὐτὸς
δικαίως διεστείλατο, μὴ τηρῆσαν λέγεται κακόν. βαρυτάτη δὲ βλάβη
τὸ παρακοῦσαι θεοῦ, τοὺς ὅρους τῆς κατὰ τὸ αὐτεξούσιον ὑπερβάντα
δικαιοσύνης. ὅθεν ἐπειδὴ κατερρυπώθη καὶ κατεμιάνθη τῆς ἀποφά- 5
σεως ἀποστατήσας ὁ ἄνθρωπος τοῦ θεοῦ καὶ κηλῖδας ἐναπεμάξατο
κακίας πολλῆς, ἃς ὁ ἄρχων τοῦ σκότους ἀπεκύησε καὶ πατὴρ τῆς
πλάνης, »πόνον« κατὰ τὴν γραφὴν συλλαβών, ἵνα τὸν ἄνθρωπον
φαντάζειν ἀεὶ πρὸς ἀδικίαν ἔχῃ καὶ κινεῖν, ὁ θεὸς ὁ παντοκράτωρ,
ἀθάνατον κακὸν ἐξ ἐπιβουλῆς τοῦ διαβόλου ἰδὼν αὐτὸν γεγενη-
μένον, καθάπερ καὶ ὁ διάβολος πλάνος ἦν, τοὺς δερματίνους χιτῶνας
διὰ τοῦτο κατεσκεύασεν, οἱονεὶ νεκρότητι ⟨τινὶ⟩ περιβαλὼν αὐτόν,

2 vgl. S. 277, 3 — **5** vgl. De autex. 17, 2. 18, 11 S. 189, 15. 195, 6f — **9** vgl. Joh. 12, 31. Ephes. 6, 12 (Kol. 1, 13) — **10** Psal. 7, 15 — **13** vgl. De res. I, 39, 5. 7. 40, 6 — Iren. Adv. haer. III, 23, 6. Tert. De resurr. 7

8 Prokop. PGr 87, 1, 164 C — **14** Greg. Naz. Orat. 38, 12. Greg. Nyss. De an. et res. III, 253 B (156 Oehl. PGr 46, 148 C). De virg. 12 III, 151 (88 Oehl. PGr 46, 376)

1 *τοῦτο* < C | *εἰς παγ. κ. σκάνδ.* S | *εἰς παγ. κ. εἰς σκῶλον* U | *οὐ γὰρ*] es beginnt C in C Bl. 234ᵛ Z. 8 (Lemma *τοῦ αὐτοῦ ἐκ τοῦ περὶ ἀναστάσεως λόγου*) und R 222 (Lemma *τοῦ αὐτοῦ*) | *οὐ γὰρ*] *οὐκ* Cc Cr **2** *κακὸν ὁ θεὸς* C | *ἐκ — παράπαν* Z. 3 < S | *εἰς* < U C **3** *αὐτεξουσίως* las schwerl. S | *οὕτως* < S **4** *γέγονεν* S | *ῇ* C, *εἰ* Cr: *ᾖ* V U S Ck | *ὃν*] etwa *τοῦτο δὲ* od. *αὐτὸ δὲ* (viell. las aber S *δ*) tože S **5** *τηρῆσαι* Ck: *τηρηθὲν δὲ* S **6** *ὑπερβάντος* S **7** *δικαιοσύνης*] es endet C | *κατερυπώθη καὶ* U: < S **8** *τοῦ θεοῦ* nach *ἀποφάσεως* in S | *ἀποστατ. — συλλαβών* Z. 10 Prok | *ἀποστ.*: *παραβὰς* Prok **9** *πολλῆς*] »unreiner« (*βεβήλου*?) S | *τοῦ σκότους* S: *οὗτος* V U **10** *ἄνθρωπον* S 79 **11** *πρ. ἀδ. ἀεὶ φαντ.* U | *ἔχει* U **12** *κακὸν — ἀποθάνῃ* S. 282, 2] *ἐν ἐλαττώσει κεκακωμένον ἐξ ἐπιβουλῆς τοῦ διαβόλου ἰδὼν αὐτὸν γεγενημένον, οὐκ εἴασε μεταλαβεῖν τοῦ ξύλου τῆς ζωῆς, ἀλλὰ ἐνέδυσεν αὐτόν τε καὶ τὴν σύζυγον εὔαν χιτῶνας δερματίνους καὶ ἀπέλυσε τοῦ παραδείσου, νέκρωσιν αὐτοῖς ὁρίσας λέγων »γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσει«, ὅπως καθαρίσας τῆς ἐλαττώσεως ἐν τῇ ἀναστάσει ὡς ἄριστος κεραμεὺς πάλιν ἀπὸ τοῦ ἰδίου φυράματος ἄνευ ἐλαττώσεως ἀναστήσει* V; von *νέκρ.* an auch Catene (nur *ὁρ. αὐτ.* u. *ἀπελελεύσῃ . . ἀναστήσῃ*) | *τοῦ διαβόλου* aus V: *τῆς ἀδίκου* od. *ἀδικίας* las S | *αὐτὸν* < S **13** *καθάπερ* U 121 | *ὁ διάβ. πλάνος*] *αὐτὸς ἐκεῖνος ὁ πλανῶν αὐτὸν ὁ διάβ.* S **14** *νεκρότητα* U, aber vgl. Jh Symb. in Epiph. S. 15 : *τινὶ* + S

ὅπως διὰ τῆς λύσεως τοῦ σώματος πᾶν τὸ ἐν αὐτῷ γεννηθὲν κακὸν
ἀποθάνῃ. |
XXXIX. *Προηπόρηται δὲ ἤδη καὶ ἀπεδείχθη τοὺς δερματίνους* 546
χιτῶνας μὴ εἶναι τὰ σώματα. ὅμως δὲ καὶ πάλιν (οὐ γὰρ ἅπαξ ῥη-
τέον) φράζωμεν. αὐτὸς πρὸ τῆς κατασκευῆς αὐτῶν ὁ πρωτόπλαστος
ὁμολογεῖ καὶ ὀστᾶ ἔχειν καὶ σάρκας, ὁπότε δὴ τὴν γυναῖκα προσεν-
εχθεῖσαν αὐτῷ θεασάμενος »τοῦτο νῦν ὀστοῦν« ἐφώνησεν »ἐκ τῶν
ὀστῶν μου καὶ σὰρξ ἐκ τῆς σαρκός μου· αὕτη κληθήσεται γυνή, ὅτι
ἐκ τοῦ ἀνδρὸς αὐτῆς ἐλήφθη. ἕνεκεν τούτου καταλείψει ἄνθρωπος
τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα, καὶ προσκολληθήσεται τῇ γυναικὶ
αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν«. οὐ γὰρ δὴ ἀνέξομαι φλην- 2
αφώντων τινῶν καὶ βιαζομένων ἀπηρυθριασμένως τὴν γραφήν, ἵνα
αὐτοῖς δὴ σαρκὸς μὴ εἶναι προχωρήσῃ ἡ ἀνάστασις, ὀστᾶ νοητὰ
καὶ σάρκας ὑποτιθεμένων, καὶ ἄλλοτε ἄλλως ἄνω καὶ κάτω
μεταβαλλομένων ἀλληγορίαις, καὶ ταῦτα οὕτως ὡς γέγραπται παρα-
λαμβάνεσθαι κρατύνοντος τοῦ Χριστοῦ τὴν γραφήν, ἔνθα πυνθανο-
μένοις τοῖς Φαρισαίοις περὶ χωρισμοῦ γυναικὸς ἀποκρίνεται· »οὐκ
ἀνέγνωτε ὅτι ἀπ᾽ ἀρχῆς ὁ κτίσας ἄρσεν καὶ θῆλυ ἐποίησε; καὶ εἶπεν,
ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα καὶ τὴν μητέρα«

7 Gen. 2, 23 — **14** De res. I, 62, 8. Porphyrius(?) bei Makar. Magnes III, 33, 16 — **17** Mt. 19, 4

3ff Prokop. PGr 87, 1, 164f. Doctrina patrum S. 180 Diekamp — **5** Epiph. Ad Ioann. Hier. ep. 51, 5, 3 S. 403 Hilberg — **14** Eustath. De engastr. 22 S. 51, 5 Kl

1 *γενηθὲν* U | **3** *Προηπόρηται — ἐκπεσεῖν* S. 283, 8 Doctr. patr. S. 180 (An) | *Προηπόρηται δὲ* < S, unten 62, 9 *προσαποροῦσι* | *καὶ* < S | *τοὺς δερμ. — σώματος* S. 283, 4 Prok **5** *φράζωμεν. αὐτὸς* < V | *αὐτῶν* V 359 | *ὁ πρωτόπλαστος* < V **6** *σάρκας ἔχειν καὶ ὀστᾶ* S | *ἔχων* V | *δὴ* < S **6f** *αὐτῶ προσαχθεῖσαν* U **7** *αὐτῷ* < S **8** *καὶ σὰρξ — μου* < S **9** *αὐτῆς* < S **10** *πρὸς τὴν γυναῖκα* An **11f** *φληναφούντων* U **12** *ἀπερυθριασμένως* U **13** *δὴ σαρκ. μὴ*] *δίχα σαρκ.*? An | *δὴ* übersetzt nicht S | *μὴ εἶναι προχωρ.*] »nicht sei« S | *προχώρησις* U | *ἡ* < An **14** *σάρκας*] *νοητὰς* + U: < V S An | *καὶ ἄλλω τε* V: S 79^{v} | *ἄνω καὶ κάτω* < S, vgl. dazu z. B. Porphyr. bei Makar. Magn. III, 33 **15** *ὑποβαλλομένων* V: aber mit Recht vergl. Jh Pl Gorg. 481 E | schwerl. las S *καὶ ἀλληγ.* (i inagl. wohl aus inagl.): nach *ἀλληγ.* interpung. Dd | *οὕτως* (od. etwa *ὡσαύτως*) auch vor *παραλαμβ.* S **16** *κρατύν.*: »heißend« »gebietend« S | *τὴν γραφὴν* < S | *ἔνθα* (nicht *ὅς*) las wohl auch S (iže aus iždе) **17f** *οὐκ ἀνέγνωτε* < U **18** *ὁ κτίσ. αὐτοὺς . . ἐποίησε αὐτούς* S | *καὶ εἶπεν — μητέρα* Z. 19 < S | *καὶ εἶπεν* < V: *αὐτοὺς* An **19** *πατέρα*] *αὐτοῦ* + An

καὶ τὰ ἑξῆς. πῶς γὰρ ἐπὶ ψυχῶν μόνον τό »αὐξάνεσθε ⟨καὶ πλη- 3
θύνεσθε⟩ καὶ πληρώσατε τὴν γῆν« παραληπτέον, ἢ τό »ἔλαβε χοῦν
ἀπὸ τῆς γῆς ὁ θεὸς καὶ ἔπλασε τὸν ἄνθρωπον«, ὃ κυρίως ἐπὶ τοῦ
σώματος λελέχθαι φαίνεται; οὐ γὰρ ἀπὸ τοῦ χοὸς καὶ τῶν βαρυτέρων
τὴν οὐσίαν ἐκτήσατο ἡ ψυχή. ὥστε συνέστηκεν ἐκ παντὸς ἀληθέ- 4
στατα πρὸ τῶν δερματίνων σεσωματοποιῆσθαι χιτώνων τὸν ἄνθρω-
πον. ταῦτα γὰρ πρὸ τοῦ ἐκπεσεῖν αὐτὸν ἅπαντα εἴρηται, τὰ δὲ κατὰ
τοὺς χιτῶνας μετὰ τὸ ἐκπεσεῖν.

Ὅθεν ἴωμεν πάλιν ἐπισκεψόμενοι τὰ ἐν χερσίν, ἱκανῶς ἀποδεί- 5
ξαντες μὴ εἶναι τοὺς δερμαντίνους χιτῶνας τὰ σώματα, ἀλλὰ τὴν
ἀπὸ τοῦ ἀλόγου τῶν ζῴων νεκρότητα κατεσκευασμένην· τοῦτο γὰρ
λείπεται. ἀμέλει τῶν ὅρων ἔξω τοῦ παραδείσου κατὰ ταύτην ἐξοι-
κίζεται τὴν αἰτίαν· οὐ γάρ, ὅτι μὴ θέλων ὁ θεὸς ἀπὸ τοῦ ξύλου
δρέψασθαι τῆς ζωῆς αὐτὸν καὶ φαγεῖν ἐξέβαλεν (ἐδύνατο γὰρ εἰς τὸν
αἰῶνα ζῆν, αὖθις φαγὼν ἀπὸ τῆς ζωῆς), ἀλλ' ἵνα μὴ ἀθάνατον, ὡς
ὑπεθέμεθα, γενηθῇ τὸ κακόν. ἐπεὶ διὰ τί τὸν Χριστὸν ἀπὸ τῶν 6
οὐρανῶν ἀπέστελλεν εἰς τὴν γῆν, εἰ ὅλως ἤθελε ζωῆς τὸν ἄνθρωπον 547

1 Gen. 2, 7 — **2** Justin De ressurr. 7 (S. Parall. S. 44, 241 ff Holl) — **11** De res. I, 38, 5. 39, 7. 40, 6 — vgl. Symp. S. 12, 13f. 42, 3f. De res. I, 25, 1

1 vgl. Prokop. PGr 87, 1, 164f — **11** Greg. Naz. Or. 38, 12. Greg. Nyss. III, 253 B (156 Oehler. PGr 46, 148 C) — **13f. 16ff** vgl. Prokop. 87, 1, 165, 8f

1 τὰ ἑξῆς] προσκολληθήσεται τῇ γυναικὶ (πρὸς τὴν γυναῖκα An^b) αὐτοῦ καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν An | ψυχῶν μόνον] ψυχῆς S (doch viell. duši aus dušj) An **1f** καὶ πληθύνεσθε + S **3** ὃ U 121^v: < V **4** φαίνεται] φησιν oder φάσκεται las schwerl. S; »er sprach« reče od. »gesagt wurde« rečesja wohl aus »erscheint« mnitsja **5** ἐκ παντὸς wohl auch S (ot sego aus ot vsego) **6** σεσωματοποιεῖσθαι U **7** αὐτὸν < schwerl. S (»von allem« vsego S wohl aus »Alles .. seinem [Fall]« vse ego) | τὰ πάντα An **8** χιτῶνας] ἐκείνους viell. + S | μετὰ τὸ ἐκπεσεῖν: »hernach« S | ἐκπεσεῖν] es endet An **9** ἐπισκεψάμενοι V | χερσὶν] νῦν ὄντα + S **10** μὴ εἶναι — νεκρ. auch als Überschrift S **11** ἀπὸ τοῦ ἀλόγου V: (τῶν) ἀλόγων S: ἀπὸ τοῦ λόγου U Pet Dd: ἐπὶ τοῦ λογικοῦ Jh | νε|κρ. V 359^v | κατεσκευασμένην < S **12** λείπεται S 80 | ἀμέλει] »und nun« S | παραδείσου] γενόμενος καὶ + S **12f** ἐξοικισθεὶς S **13** οὐ γὰρ] Prok S. 165, 8 | ὅτι < S **14** δρέψασθαι .. καὶ < S | τῆς ζωῆς < S | ἠδύνατο U **15** τ. ζωῆς] τοῦ ξύλου S, aber vgl. S. 284, 15 **16** ἐπεὶ διὰ τί: διὰ τί γὰρ übersetzt S | ἐπεὶ — ἐνοχλήσῃ S. 287, 9 auszugsweise bei Prok **17** ἀπέστειλεν U | εἰς τὴν γῆν < S | ἠθέλησεν U

ἄγευστον ἀποθανεῖν εἰς τὸ παντελές; εἰ δὲ ἐκ μεταμέλου φαίη τοῦτο
πεποιηκέναι τὸν θεὸν ὁ ἀντιλέγων, ἀσθενὴς αὐτῷ ὁ λόγος, μετα-
γινώσκοντα τὸν θεὸν εἰσάγων. ἀλλ' οὔτε ἀσύνετος τοῦ μέλλοντος
ὁ θεὸς οὔτε κακοποιός, ἀλλὰ καὶ ἄκρως ἀγαθὸς καὶ προγινώσκων τὰ
μέλλοντα. ὥστε οὐκ ἄρα διὰ τὸ μὴ σῴζεσθαι εἰς τὸν αἰῶνα φαγόντα 7
αὐτὸν ἀπὸ τοῦ ξύλου τῆς ζωῆς ἐξέβαλεν, ἀλλὰ διὰ τὸ νεκρωθῆναι
πρῶτον θανάτῳ τὴν ἁμαρτίαν, ἵν' οὕτως μετὰ τὸ ἀποθανεῖν ἐκτα-
κείσης τῆς ἁμαρτίας ἐγερθεὶς ὁ ἄνθρωπος καθαρὸς φάγῃ τῆς ζωῆς.
XL. Μηδεὶς δὲ ἀβέλτερος ὢν παρακινδυνευέτω ὡς τούτων ἑτέρως
λεχθέντων. ὁ γὰρ ὅλως ὁριζόμενος τὴν σάρκα μὴ εἶναι ταύτην
ἀθανασίας δεκτικήν, ὄντως ἀνοίας ὑπεύθυνος ὢν νόσῳ βλασφημεῖ.
διὰ τί γὰρ μετὰ τὴν τῶν χιτώνων τῶν δερματίνων ὁ Ἀδὰμ κατα- 2
σκευὴν ἐκβάλλεται, κωλυόμενος φαγεῖν ἀπὸ τοῦ ξύλου τῆς ζωῆς καὶ
ζῆσαι, εἰ ὅλως ἀδύνατον ἦν μετὰ σώματος εἰς τὸν αἰῶνα ζῆσαι τὸν
ἄνθρωπον; ὡς δυναμένου γὰρ αὐτοῦ μὴ ἀποθανεῖν, ἐὰν ἀπὸ τῆς ζωῆς
γεύσηται λαβών, ἡ κώλυσις γίγνεται. φησὶ γάρ: »καὶ ἐποίησε κύριος 3
ὁ θεὸς τῷ Ἀδὰμ καὶ τῇ γυναικὶ αὐτοῦ χιτῶνας δερματίνους καὶ ἐνέ-
δυσεν αὐτούς. καὶ εἶπεν ὁ θεός· ἰδού, γέγονεν Ἀδὰμ ὡς εἷς ἐξ ἡμῶν,
τοῦ γινώσκειν καλὸν καὶ πονηρόν· καὶ νῦν μή ποτε ἐκτείνῃ τὴν χεῖρα
καὶ λάβῃ τοῦ ξύλου τῆς ζωῆς καὶ φάγῃ καὶ ζήσεται εἰς τὸν αἰῶνα.
καὶ ἐξαπέστειλεν αὐτὸν κύριος ὁ θεὸς ἐκ τοῦ παραδείσου τῆς τρυφῆς
ἐργάζεσθαι τὴν γῆν, ἐξ ἧς ἐλήφθη, καὶ ἐξέβαλε τὸν Ἀδάμ«. οὐκοῦν 4

6 vgl. De res. I, 38, 5. 39, 5 S. 281, 14ff. 283, 15f — 16 Gen. 3, 21—24

6ff vgl. Prokop. S. 165, 12f. Greg. Naz. Orat. 38, 12. Greg. Nyss. III, 253 B

1 ἀγευστήσαντα V Dd, ein Verbum ἀγευστεῖν ist jedoch nicht bezeugt; vgl. aber unten S. 301, 8 ἄγευστοι λύπης, Plat. Pol. IX 576 A ἐλευθερίας ἄγευστος vgl. Jh: »nicht schmecke und« S | τοῦτο φαίη U 2 vor ἀσθενὴς + »Daß es Gott nicht gereut« mit roter Schrift S | αὐτῶν U 3 εἰσάγων: »sagend« S | ἀξύνετος U 4 ὁ < U 5 ὥστε < V | διὰ τὸ — ἐξέβαλεν Z. 6] »nicht deshalb ihn aus dem Paradiese (getrieben), daß (etwa διὰ τοῦτο αὐτὸν ἐκ τοῦ παραδείσου διὰ τὸ) er ⟨nicht⟩ essend von dem Baum lebe in Ewigkeit« S | σῴζεσθαι] ζῆσαι? S | ζωζ. corr. in σώζ. U 6 τ. ζωῆς < S 7 ἵν'] καὶ S 8 τῆς ἁμαρτ. U 122 | ὁ < U | καθαρὸς < V Prok 165, 12 9 δὲ: οὖν schwerlich + S 10 ὅλως < S | τὴν < V 11 ἀθανασίας S 80ᵛ | ὄντως < S | ὑπεύθ.] ὑπαίτιος U S | νοσῶν V: »ist und« S 13 ἐκβάλλεται] ἐκ παραδείσου + S 16 λαβών < S | γίνεται U | κύριος < S 18 κύριος ὁ θεός S | ἐξ V 360 | ὑμῶν V 20 λάβῃ .. καὶ < S 21 τῆς τρυφῆς < S 22 ἐλήφθη] ἐκτίσθη? S (»geschaffen war«)

ἐδύνατο ζῆν εἰς τὸν αἰῶνα τὸ σῶμα καὶ ἀθάνατον ἔσεσθαι, εἰ μὴ
κεκώλυτο γεύσασθαι τῆς ζωῆς. ἐκωλύθη δέ, ὅπως ἡ μὲν ἁμαρτία
συναποκτανθεῖσα τῷ σώματι θάνῃ, τὸ δὲ σῶμα ἀνασταθῇ τῆς ἁμαρ-
τίας ἀπολομένης. ἵνα τοίνυν μὴ ᾖ κακὸν ἀθάνατον ὁ ἄνθρωπος, ὡς 5
ἔφην, ἢ ἀείζῳον, ἔχων ἐν ἑαυτῷ τὴν ἁμαρτίαν κρατιστεύουσαν, ἅτε
ἐν ἀθανάτῳ βλαστήσασαν σώματι καὶ ἀθάνατον ἔχουσαν τὴν τροφήν,
ὁ θεὸς αὐτὸν διὰ τοῦτο θνητὸν ἀπεφήνατο νεκρότητι περιβαλών.
τοῦτο γὰρ οἱ δερμάτινοι χιτῶνες ἐβούλοντο, ἵνα δὴ διὰ τῆς λύσεως 6
τοῦ σώματος καὶ τῆς διαιρέσεως ἡ ἁμαρτία κάτωθεν αὐτόπρεμνος
πᾶσα διαφθαρῇ, ὡς μηδὲ κἂν βραχύτατον ῥίζης ἐαθῆναι μέρος, ἀφ᾽
οὗ νέαι βλάσται πάλιν ἁμαρτημάτων ἀναβήσονται. |

XLI. Καθάπερ γὰρ ὁπότ᾽ ἂν ἐν οἰκοδομήμασι ναῶν καλοῖς 548
συκῆ ⟨ἡ⟩ γεννηθεῖσα καὶ εἰς ἔκτασιν καὶ μέγεθος εὐτροφήσασα, καὶ περὶ
πάσας τὰς ἁρμονίας πολυκληματοις ῥίζαις τῶν λίθων κεχυμένη, οὐ
πρότερον τοῦ φύειν στέλλεται, ἔστ᾽ ἂν πᾶσα ἀποσπασθῇ, λυθέντων

2 vgl. De res. I, 38, 5. 39, 5. 7 — **8** vgl. Tert. De resurr. 7 — **12** vgl. De res. II, 9, 12

4—S. 286, 14 S. Parall. 419 S. 166f Holl — **8** vgl. Greg. Naz. Orat. 38, 12. Greg. Nyss. III, 253 B — **12** vgl. Prokop. 87, 1, 165 B

1 *ἠδύνατο* U **3** *θάνῃ*] *λυθῇ* V | *ἀναστῇ* U **4** *ἀπολλωμένης* V wie oft | *ἵνα — ἀνεστέλλετο* S. 284, 14 C in C Bl. 79, 9. R 88ᵛ. C Lemma *ἐκ τοῦ αὐτοῦ*, R ohne Lemma nach De res. I, 32, 8 | *καὶ ἵνα* S | *μὴ τοίνυν* V, *μὴ τοίνυν μὴ* C, an Stelle d. 1. *μὴ* Rasur in Cʳ | *ᾖ* < VC | *τὸ κακὸν* V Dd | *ὁ* < C | *ἄνθρ. εἴη* C **4f** *ὡς ἔφην* < S **5** *ἢ* < V S C | *ἀεὶ ζῶν* V: *ἀεὶ* S | *ἑαυτῷ* S 81 | *καὶ κρατιστ.* S: *κρατητεύουσαν* V **6** *τὴν* + V **7** *ὁ θεὸς* U 122ᵛ | *ἀπεφήνατο*: »hat gemacht« S | *νεκρώτητι* VU **8** *οἱ* < Cʳ | *βούλονται* S | *δὴ* < CS | *ἀναλύσεως* Cʳ **9** *τοῦ σώματος* hinter *διαιρέσεως* Cʳ | *διαιρ.*] *διέσεως* V, *δήσεως* S | *κάτωθεν* ispod: ispad S **10** *ἅπασα* Cʳ **10f** *ἀφ᾽ οὗ — ἀναβήσονται* Z. 11] »daß sie wieder die Sünde hervorkommen lasse« S **11** *ἀναβήσ.*] *ἀναβλύσονται* U; *ἀναζήσονται* C Prok **12** vor *Καθάπερ* »Gleichnis« rot + S | *ὁπ᾽ ὅτἂν* VCᶜ: < U S Cʳ | *καλῶς* V, *καλῶν* U S **13** *συκῆ γενν.* wie eine Überschrift rot S | *ἡ* + Holl | *εἰς* < Cʳ S | *ἔκτ. κ. μέγ.*] »Größe u. Schönheit« S | *εὐτροφήσασαν* Cᶜ, *εὐτραφήσασα* Cʳ Jh: »habend« S | *καὶ περὶ — κεχυμένη* Z. 14 < S | *περὶ*] *ἐπὶ* U **14** *ἁρμογάς*, corr. v. 2. Hd. in *ἁρμωγὰς* C | *πολυκληματαῖς* V | *κεχωσμένη* C | *οὐ — στέλλεται* Z. 15: »nicht zerstört wird« S **15** *ἔστ᾽ ἂν*] *ἕως* U | *πᾶσα*] *πρῶτον* C: *ῥίζα* S | *ἀποσπασθείη* Cʳ: »geschwächt wird« S | *λυθέντων — λίθων* S. 286, 1] »auf welchen sie gegründet ist« S

τῶν καθ' οὓς ἐβλάστησε τόπους τῶν λίθων (δυνατὸν γὰρ πάλιν εἰς τοὺς ἑαυτῶν ἐναρμοσθῆναι τόπους τοὺς λίθους, τῆς συκῆς ἀφῃρημένης, ὅπως ὁ μὲν ναὸς σῴζηται, μηδὲν τῶν ἀφανιζόντων αὐτὸν κακῶν ἐν ἑαυτῷ μηκέτι φέρων, ἡ δὲ συκῆ πᾶσα προθέλυμνος ἀποσπασθεῖσα ἀποθάνῃ), κατὰ ταὐτὰ καὶ ὁ θεὸς ὁ τεχνίτης τὸν ἑαυτοῦ νεὼν τὸν ἄνθρωπον, δίκην ἀγρίας συκῆς τὴν ἁμαρτίαν βλαστήσαντα, διέλυσε θανάτου προσκαίροις προσβολαῖς »ἀποκτέννων«, κατὰ τὸ γεγραμμένον, »καὶ ζῳοποιῶν«, ἵνα πάλιν τῶν αὐτῶν ἡ σὰρξ μερῶν, μετὰ τὸ ξηρανθῆναι καὶ ἀποθανεῖν τὸ ἁμάρτημα, δίκην ἀνακαινοποιηθέντος ναοῦ ἀθάνατος καὶ ἀπήμων ἐγερθῇ, τελέως ἐκ βάθρων ἀπολομένης τῆς ἁμαρτίας. ζῶντος γὰρ ἔτι τοῦ σώματος πρὸ τοῦ 2
τεθνήξεσθαι συζῆν ἀνάγκη καὶ τὴν ἁμαρτίαν, ἔνδον τὰς ῥίζας αὐτῆς ἐν ἡμῖν ἀποκρύπτουσαν, εἰ καὶ ἔξωθεν τομαῖς ταῖς ἀπὸ τῶν σωφρονισμῶν καὶ τῶν νουθετήσεων ἀνεστέλλετο, ἐπεὶ οὐκ ἂν ἔτι μετὰ τὸ φωτισθῆναι συνέβαινεν ἀδικεῖν, ἅτε παντάπασιν εἰλικρινῶς ἀφῃρημένης

5 vgl. zu De res. S. 275, 4 — **7** Deut. 32, 39. Justin De res. (S. Parall. 107, 273 ff S. 45 Holl)

6—S. 287, 9 vgl. Prokop. PGr 87, 1, 165 B C

1 *τῶν* < C | *γὰρ* < S **2** *ἑαυτῶν*] *αὐτοὺς* C S | *τῆς συκῆς*] »die Wildfeige und der Feigenbaum« S, davor rot »Gleichnis« **2f** *ἀφηρ.*] »in ihrer Wurzel« + S **3** *σώζεται* U | *μηδὲν — φέρων* Z. 4] »keinerlei Schaden an den Ausgerotteten nehmend« S **4** *ἐν αὐτῷ* V, *ἑαυτῷ* U | *προθέλυμνος* < S **5** vor *κατὰ τ.* »kunstvoller Menschen« rot + S | *καὶ ὁ θεὸς* < S | *ὁ* Cc 79ᵛ | *τεχνήτης* C, v. 1. Hd. corr. | ἑ|*αυτοῦ* V 360ᵛ **6** *νεῷ* V, *νεὼ* U, *ναὸν* C | *βλαστήσασαν* V (viell. auch S) **7** *διέλυσε — ἀποκτέννων*] »tötet auswurzelnd« S | *διελ.*] *διεκώλυεν* C | *ἀποκταίνων* U, *ἀποκτείνων* wohl Cʳ (*κτει* auf Rasur, die d. Perg. durchlöch. hat) Pet Jh **8** *καὶ ζωοπ.* S 81ᵛ | *πάλιν* U S: *ἀπὸ* V C Dd Jh **9** *τοῦ ἁμαρτήματος* las schwerl. S **9f** *ἀνακαινοπ.*] *ποιηθέντος* w. e. sch. S, doch viell. potvorenu »gemachten« aus novotvorenu »neugemachten« **10** *ἀπήνων* U: *ἀπήμων* Cʳ 89 | *τελείως* C **11** *ἀπολλωμένης* V, *ἀπωλομένης* Cc, *ἀπολλυμμένης* Cʳ, *ἀνῃρημένης* C Prok 165, 30 | *ἔτι*] *ὅτι* V **12** *δεῖ καὶ* Cc, *δὴ καὶ* Cʳ | *ἔνδον* U 123: *ἔτι* S | *ἑαυτῆς* C, nach *ἐν ἡμῖν* Z. 13 Cc **13** *ἀποκρυπτομένην* C | *κἂν* V C] *εἰ καὶ* U | *ταῖς ἔξωθεν* Cʳ | *ἀπὸ — νουθετήσεων* Z. 14] »der Besonnenheit« S **13f** *σώφρον.*] *συμφορῶν* Cʳ **14** *ἀναστέλλοιτο* Cʳ: es endet C: Cc am Rand *βοηθήματος* und fährt fort wie 42, 3 *ἀλεξιφαρμάκου κτλ.* | Prok 165, 31 | *ἐπεὶ οὖν* U | *ἔτι* < U Ausgg. **15** *πανταπ. εἰλικρ.*] »durchaus« S

ἀφ᾽ ἡμῶν τῆς ἁμαρτίας. νῦν δὲ καὶ μετὰ τὸ πιστεῦσαι καὶ ἐπὶ τὸ 3
ὕδωρ ἐλθεῖν τοῦ ἁγνισμοῦ πολλάκις ἐν ἁμαρτίαις ὄντες εὑρισκόμεθα.
οὐδεὶς γὰρ οὕτως ἁμαρτίας ἐκτὸς εἶναι ἑαυτὸν καυχήσεται, ὡς μηδὲ
κἂν ἐνθυμηθῆναι τὸ σύνολον ὅλως τὴν ἀδικίαν. ὥστε συνέστηκε 4
συστέλλεσθαι μὲν καὶ κατευνάζεσθαι τῇ πίστει νῦν τὴν ἁμαρτίαν εἰς τὸ μὴ οἴσαι καρποὺς βλαβοποιούς, οὐ μὴν ἀνῃρῆσθαι καὶ τῶν ῥιζῶν ἄχρις. νῦν μὲν γὰρ ἐνταῦθα τὰς βλάστας αὐτῆς, οἷον τὰς ἐνθυμήσεις τὰς πονηράς, συστέλλομεν, »μή τις ῥίζα πικρίας ἄνω φύουσα ἐνοχλήσῃ«, μὴ ἐῶντες ἀναμύειν καὶ διοίγνυσθαι τὰ μεμυκότα στόμια πρὸς τὰς ἐκφύσεις, τοῦ λόγου δίκην ἀξίνης τὰς ῥίζας αὐτῆς τὰς κάτω φυομένας τέμνοντος· τότε δὲ καὶ τὸ ὅλως ἐνθυμηθήσεσθαι περὶ κακίας ἀφανισθήσεται.

XLII. Οὐδὲ γὰρ ἀμάρτυρος ὁ λόγος γραφῶν τοῖς βουλομένοις
εἰλικρινᾶς τὸ ἀληθὲς λέγειν, ἐπεὶ | οἶδεν ὁ ἀπόστολος μηδέπω τὴν 549
ῥίζαν ἐξ ἀνθρώπων τῆς ἁμαρτίας ὁλοσχερῶς ἀνῃρημένην, ὅτε μέν »οἶδα γὰρ ὅτι οὐκ οἰκεῖ ἐν ἐμοί, τουτέστιν ἐν τῇ σαρκί μου« φράζων »τὸ ἀγαθόν· τὸ γὰρ θέλειν παράκειταί μοι, τὸ δὲ κατεργάζεσθαι τὸ

8 Hebr. 12, 15; vgl. De lepra 6, 2 — 9 Plato Phaedr. 251 B — 10 vgl. De lepra 2, 9 — 13 vgl. Symp. I, 3 S. 11, 1. De res. I, 56, 3 — 16 Röm. 7, 18—20

3—7 S. Parall. 420 S. 167 Holl — 3—S. **289, 2** vgl. Phot. Bibl. 234 S. 294 a, 8—17

1 ἐπὶ τὸ — ἁγνισμοῦ Z. 2] »der Taufe« S **3** οὐδεὶς — τὸ κακὸν 289, 2 Ph kürzer, auch II, 3—6 berücksichtigend: es beginnt wieder C in C 46^v u. R 67^v, beide m. d. Lemma τοῦ ἁγίου Μεθοδίου ἐκ τοῦ περὶ ἀναστάσεως | γὰρ οὕτως < C | ἑαυτὸν < C | καυχήσηται VU | ὡς μηδὲ — ἀδικίαν Z. 4] »um auch vom Begehren sich frei zu glauben« S **4** συνέστηκε — κατευνάζεσθαι Z. 5] »wird unterdrückt und beruhigt« S | συνέστ.] συμβέβηκεν C **5** συντέλλεσθαι C° | κατευνάζειν C^r **6** οἴσαι] φύσαι C^r, aber vgl. 44, 4 οἴσαι βλαστὸν | ἀναιρεῖσθαι U: ἀναιρεθῆναι C°: ἀνασπασθῆναι C^r **7** ἄχρι C°: < C^r: es endet C | γὰρ < U | ἐνταῦθα < S | οἷον — πονηράς Z. 8 < S **8** μή τις] »wenn irgendwo« S | Prok. S. 165, 37 f | πικρίας] gorestjna: gorestno »Bitteres« S **9** ἀναμύειν — ἐκφύσεις Z. 10] »sich auszubreiten« S **10** τοῦ λόγου S 82 | τὰς ῥίζας — φυομένας Z. 11] τὰ φυόμενα S | αὐτῆς] ταύτας V **11** τέμνοντες V **11 f** περὶ κακίας < S **13** γραφῶν < S **14** εἰλικρ. τὸ ἀλ. λέγειν] »hören« S | ἐπεὶ V 361 | οἶδε καὶ U | μηδὲ πρώτην V **15** ἐξ < S, od. st. »die sündige W. der Menschen« grěchovnyi člk k. ist zu lesen »die sündige W. aus den Menschen« grěchovny iz člk k. | ὅτε VU **16** ἐμοί] + ἀγαθὸν V **17** τὸ γὰρ U 123^v | θέλειν] θέλειν τοῦ κατεργάζεσθαι (»des Tuns«) S | πρόκειται S **17 f** τὸ καλὸν < S

καλὸν οὔ. οὐ γὰρ ὃ θέλω ποιῶ ἀγαθόν, ἀλλ᾽ ὃ οὐ θέλω κακὸν
τοῦτο πράσσω. εἰ δὲ ὃ οὐ θέλω τοῦτο ποιῶ, οὐκέτι κατεργάζομαι
αὐτό, ἀλλ᾽ ἡ οἰκοῦσα ἐν ἐμοὶ ἁμαρτία«, ὁτὲ δέ »συνήδομαι τῷ νόμῳ
τοῦ θεοῦ κατὰ τὸν ἔσω ἄνθρωπον· βλέπω δὲ ἕτερον νόμον ἐν τοῖς
μέλεσί μου, ἀντιστρατευόμενον τῷ νόμῳ τοῦ νοός μου, καὶ ἐκ παντὸς
αἰχμαλωτίζοντά με τῷ νόμῳ τῆς ἁμαρτίας τῷ ὄντι ἐν τοῖς μέλεσί
μου«. οὕτως οὐδέπω τὴν ἁμαρτίαν αὐτόπρεμνον ἐκ ῥιζῶν διακοπῆ- 2
ναι συνέβη, ἀλλὰ ζῆν (οὐ γὰρ εἰς τέλος ἀπέθανεν· πῶς γὰρ πρὸ τοῦ
περιβεβλῆσθαι θανάτῳ τὸν ἄνθρωπον;), ἵνα αὐτῷ συμμαρανθεῖσα καὶ
συμφθινήσασα αὐτὴ μὲν εἰς ἄρδην ἀπόληται καὶ διαφθαρῇ καθάπερ φυ-
τόν, λυθέντος ἐν ᾧ κρύπτουσα τὰς ῥίζας, ὡς ἔφην, ἑαυτῆς διεσῴζετο,
ὁ δὲ ἄνθρωπος αὖθις μηκέτι »ῥίζαν« ἐνθωπεύουσαν »πικρίας« ἔχων
ἐξεγερθῇ ὥσπερ ναός. ἀλεξιφαρμάκου γὰρ τρόπον ὑπὸ τοῦ ἀλεξη- 3
τῆρος ἡμῶν ἀληθῶς καὶ ἰατροῦ θεοῦ πρὸς ἐκρίζωσιν τῆς ἁμαρτίας

3 Röm. 7, 22. 23 — **12** Hebr. 12, 15 — **13** vgl. Justin De res. 10 (S. Parall. S. 49, 35 Holl)

13—S. 293, 3 S. Parall. 421 S. 167ff Holl

1 *οὐ θέλω*] *μισῶ* V: »nicht liebe« S (auch hernach) **2** *τοῦτο*[1]: *τοῦ* U | *ἐγὼ κατ.* S **3** *οἰκοῦσα*: »lebende« »weilende« S | *ὁτὲ δὲ*] *ὅτε δὲ* V U **5** *ἀντιστρευόμενον* V | *ἐκ παντὸς* < V S **6** *τῷ ὄντι*] *τῆς οὔσης* las schwerl. S (»welche . . ist« suštago wohl aus »welches . . ist« suštim) **7** *οὐδέπω*] *οὐ* las schwerl. S | *αὐτόπρ.* *προθέλυμνον* am Rd. in V **7f** *διακοπῆναι*] *ἀνασπασθῆναι* V Dd **8** *οὐ γὰρ — ἀπέθανεν* < V S; vor *ἀ. ζῆν* U, nach *ἀ. ζ.* Kl | *ζῇ* U **9** *περιβ.*] *περιεσκλῆσθαι*? S »dem Hinwelken« | *τὸν ἄνθρωπον* < S | *αὐτῷ* < S | *συνμαρανθεῖσα* V **9f** *κ. συνφθινήσασα* V, *κ. συμφθείνασα* U: < S **10** *αὐτὴ μὲν*] *αὐτῇ μὴ* V: *ἁμαρτία* S | *καθάπερ* S 82[v] **10f** *φυτόν*] *συκῇ* S **11** *λυθείσης . . τῆς ῥίζης* (»wenn ihre Wurzel . . zerstört wird«) viell. S | *κρύπτ. . . διεσῴζετο*] »sich verbirgt« S | *ὡς ἔφην* < U S | *αὐτῆς* U S | *δὲ ἐσώζετο* V **12** vor *ὁ δὲ ἄνθρ.* + »Daß zur Ausrottung der Sünde der Tod überkommen wurde« rot S | *αὖθις* < S | *ἐνθωπονοῦσαν* V, *ἐνθωπεύουσαν* U: vgl. II, 6, 5. Symp. 3, 10 S. 38, 18: *ἐμφωλεύουσαν* Ph Jh: *ἐν αὐτῷ* S: »producentem« = *ἐμποιοῦσαν* übers. Cornarius: *ἐνθωκεύειν* hätte Methodius nach Dd an allen drei Stellen geschrieben, da Hesychius *ἐνθωκεῦσαι* durch *ἐμφωλεῦσαι* erklärt **13** *ἐξεγέρθη* V | *ὥσπερ* verbinden mit dem Folgenden U S | *ναὸς* < S: *οὖν* U | *ἀλεξιφαρμάκου*] wieder C in C Bl. 79[v] u. R 89 (vgl. zu S. 286, 14) | *γὰρ* < V U: *γάρ τι* S | *τρόπον* < S (da neben *ὥσπερ* überflüssig) | *ὑπὸ — θεοῦ* Z. 14 < S **13f** *ἀλεξιτῆρος* V U C **14** *καὶ ἀληθῶς ἰ.* U | *καὶ ἰατροῦ* < C[r] | *θεοῦ*] *καὶ πατρὸς* + C[r] | *ἐκρίζ.*] *ἀφανισμὸν* S

παρελήφθη ὁ θάνατος καὶ ἀφανισμόν, ἵνα μὴ διαιωνίζον ἐν ἡμῖν εἴη τὸ κακὸν ἀθάνατον ἅτε ἐν ἀθανάτοις ἀνατεῖλαν, αὐτοὶ δὲ λελωβημένοι καὶ ἐκστάντες, νοσούντων τρόπον, τῆς οἰκείας ἀρετῆς ἐπὶ πολὺ διατρίβωμεν, ἅτε ἐν ὑφεστηκόσιν ἀεὶ καὶ ἀθανάτοις σώμασι τὴν κατὰ τὸ ἁμάρτημα μεγάλην τρέφοντες νόσον. διὸ δὴ καλῶς ταύτην πρὸς ἄμφω σωτηρίαν καὶ ψυχῆς καὶ σώματος, φαρμακευτικῆς τρόπον καθάρσεως, τὸν θάνατον ὁ θεὸς ηὕρατο, ἵνα πανάμωμοι καὶ ἀσινεῖς οὕτως ἐξεργασθῶμεν.

XLIII. Φέρε γάρ, ἐπειδὴ πολλῶν δεῖ τῶν περὶ τὰ τοιαῦτα παραδειγμάτων, ἐντεῦθεν αὐτὰ μάλιστα σκεπτώμεθα, μὴ ἀφιστάμενοι, πρὶν ἂν πρῶτον εἰς εὐδηλοτέραν ἑρμηνείαν ἀποτελευτήσῃ καὶ ἀπόδειξιν ὁ λόγος. φαίνεται τοίνυν, ὥσπερ εἴ τις δημιουργὸς ἄκρος 2
ἄγαλμα καλόν, ἀπὸ χρυσοῦ κατεσκευασμένον ἢ ὕλης ἑτέρας αὐτῷ καὶ πάντα τὰ μέλη συμμέτρως εἰς κάλλος διακεκοσμημένον, πάλιν χωνεύοι, λελωβημένον ἄφνω θεασάμενος ὑπό τινος ἀνθρώπου πονηροτάτου, ὃς οὐκ ἐνεγκὼν ὑπὸ βασκανίας | εὐπρεπὲς εἶναι τὸ ἄγαλμα, 550
ἐσίνατο, ματαίαν ἡδονὴν καρπιζόμενος τοῦ φθόνου (πρόσσχες γάρ,

1 vgl. zu Symp. 9, 2 S. 116, 13f. De res. I, 38, 5. 43, 3 S. 282, 1f. 291, 4. II, 6, 3 — **5** vgl. Plato Tim. 88 B. 89 B — **9** Plato Legg. XII, 961 E. 960 E — **12** vgl. Justin De res. (S. Parall. S. 42, 193ff Holl); vgl. auch zu S. 292, 2

1 *παρελείφθη* ursprüngl. C^r: »ward ersonnen« S | *καὶ ἀφανισμόν* < C S | *διαινίζων* V **2** *τὸ κακὸν*] es endet Ph | *ἀθάνατον — νόσον* Z. 5 < S | *δὲ* < V **3** *νοσσ.* V **3f** *διατρίβομεν* C^r **5** *διὸ* U 124 | *δὴ* < S | *ταύτην*] *καὶ τοῦτο πάλιν* w. e. sch. S **5f** *σωτηρίαν πρὸς ἄμφω* C **6** *σωτηρίαν* < S | *κ. σώμ. κ. ψυχ.* S | *φαρμακευτικὴν* V: »Heilkraut« S | *τρόπον* < S **6f** *κα|θ.* V 361^v **7** *εὕρατο* C^c **8** *οὕτως*] *ὄντως* V Dd **9ff** Pl auch *πολλῶν — παραδειγμάτων* u. *μὴ . . ἀφιστώμεθα . .*, *πρὶν ἂν* **9** *δεῖ*] *δὴ* C^r | *τὰ τοιαῦτα*] *ταῦτα* viell. S **10** *ἔνθεν* C: *ἐνταῦθα* w. es sch. S | *αὐτὰ*] *ταῦτα* C^r, »über dieses« S | *σκεπτώμεθα* U C^r: *σκεπτόμεθα* C^c: *σκοπώμεθα* V Dd: *σκεψώμεθα* Jh mit Plat. Theaet. 151 E **11** *πρῶτον* < C S | *εὐδηλωτ.* V | *ἀποτελευτήσει* V U C^c **11f** *καὶ ἀπόδειξιν* < S **12** *φαίνεται* usw.] der Nachsatz fehlt, sachlich folgt er S. 291, 1 | *εἴ*] *ὅτι* od. *ὡς* las schwerlich S (»wie daß« jakože jako i wohl aus »wie wenn« jakože ašte): < C^r **13** *καλόν*] *ἢ εἶδός τι* w. e. sch. (»Statue od. Bild«) S | *ἀπὸ*] *ὑπὸ* U | *ὕ. ἑτ.*] »anders« S | *αὐτῷ*] *οὕτω* V: *αὐτὸ* C^r **14** *διακεκ.* C^c 80 **15** *χωνεύων* C^r | *ἄφνω* < S **15f** *πονηρωτάτου* V U **16** *ὑπὸ βασκανίας* < S | *ἐμπρεπὲς* C | *τὸ*: *τοῦτο τὸ* S **17** *ἐσίνατο* < w. e. sch. S | *ματαίαν*] *μιανθεῖσαν* w. e. sch. S | *ἡδονὴν* slastj: vlastj S^b | *καρπούμενος* U Jh | *πρόσχες* V U C: S 83

ὦ σοφώτατε Ἀγλαοφῶν, ὅτι, εἰ βούλοιτο μὴ εἶναι σεσινωμένον ὅλως ὁ δημιουργὸς καὶ ψεκτὸν τὸ μετὰ τοσαύτης αὐτῷ σπουδῆς τε καὶ φροντίδος πεπονημένον, πάλιν προτραπήσεται συγχωνεύσας αὐτὸ τοιοῦτο ποιεῖν οἷον καὶ πρόσθεν ἦν. εἰ δὲ μὴ ἀναχωνεύοι μηδὲ ἀνασκευάζοι — ἐφή δὲ μένειν — θεραπεύων αὐτὸ καὶ ἐπανορθούμενος, ἀνάγκη δὴ πυρακτούμενον καὶ χαλκευόμενον τὸ ἄγαλμα μηκέτι δύνασθαι διατηρηθῆναι τὸ αὐτό, ἀλλὰ διηλλαγμένον ἔσεσθαι καὶ ὑπεσπασμένον)· διὰ τοῦτο, εἰ βούλοιτο ὅλον καλὸν αὐτὸ καὶ ἄμωμον εἶναι τὸ ἔργον, ἀναθλᾶσθαι αὐτὸ καὶ ἀναχωνεύεσθαι δεῖ, ὅπως τὰ μὲν αἴσχη καὶ τὰ ἀλλοιώματα πάντα τὰ ἐξ ἐπιβουλῆς αὐτῷ καὶ φθόνου ὑπάρξαντα αὐτὰ μὲν διὰ τῆς ἀνασκευῆς καὶ ἀναχωνεύσεως ἀπόληται, τὸ δὲ εἰς τὸ ἑαυτοῦ εἶδος ἀσινὲς καὶ ἀκίβδηλον αὖθις ἄγαλμα ὁμοιότατον ἑαυτῷ κατασταθῇ (τῷ μὲν γὰρ ἀγάλματι ἀπολέσθαι μὲν οὐκ ἔστιν ὑπὸ τῷ αὐτῷ τεχνίτῃ, κἂν πάλιν εἰς ὕλην χυθῇ, ἀποκατασταθῆναι δὲ ἔστιν· τοῖς δὲ αἴσχεσι καὶ λωβήμασιν ἀπολέσθαι μὲν ἔστιν — τήκονται γάρ — ἀποκατασταθῆναι δὲ οὐκ ἔστιν, διὰ τὸ ἐν πάσῃ τέχνῃ τὸν ἄριστον δημιουργὸν μὴ πρὸς τὸ αἴσχιον ἢ ἀπηχθημένον ὁρᾶν, ἀλλὰ πρὸς τὸ σύμμετρον καὶ εὐθὲς τοῦ

4 Theoph. Ad Autol. II, 26

1 ὦ σοφ. Ἀγλ. auch 53, 2 | σοφότ. U | εἰ — ψεκτὸν Z. 2 S: »nicht wollend sehen dies so verdorbene Bild« S | εἰ las wohl auch S **2** τὸ < V | αὐτῷ < C **2f** κ. φροντίδος < S **3** πεπονημένῳ U: πεποιημένον C | προτραπήσεται: »wird er es sich verdrießen lassen« S | αὐτὸ < S **4** τοιοῦτον UC: τοσοῦτο V: < S | ἀναχων. — ἐπανορθούμενος Z. 5] »um es kümmert« S **5** ἀνασκευάζοι auch U | ἐῶν V: ἐᾷ U Cr | οὕτως μένειν Cr | αὐτὸν V **6** δή: δὲ C | πυρακτ. — ἄγαλμα < S **7** ἀλλὰ — ὑπεσπασμένον Z. 7f] οἷον καὶ πρόσθεν ἦν ἄγαλμα καλόν w. e. sch. S | διηγαλμένον Cr **8** ὅλον καλὸν αὐτὸ Bo: καλὸν αὐτὸ VU: ὅλον αὐτὸ καλὸν C (ὅλον αὐτὸ hinter ἄμωμον Cr): τοῦτο αὐτοῦ w. e. sch. S (»dieses sein«) **9** ἀναθλ. U 124v | καὶ < S **10** αἴσχη] ἔσχη U | τὰ ἀλλοιώματα] »Unschönheiten« S **10f** ἐπιβ. α. κ. φθόνου] »Neid und feindseligen Anschlag« S **11** χωνεύσεως Cr **12** ἀπολεῖται Cc, ἀπόλλωνται Cr | ἑαυτοῦ] αὐτὸ C | ἀσιν. κ. ἀκιβδήλευτον C (hinter ἑαυτῷ Z. 13 Cr: < S) **13** τὸ ἄγαλμα C | ὁμοιότατον ἑαυτῷ < S | ὁμοιώτατον VU | αὐτῶ κατασκευασθῇ U | κατασταθῆναι Cc | γὰρ < Cr **13f** ἀπολ.] ἀποθέσθαι Cc **14** μὲν < U | ὑπὸ] κατὰ U | τεχνήτῃ, corr. v. 1. Hd., C: ὄντι (< Cr) διότι + C | εἰς ὕλην < S **15** χυθῇ CS: λυθῇ V 362 U Holl | ἀποκατ. δὲ ἔ.: »sondern vielmehr eine Erneuerung zu Besserem haben« S | τοῖς δὲ — δημιουργουμένου S. 291, 1 < S | ἔσχεσι U **18** ἀπηχθ. Dd, ἀπεχθημένον V: ἐπιτευχθησόμενον U Cc, ἐπιτεχθησόμενον Cr | πρὸς < Cr

δημιουργουμένου)· — ταὐτὸν ἄρα φαίνεται δή μοι καὶ ἐφ' ἡμῶν ὁ θεὸς 3
διῳκονομηκέναι. τὸν γὰρ ἄνθρωπον, τὸ εὐπρεπέστατον ἑαυτοῦ τέχ-
νημα, βασκάνοις ἐπιβουλαῖς φθόνου κεκακωμένον ἰδὼν οὐκ ἠνέσχετο
τοιοῦτον καταλεῖψαι, φιλάνθρωπος ὤν, ὅπως μὴ δι' αἰῶνος εἴη
μεμωμημένος, ἀθάνατον ἔχων ἐν ἑαυτῷ τὸν ψόγον, ἀλλὰ διέλυσεν
εἰς ὕλην πάλιν, ἵνα διὰ τῆς ἀναπλάσεως ἐκτακῶσι καὶ ἐξαφανισθῶσι
πάντα τὰ ἐν αὐτῷ μωμήματα. τὸ γὰρ ἐκεῖ ἀναχωνευθῆναι τὸν ἀν- 4
δριάντα τοῦτο ἐνταῦθα ἀποθανεῖν καὶ διαλυθῆναι τὸ σῶμα· τὸ δὲ
ἐκεῖ ἀναμορφοποιηθῆναι τὴν ὕλην ἢ ἀνακοσμηθῆναι, τοῦτο ἐνταῦθα
τὸ ἀναστῆναι. ὥσπερ καὶ ὁ προφήτης Ἱερεμίας· τούτοις γὰρ ἤδη καὶ 5
αὐτὸς ὧδε τὰ αὐτὰ παρεγγυᾷ, »καὶ κατέβην« λέγων »εἰς τὸν οἶκον τοῦ
κεραμέως· καὶ ἰδού, αὐτὸς ἐποίει ἔργον ἐπὶ τῶν λίθων, καὶ διέπεσε
τὸ ἀγγεῖον ὃ αὐτὸς ἐποίει ἐν ταῖς χερσὶν αὐτοῦ, καὶ πάλιν ἐποίησεν
αὐτὸ ἀγγεῖον ἕτερον, καθὼς ἤρεσεν ἐνώπιον αὐτοῦ τοῦ ποιῆσαι.
καὶ ἐγένετο λόγος κυρίου | πρός με λέγων· εἰ καθὼς ὁ κεραμεὺς 551
οὗτος οὐ δυνήσομαι τοῦτο ποιῆσαι ὑμᾶς, οἶκος τοῦ Ἰσραήλ; ἰδού, ὡς
ὁ πηλὸς τοῦ κεραμέως ὑμεῖς ἐστε ἐν ταῖς χερσί μου.«

4 vgl. De res. I, 44, 1. II, 18, 4; auch zu S. 289, 1 — **5** Justin De res. (S. Parall. 43 S. 207ff Holl) — **11** Jerem. 18, 3—6; vgl. Symp. 3, 5 S. 31, 10ff

1ff Epiph. Panar. haer. 64, 65 S. 674, 15ff. 675, 16ff — **7** vgl. Prokop. PGr 87, 1, 165, 33f

1 ταὐτὸ S | ἄρα Md: γὰρ HSS | δή μοι < S | δὴ: δὲ U | ὁ θεὸς — γὰρ Z. 2] »Denn Gott machte den« S | θεὸς οὕτως U **2** διοικονομηκέναι V: C^{c} 80^{v}: δὴ ᾠκονομηκέναι C^{r} | ἑαυτοῦ] »seiner Hand« S **2f** τέχνισμα V, τέχνασμα Dd **3** βασκ. C^{r} 89^{v} | φθόνω U **4** τοιοῦτο V C^{c}: »so« S **5** μεμωμημένος S 83^{v}: μεμωμημένον V U C: λελωβημένον z. B. Jh | ἔχον C^{r} Pet Dd Jh | ἐν ἑαυτῷ < S **6** ἐκτακῶσι καὶ < S | ἐκτακῶσιν κ. ἐξαφανισθῶσιν C^{c} **7** ἐν αὐτῷ < S | μή^μω^ματα U | τὸ] ὃ C u. w. e. sch. S **8** τοῦτον τὸ U | τὸ ἀποθανεῖν C | ὃ δὲ C **9** ἀναμορφωθῆναι C^{r}, ποιη übergeschr. in U | ἢ ἀνακομισθῆναι V: ἢ ἀνακοσμοποιηθῆναι U: < S | ἐνταῦθα] μετὰ τὸ ἀποθανεῖν + U **10** καὶ . . Ἱερ.] »⟨i⟩ ier.« S | τούτοις — παρεγγυᾷ Z. 11] »reinigt« očištaet wohl aus »versichert« upovaet S: Ἰουδαίοις παρῄνει καὶ . . παρηγγύα vermutete Md: Kolon vor τούτοις Kl | ἤδη] δεῖ C^{c}, δὴ C^{r} **11** τ. α.] ταῦτα U C | καὶ κατέβη U 125 | λέγων γάρ φησιν S: λέγων hinter κεραμέως C **12** ἐπὶ τὸν λίθον C **13** αὐτὸς < U | ὑπὸ τῶν χειρῶν w. e. sch. S | αὐτῷ w. e. sch. S **14** ἕτερον las wohl auch S (»in ihm / nem wohl aus »zu einem anderen ihm« (v' in emu) | τοῦ ποιῆσαι] ποιεῖν < S **15** εἰ < S **16** οὗτος] αὐτὸς V | τοῦτο < S: τοῦ C^{r} | ποιεῖν C^{r} | υμῖν C | τοῦ < V C^{r} | ὡς < U **17** ταῖς < C

XLIV. *Πρόσσχες γὰρ ὅπως, ὥς ἔφην, μετὰ τὸ παραβῆναι τὸν ἄνθρωπον ἡ μεγάλη χεὶρ εἰς νῖκος καταλεῖψαι τὸ ἑαυτῆς ἔργον οὐκ ηὐδόκησεν ὡς κίβδηλον τῷ πονηρῷ ἀδίκως αὐτὸ λυμηναμένῳ βασκάνοις αἰτίαις, ἀλλὰ ἀνατήξας ἀνέδευσεν αὖθις εἰς πηλόν, οἷα κεραμεὺς*

2 Symp. 3, 5 S. 31, 18ff; vgl. zu S. 289, 1 u. 291, 4. Theoph. Ad Autol. II, 26. Iren. Adv. haer. III, 23, 6. Novat. De trin. 1 — 4 vgl. De res. III, 6, 1

2 Epiph. Panar. haer. 64, 65 S. 674, 15ff. 675, 16ff. Greg. Naz. Orat. 38, 12 PGr 36, 324. Chrysost. hom. 18 in Gen. PGr 53, 1, 151. August. Encheir. 89. Zachar. Mityl. PGr 85 S. 1125. 1132 — 4 vgl. Nilus Ep. II, 200 PGr 79, 305

1 *πρόσχες* VUC | *γὰρ* < V Cr | *ὅπως* < S: *πῶς* nach *ἔφην* C **1f** *τοῦ ἀνθρ.* S **2** *νῖκος*] *νεῖκος* w. e. sch. S, so vermuteten auch Cornarius u. Pet: Dd verweist richtig auf Thesaur. V, 1522 | *καταλείψειν* V | *τὸ ἑαυτῆς ἔργον*] *τὸν ἄνθρωπον* S | Theoph. *καὶ τοῦτο δὲ ὁ θεὸς μεγάλην εὐεργεσίαν παρέσχεν τῷ ἀνθρώπῳ, τὸ μὴ διαμεῖναι αὐτὸν εἰς τὸν αἰῶνα ἐν ἁμαρτίᾳ ὄντα. ἀλλὰ . . ἐξέβαλλεν αὐτὸν ἐκ τοῦ παραδείσου, ὅπως διὰ τῆς ἐπιτιμίας . . παιδευθεὶς εἰς ὕστερον ἀνακληθῇ. . . οὐ μήν, ἀλλὰ καὶ καθάπερ σκεῦός τι, ἐπὰν πλασθὲν αἰτίαν τινὰ σχῇ, ἀναχωνεύεται ἢ ἀναπλάσσεται εἰς τὸ γενέσθαι καινὸν καὶ ὁλόκληρον, οὕτως γίνεται καὶ τῷ ἀνθρώπῳ διὰ θανάτου.* Iren. eiecit eum de paradiso et a ligno vitae transtulit; non invidens ei lignum vitae . . sed miserans eius, ut non perseveraret semper transgressor, neque immortale esset, quod esset circa eum peccatum; et malum interminabile et insanabile. prohibuit . ., interponens mortem et cessare faciens peccatum . . per carnis resolutionem. Novat. ne vivens in aeternum circumferret secum in poenam sui semper immortalem delictum. Greg. Naz. *κερδαίνει μέν τε κἀνταῦθα, τὸν θάνατον καὶ τὸ διακοπῆναι τὴν ἁμαρτίαν, ἵνα μὴ ἀθάνατον ᾖ τὸ κακόν.* Chrysost. *ἵνα μὴ . . μέλλῃ ἀθάνατα ἁμαρτάνειν, βέλτιον αὐτὸν (τὸν Ἀδάμ) ἐντεῦθεν ἔξω βαλεῖν.* Zachar. S. 1125 *τῆς ἀναπλάσεως . . αἰτία . . ἀγαθότης θεοῦ . . καὶ φιλανθρωπίας ὑπερβολή. ἐλεήσας γὰρ ὁ δημιουργὸς τὸ πλάσμα καὶ νικᾶσθαι τοῦτο πρὸς τῆς κακίας μὴ ἀνασχόμενος, διαλύει μὲν τὸ ὑποδεξάμενον τὸ κακὸν ἀγγεῖον, ἀναπλάττει δὲ αὖθις καὶ ἀναχαλκεύει.* 1132 *ἐμηχανήσατο ἡ μεγάλη καὶ παμποίκιλος τοῦ θεοῦ σοφία διὰ τῆς λύσεως τῶν ἀνθρωπίνων σωμάτων καταλῦσαι τὴν φθορὰν ἣν εἰσενήνοχεν ἡ κακία καὶ τῆς ἀθανασίας μεταδοῦναι τοῖς θνητοῖς* **3** *ηὐδόκησεν*: »wollend« S | *κίβδ. . . ἀδικ. α. λυμ.*] »indem er umdunkelt ist« S | *κίβδηλον*] *δῆλον* C | *τῷ πον.*: *πονηροῦ* U, *τὸ πονηρὸν* C; »von dem Eifersüchtigen« S | *ἀδίκ. ἀπολυμηναμένω* C | *λυμηναμένου* U **4** *ἀλλὰ* < Cr | Nilus *ποῖον γὰρ . . μεῖζον . ., ἀνδριάντα πλάσαι τὸν πρώην μὴ ὑφεστῶτα, ἢ τὸν διαπεσόντα ἀναχωνεῦσαι εἰς τὸ αὐτό;* | *ἀνατήξασα ἀνέλυσεν* C, *ἀναστήσασα ἀνέλυσε μὲν* Cr: »zerstört habend machte er« S | *ἀνέδευσεν*: *ὄδευσεν* V | *αὖ|θις* V 362v | *εἰς πηλόν*] *πηλῷ* oder *πηλόν* S | *κερ.* S 84

ὁ ἀναπλάσσων ἄγγος πρὸς τὸ ἀφανισθῆναι μὲν διὰ τῆς ἀναπλάσεως
πάντα τὰ ἐν αὐτῷ αἴσχη καὶ θλάσματα, γενηθῆναι δὲ τὸ πᾶν
ἄνωθεν ἀμέμπτως ἀρεστόν. ἢ »οὐκ ἔχει ἐξουσίαν ὁ κεραμεὺς τοῦ 2
πηλοῦ ἐκ τοῦ αὐτοῦ φυράματος ποιῆσαι σκεῦος, ὃ μὲν εἰς τιμήν, ὃ
δὲ εἰς ἀτιμίαν;« ὃ δή ἐστι (τοῦτο γὰρ παντάπασιν ὁ ἀπόστολός μοι
δηλοῦν φαίνεται)· μή τι ἐξουσίαν οὐκ ἔχει ὁ θεὸς ἀπὸ τῆς ὕλης
ἑκάστου τῆς αὐτῆς ἀναπλάσας καὶ ἀνακοσμήσας ἰδίως ἕκαστον ἢ εἰς
τιμὴν ἡμῶν ἀναστῆσαι καὶ δόξαν, ἢ εἰς ἀτιμίαν καὶ κατάκρισιν; εἰς
ἀτιμίαν μὲν τὸν ἐν ἁμαρτίαις φαύλως βιώσαντα, εἰς τιμὴν δὲ τὸν
ἐν δικαιοσύνῃ. καθάπερ ἐδηλώθη καὶ τῷ Δανιήλ, »καὶ πολλοὶ τῶν 3
καθευδόντων ἐν γῆς χώματι« λέγοντι »ἐξεγερθήσονται, οὗτοι εἰς
ζωὴν αἰώνιον, καὶ οὗτοι εἰς ὀνειδισμὸν καὶ αἰσχύνην αἰώνιον, καὶ οἱ
συνιέντες ἐκλάμψουσιν ὡς ἡ λαμπρότης τοῦ στερεώματος«. ἐφ᾽ ἡμῖν 4
γὰρ οὐ τὸ ἀφανίσαι τὴν ῥίζαν τελείως τῆς πονηρίας, ἀλλὰ τὸ μὴ
πρὸς ἔκτασιν αὐτὴν ἐᾶσαι φῦναι καὶ καρποφορεῖν. ἡ μὲν γὰρ καθ-
όλου καὶ παντελικὴ αὐταῖς ῥίζαις αὐτῆς ἀναίρεσίς τε καὶ ἀπώλεια
ὑπὸ τοῦ θεοῦ κατὰ τὴν τοῦ σώματος, ὡς εἴρηται, διάλυσιν γίγνεται,

3 Röm. 9, 21 — 10 Dan. 12, 2. 3

6 Oekumenius zu Röm. 9, 21 PGr 118, 516 B C — 13—S. 294, 8 S. Parall. 422 S. 169 Holl

1 ὁ < C S: ὃς U | ἀναπλάσας ἄγγος C c, ἄγγος ἀναπλάσας C r | ἄγγος] αὐτὸ U 2 θλάσμ.] πλάσματα C | γεννηθῆναι C r | δὲ] τε V U C c | τὸ πᾶν las wohl auch S (emu »er« wohl aus vsemu) 3 ὡς ἄν. ἦν S | ἀμέμπτως < S | ἀρεστόν] es endet C (C c 81) 3 f τοῦ πηλοῦ — φυράματος Z. 4] ἐκ τοῦ αὐτοῦ πηλοῦ καὶ φυράματος S 4 σκεῦος, ὃ μὲν εἰς τιμήν < S 5 παντάπασιν < U 6 εἰ μή τι V | μή τι etc. frei wiedergegeben von Oekumenius ἔχει, φησίν, ἐξουσίαν ὁ θεὸς ὁ ἐγείρων τοὺς νεκροὺς τοὺς μὲν εἰς δόξαν, τοὺς δὲ εἰς αἰσχύνην ἐγεῖραι, κατὰ τὴν ἀναλογίαν τῶν ἑκάστῳ ἀνθρώπῳ βεβιωμένων. οὕτως ὁ ἐν ἁγίοις Μεθόδιος ἐν τῷ περὶ ἀναστάσεως λόγῳ | ἔχῃ V 7 ἑκάστου w. e. sch. < S | ἑαυτῆς S | πλάσας κ. κοσμήσας S | ἰδίως] εἶδος U 8 καὶ δόξαν < S 9 μὲν < S | τὸν .. β. S: τῶν βιωσάντων V U | δὲ] καὶ δόξαν + S | τὸν S: τῶν V U 10 καὶ π.] ὅτι π. U 11 λέγοντι] γὰρ λέγει nach πολλοὶ Z. 10 S | ἐξεγερθ. U 125 v 12 ὀνειδισμὸν καὶ < S 13 στερεώματος] »Himmels« übers. S | ἐφ᾽ ἡμῖν — ἀμοιβαῖα 294, 8 C in K 50 v—51 r; Lemma ἐκ τοῦ αὐτοῦ λόγου (nach 38, 3 f S. 280, 9 ff) | ἐφ᾽ ἡμῖν] ἔφημεν C 14 τὴν ῥ. . . τ. πον.] »die Sünde« S | τῆς πον. τελ. U | τελέως C 15 πρ. ἔ. . . φῦναι: »wachsen« S | ἔκστασιν C | καρποφορᾶν C 16 καὶ παντελικὴ w. e. sch. < S | αὐτ. (ταῖς U) ῥίζ.] τῆς ῥίζης C 17 τοῦ < C | σώματος C 51 | εἰρήκαμεν w. e. sch. S | γίνεται C

ἡ δὲ ἐκ μέρους πρὸς τὸ μὴ οἶσαι βλαστὸν ὑφ᾽ ἡμῶν. καὶ διὰ τοῦτο 5
τὸν ἐκθρέψαντα πρὸς αὔξησιν αὐτὴν μᾶλλον καὶ μέγεθος, ἀλλὰ μὴ στειρώσαντα τὸ ὅσον ἐπ᾽ αὐτῷ καὶ συμπιλήσαντα ἀνάγκη διδόναι δίκην, ὅτι δυνάμενος καὶ ἔχων πρὸς τοῦτο τὴν ἐξουσίαν εἵλατο τὸ βλάπτον πρὸ τοῦ συμφέροντος μᾶλλον τιμῆσαι.

XLV. Ὥστε μηδείς, αὐτὸς αἴτιος ὤν, ἀκολάστῳ γλώσσῃ μεμφέσθω τὴν θείαν φύσιν, ὡς οὐκ ἐν δίκῃ διανέμουσαν ἑκάστῳ κακίας καὶ ἀρετῆς τὰ ἀμοιβαῖα. »τίς γὰρ εἶ, ὦ ἄνθρωπε, ὁ ἀνταποκρινόμενος τῷ θεῷ; μὴ ἐρεῖ τὸ πλάσμα | τῷ πλάσαντι· τί με ἐποίησας 552
οὕτως ἢ οὕτως;« πῶς γάρ, ὁπότε αὐτοδεσπότῳ βουλῇ κακίαν εἵλατο; 2
διὸ καὶ οὐ λέξει δικαιοσύνης δόγμασιν ἀπαραλλάκτοις κρίνοντι τῷ θεῷ· »τί με ἐποίησας οὕτως« κατακριθέντα εἰς τὸ ἀλγύνεσθαι; πρόσσχες 3
γὰρ ὅπως ὥσπερ ἀκοντιστὴς ὁ ἀπόστολος δεινὸς συνεστραμμένα ῥήματα τῶν λόγων εἰς μέσον ἐμβαλὼν ἀσαφῆ μὲν καὶ ἐπικεκαλυμμένην ποιεῖται εἰς βάθος τῶν ἀναγνωσμάτων τὴν ἐξεργασίαν, ἀληθεστάτην δὲ καὶ ὀρθόδοξον καὶ μηδὲν ἔχουσαν ἀπημελημένον ἢ δύσφημον. τοῖς μὲν γὰρ μὴ μετὰ σπουδῆς ἀλλὰ ἀγεννῶς ἐγκύπτουσι τοῖς 4

6 Plato Epin. 979 B — **8** Röm. 9, 20 — **13** Plato Prot. 342 E — **14** vgl. Symp. 3, 2 S. 28, 18ff

1 *ἡ δὲ — βλαστὸν*] »ihr nicht zu wachsen gestatten« (*μὴ πρὸς ἔκτασιν* od. *αὔξησιν αὐτὴν ἐᾶσαι φῦναι*) S | *βλαστὸν*] *καρπὸν ἢ βλαστὸν* C | *καὶ* < S **2** *τὸν ἐκθρέψ. — μέγεθος*] »wer sie wachsen läßt« S | *μὴ*] *μὴ ὅτι* U, *μήτι* Jh **3** *τὸ* < Jh, nach *ὅσον* C | *κ. συμπιλ.* < S | *συμπιπλώσαντα* V, *συμπειλήσαντα* U, *συνπηλήσαντα* C **4** *εἵλατο — τιμῆσαι* Z. 5] »noch es unfruchtbar zu machen« S | *εἵλετο* C **5** *πρὸ* < U | *προτιμῆσαι* U **6** *αὐτοαιτῆς* C | *ὢν* V 363 **6f** Pl *οὐ τὴν θείαν .. αἰτιᾶσθαι δεῖ φύσιν, οὐκ ἐν δίκῃ διανέμουσαν* **7** *τὴν θ. φύσιν*] »die heilige Gottheit« S | *ἐν δίκῃ*] *δικάζουσαν* od. *κρίνουσαν οὐδὲ* w. e. sch. (»nicht gerecht richtend noch«) + S | *ἑκάστῳ* < S | *κακίας — ἀμοιβαῖα* Z. 8: »entsprechend dem Bösen u. Guten« S **8** *καὶ*] *ἢ* V C | *ἀμοιβαῖα*] es endet C **9** *πλάσαντι* V S: *ποιήσαντι* U **10** *ἢ οὕτως* < U S | *εἵλατο*] »wir .. erwählen« izvolim S (viell. aber »er .. erwählt hat« izvoli) **11** *διὸ* < V | *οὐ λέξει*] *σὺ λέξῃ* V | *δικαιοσύνῃ καὶ δείγμασιν* S **12** *κατακρ. — ὅπως* Z. 13 < U | *κατακριθὲν* V | *πρόσχες* V **13** *δεινὸς* < S | *διεστραμμένα* U **14** *τῶν λόγων* < S | *ἀσαφεῖ* U **15** *εἰς βάθος* < S | *τῶν* (U 126) *ἀναγνωσμ. τ. ἐξεργ.*: *τὰ ἀναγνώσματα τούτων τῶν ἐξεργασιῶν* od. *ἐξηγήσεων* w. e. sch. S **16** *καὶ ὀρθόδοξον* < S | *ἀπημελημ. ἢ* < S **17** *ἀγεννῶς*: »nur mit Unachtsamkeit« S | *ἐγκύπτουσι* V S vgl. S. 295, 8: *ἐκπίπτουσι* U **17f** *τ. λόγοις* S 85

λόγοις ἀσυνάρτητα ἔσθ' ὅτε δοκεῖ καὶ ἀσύμφωνα λέγειν, τοῖς δ' αὖ σπουδαίως καὶ λογισμῷ νήφοντι ὁπόσης τάξεως ἔμπλεα καὶ ἀληθείας.

Δι' ἀκριβείας μὲν οὖν περὶ τούτων διεξιέναι τὰ νῦν ἱκανὸν ἂν 5
γένοιτο αὐτὸ καθ' ἑαυτὸ μόνον ἔργον. καὶ γὰρ γελοῖον καταλείψαντάς σου τὴν σκέψιν, ἧς ἕνεκα ταύτην ἐστειλάμεθα, εἰς ἄλλα μετιέναι. ταῦτα γὰρ ἡμῖν εἴρηται διὰ τὴν τῶν ἐθελοκακούντων τιμωρὸν δίκην. ἀπο- 6
δειχθέντος τοίνυν ἐνδηλότατα, τὸν θάνατον τῷ ἀνθρώπῳ μεμηχανῆσθαι μὴ ἐπὶ κακῷ τινι, ἀλλὰ ⟨ἐπ' ἀγαθῷ⟩, χρὴ λοιπὸν τὸν μὴ φαύλως τούτοις ἐγκύπτοντα περὶ τῆς ἀναστάσεως νοεῖν τοῦ σώματος. πῶς γὰρ οὐκ ὠφέλιμος ὁ θάνατος, διαφθείρων ἡμῶν τὰ ληΐζοντα τὴν φύσιν, εἰ καὶ παρὰ τὸν καιρὸν ἐπαχθής, καθ' ὃν προσφέρεσθαι δοκεῖ καθάπερ αὐστηρότατον τῷ νοσοῦντι φάρμακον; καὶ ἵνα μὴ πολλάκις τὰ αὐτὰ περὶ τῶν αὐτῶν διαλεγώμεθα, φέρε καὶ ἀπὸ τῆς ᾠδῆς ἔτι τοῦ Δευτερονομίου βεβαιώσαντες τὸν λόγον ἴωμεν τὰ ἑξῆς διαληψόμενοι.

XLVI. Τὸ γὰρ »ἐγὼ ἀποκτενῶ καὶ ζῆν ποιήσω, πατάξω κἀγὼ ἰάσομαι, καὶ οὐκ ἔστιν ὃς ἐξελεῖται ἐκ τῶν χειρῶν μου« λεγόμενον ὑπὸ τοῦ θεοῦ τί ἄλλο διδάσκειν βούλεται ἢ ὅτι διὰ τοῦτο τὸ σῶμα πρῶτον ἀποκτέννυται καὶ θνήσκει, ἵνα αὖθις ἀνασταθῇ καὶ ζήσῃ;

3 Plato Tim. 89 D — **6** Plato Epin. 988 E — **12** Plato Gorg. 490 E — **15** Deut. 32, 39

1 *ἀσύμφωνα . . καὶ ἀσυνάρτητα* S | *αὖ*] »o« S **2** *σπουδαίοις* S | *κ. λογισμῷ νήφ.* < S | *ἀληθείας ἔμπλεα καὶ νοήσεως* S **3** *Δι' ἀκριβείας — ἔργον* Z. 4 auch Pl | *ἀκρίβειαν* S | *οὖν* < S | *διεξ. τὰ νῦν*] *διεξελθεῖν* Pl **3 f** *ἂν γέν. — ἔργον* Z. 4 < S **4** *καὶ γὰρ γελοῖον*: »denn es ist nicht gut« S | *γέλοιον* V | *καταλείψαντάς — ἐστειλάμεθα* Z. 5] »von Einem« S **5** *σου*] *οὗ* V, *που* Jh | *ἧς* < V | *ταῦτα — δίκην* Z. 6 < S **6** *τὴν* < U **7** *ἐνδηλώτατα* U | *μεμ.*: »daß . . ist« S **8** *μὴ* < V | *ἀλλὰ* < S | *ἐπ' ἀγαθῷ* + Holl | *τὸν — ἐγκύπτ.* < S **9** *περὶ*] *τῆς ὕλης καὶ* + S | *νοεῖν*] »zu reden« S | *τοῦ σώματος* < S | *ὠφέλιμον* V **10** *καὶ φθείρων* (od. *ἢ διαφθείρων*) las viell. S, (*ἢ* ili S, wohl aus »und« mit Fragepartikel i li) | *τὰ ληΐζοντα* < S **11** *παρὰ*] *πρὸς* w. e. sch. S | *προσφέρ. δοκεῖ*] *προσφέρεται* S **12** *αὐστηρώτατα* V: < S | *τῷ* V 363ᵛ: < U | *μὴ πολλάκις*] *καὶ πάλιν* od. *αὖθις* S | *τὰ αὐτὰ* < S | Pl *ταὐτὰ . . καὶ περὶ τ. αὐτῶν* **12 f** *τῶν αὐτῶν*] *τούτων* viell. S **13** *καὶ* < S | *τῆς ᾠδῆς ἔτι* < S, *ἔτι* < U **14** *βεβαιώσαντες — διαληψόμενοι*] »beginnen wir die Verhandlung zu machen« S **15 f** *κἀγὼ ἰάσομαι* < S **17** *διδάσκειν βούλεται*] »lehrt« S | *ὅτι*] *τὸ* V | *διὰ τοῦτο* < S **18** *καὶ θνήσκει* < S | *αὖθις* < S | *ἀνασταθῇ* etc.] »kann auferstehen etc.« S

πατάσσεται πρῶτον καὶ θραύεται, ἵνα σῶον αὖθις πλασθῇ καὶ ὑγιές.
καὶ οὐδὲν ἐξελέσθαι ὅλως τὸ σύνολον τῆς μεγάλης καὶ κραταιᾶς 2
αὐτοῦ χειρὸς πρὸς ἀπώλειαν καὶ ὄλεθρον σθένει, οὐ πῦρ, οὐ θάνατος,
οὐ σκότος, οὐ χάος, οὐ φθορά. »τίς γὰρ ἡμᾶς« φησίν »χωρίσει ἀπὸ τῆς
ἀγάπης τοῦ Χριστοῦ;« | — ὃς ἑρμηνεύεται χεὶρ τοῦ πατρὸς καὶ λόγος 553
— »θλίψις; ἢ στενοχωρία; ἢ διωγμός; ἢ λιμός; ἢ γυμνότης; ἢ κίν-
δυνος; ἢ μάχαιρα; καθὼς γέγραπται ὅτι ἕνεκεν σοῦ θανατούμεθα
ὅλην τὴν ἡμέραν, ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς. ἀλλ' ἐν τούτοις
πᾶσιν ὑπερνικῶμεν διὰ τοῦ ἀγαπήσαντος ἡμᾶς«, ἀληθέστατα, ἵνα
πληρωθῇ, καθὼς ἔφην, τό »ἐγὼ ἀποκτενῶ καὶ ζῆν ποιήσω, πατάξω
καὶ ἰάσομαι, καὶ οὐκ ἔστιν ὃς ἐξελεῖται« »ἡμᾶς« »ἀπὸ τῆς ἀγάπης
τοῦ θεοῦ τῆς ἐν Χριστῷ« πρὸς ἀπώλειαν. διὸ καὶ »ἐλογίσθημεν ὡς
πρόβατα σφαγῆς«, ἵνα ἀποθανόντες »τῇ ἁμαρτίᾳ« ζήσωμεν »τῷ θεῷ«.
— καὶ ταῦτα μὲν μέχρι τοσούτου διεσκέφθω· τὰ δὲ συνεχῆ τούτοις 3
ὧδε πάλιν προχειριστέον.

XLVII. *Εἰ πᾶν τὸ γεννώμενον νοσεῖ* — προτείνει γὰρ οὕτως ὁ ἐξ ἐναντίας — καὶ κατὰ τὴν γένεσιν καὶ κατὰ τὴν τροφὴν (ἀπὸ τῶν προσιόντων γάρ, φησίν, αὔξεται, καὶ ἀπὸ τῶν ἀπιόντων ἐλαττοῦται), τὰ δὲ μὴ γεννώμενα ὑγιαίνει, ὅτι μὴ νοσεῖ μηδὲ προσδεῖται ἢ ἐπιθυμεῖ, ἐπιθυμεῖ δὲ τὰ γεννώμενα καὶ συνουσίας καὶ τροφῆς, τὸ δὲ ἐπιθυμεῖν νοσεῖν ἐστι, τὸ δὲ μὴ δεῖσθαι μηδὲ ἐπιθυμεῖν ὑγιαίνειν, νοσεῖ δὲ τὰ γεννώμενα, ὅτι ἐπιθυμεῖ, τὰ δὲ μὴ γεννώμενα οὐ νοσεῖ, πάσχει δὲ τὰ νοσοῦντα ἢ κατὰ πλῆθος ἢ ἔνδειαν τῶν προσγινομένων

4 Röm. 8, 35—37 — 5 vgl. De creatis 9. Iren. Adv. haer. III, 21, 10. V, 5, 2. 6, 1. Hipp. In Dan. II, 33, 4. III, 14, 6 — 10 Deut. 32, 39 — 11 Röm. 8, 39 — 12 Röm. 8, 36 — 13 Röm. 6, 10 — 14 De res. I, 26, 1 S. 253, 3 — 17 De res. I, 9. 10

5 vgl. Prokop. PGr 87, 1, 133 A

1 *πατάσσ. . . καὶ θραύεται*: »wird vernichtet . . und zermalmt« S | *σῶον*] *σῶν* Jh nach Pl Tim. 82 B | *αὖθις σῶον* U 3 *αὐτοῦ*] *ἐκείνου* las schwerl. S | *ἀπώλειαν* S 85ᵛ | *καὶ ὄλεθρον* < S 4 *οὐ σκότος* < V S | *οὐ χάος* < S | *χωρήσει* V 5 *χριστοῦ* U S: *κυρίου* V 7 *ὅτι* < V 8 *ὅλην τὴν ἡμέραν* < S | *ἀλλὰ* V 9 *τὸν ἀγ.* S 10 *ἔφη* S | *πατάξω — ἐξελεῖται ἡμᾶς* Z. 11: »usw.« S 11 *κἀγὼ ἰάσομαι* U | *ἡμᾶς*] *τουτέστιν* S | *ἀπὸ*] *ἐκ* U 12 *χριστῷ ἰησοῦ* U 13 *σφαγῆς*: »zur Schlachtung« S 14 *μὲν* < V 15 *ὧδε* < S 16 *γεννόμενον* U 17 *τροφὴν*] *φύσιν* S 18 *γάρ* < U | *φησίν* < S 19 *ὑγιαίνει, ὅτι* < S: U 127 | *ὅτι μὴ*] *μηδὲ* U | *μηδὲ*] *ὅτι μὴ* S | *προσδ.* V 364 | *ἢ*] *μηδέ τι* S 86 20 *καὶ τροφῆς* < S 21 *νοσεῖν ἐστι*] *μὴ ἐῶντα* S | *μὴ ἐπιθυμεῖν μηδὲ δεῖσθαι* S | *ὑγιαίνει* U: *ἐστί* + S 23 *προσγιν.*] *προσαχθέντων καὶ προσγιν.* S (schwerlich *προσγιν. καὶ διαμενόντων*, indem statt pribyvaemych vielmehr prěbyvaemych zu lesen wäre)

καὶ ἀπογινομένων, τὸ δὲ πάσχον καὶ φθίνει καὶ ἀπόλλυται, διόπερ
καὶ γεννᾶται, γεννᾶται δὲ ὁ ἄνθρωπος, — οὐ δύναται ἄρα ἀπαθὴς
εἶναι ὁ ἄνθρωπος καὶ ἀθάνατος. — καταπίπτει μὲν οὖν καὶ ἐπὶ τούτοις 2
αὐτοῖς ὁ λόγος. εἰ γὰρ πᾶν τὸ γιγνόμενον ἢ γεννώμενον ἀπόλλυται
(διαφέρει γὰρ οὐδὲν οὕτως εἰπεῖν, ἐπειδὴ καὶ οἱ πρωτόπλαστοι οὐκ
ἐγεννήθησαν, ἀλλ᾽ ἐγενήθησαν), γενητοὶ δὲ καὶ οἱ ἄγγελοι καὶ αἱ
ψυχαί (ὁ »ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα«), ἀπόλλυνται ἄρα
οἱ ἄγγελοι κατ᾽ αὐτοὺς καὶ αἱ ψυχαί. ἀλλ᾽ οὔτε οἱ ἄγγελοι οὔτε
αἱ ψυχαὶ ἀπόλλυνται· ἀθάνατα γὰρ ταῦτα καὶ ἀδάμαστα, κα-
θὼς ὁ ποιήσας εἶναι βεβούλευται. ἀθάνατος ἄρα καὶ ὁ ἄνθρωπος.
οὐκ ἀρεστὸν δὲ ⟨οὐδ᾽⟩ ἐκεῖνο, τὸ λέγειν εἰς ἄρδην ἀπολεῖσθαι τὸ πᾶν, 3
καὶ γῆν καὶ ἀέρα καὶ οὐρανὸν μὴ ἔσεσθαι. ἐκπυρωθήσεται μὲν γὰρ πρὸς

7 Psal. 103, 4 — **10f** De res. I, 8 S. 228f

11—S. **298, 12** Andreas Caes. In Apok. PGr 106, 420C — **11**—S. **301, 15** u. **302, 2** S. Parall. 423 S. 170 Holl. Syr. Pitra Anal. sacra IV, 203 u. 436f

1 *ἀπὸ γιγν.* U **2** *δὲ* < S **3** *ὁ* < V **4** *τὸ γεννώμ. εἰς γιγνόμενον* S | *ἢ* ili: na S | *γενώμενον* S **5** *διαφ. . . οὕτως*] *συμφέρει . . ἄλλως* las schwerl. S (*διαφ. — οὕτως*: »denn es ist nicht anders möglich« S | *καὶ* < S^b **6** *ἀλλὰ* V | *οἱ* u. *αἱ* < V **7** *ποιῶν*] *γὰρ . . φησίν* + S | *πνεύματα*] »(sprach er,) und die Seelen ebenso« + S | *ἆρα* V S **8** *αἱ ψυχαί;* S | *ἀλλὰ* U **9** *καὶ ἀδάμαστα* < S **10** *εἶναι* < S | *βεβούληται* U: »weiß« S | *ἀθάνατος* S 86^v **11** vor *οὐκ ἀρεστὸν* + »von der Welt« S | *οὐκ ἀρεστὸν — φθορὰν* S. 298, 2 und *Παῦλος* S. 298, 8 — *ἐλπίδι* Z. 11 bei Andreas In Apok., eingeleitet *ὁ δὲ* [*μέγας*] *Μεθόδιος ἐν τῷ περὶ ἀναστάσεως λόγῳ* [*αὐτοῦ*] *ἐξέθετο οὕτως*. Es beginnt auch C in C Bl. 103 u. R Bl. 62^v, Lemma *τοῦ ἁγίου Μεθοδίου ἐκ τοῦ περὶ ἀναστάσεως*, und Syr bei Pitra aus B Bl. 53^v u. C Bl. 50, überschrieben Demonstratur transire huius mundi figuram, quin unquam destruatur creatio et ad nihilum redigatur; liberandam vero esse a servitute corruptionis in libertatem gloriae filiorum Dei, ut divinus Paulus et reliquum sanctorum divinorumque doctorum agmen dixerunt, illum qui non confitetur resurrectionem corporis, vel eos qui asserunt, Deum non promisisse a se suscitanda fore omnium hominum corpora, anathemate plectentes. Sancti Methodii, episcopi Lyciae, philosophi et martyris, ex libro illo de resurrectione qui dicitur Aglaophon | *οὐκ — ἐκεῖνο*: neque enim iustum Syr | *οὐδ᾽* Jh mit Andreas, w. e. sch. S: < V U C | *ἐκείνῳ* C^r | *εἰς* ursprünglich auch C^r | *ἄρδειν* U | *απωλεῖται* C^c, *ἀπολεῖται* C^r **12** *ἀέρα*] *καὶ πῦρ* + S | *καὶ οὐρανὸν* vor *καὶ* Z. 11 C^r | *μηκέτι* C^r | *ἐκπυρωθήσεται μὲν γάρ*: »at docendum est ab igne . . comburendum esse« Syr

κάθαρσιν καὶ ἀνακαινισμὸν καταβασίῳ πᾶς ὁ κόσμος κατακλυζόμενος
πυρί, | *οὐ μὴν εἰς ἀπώλειαν ἐλεύσεται παντελῆ καὶ φθοράν. εἰ γὰρ* 554 4
κρεῖττον τὸ μὴ εἶναι τοῦ εἶναι τὸν κόσμον, διὰ τί τὸ χεῖρον ᾑρεῖτο
ποιήσας τὸν κόσμον ὁ θεός; ἀλλ' οὐδὲν ὁ θεὸς ματαίως ἢ χεῖρον
ἐποίει. οὐκοῦν εἰς τὸ εἶναι καὶ μένειν τὴν κτίσιν ὁ θεὸς διεκοσμή-
σατο, καθάπερ καὶ ἡ Σοφία συνίστησιν· »ἔκτισε γὰρ εἰς τὸ εἶναι«
λέγουσα »τὰ πάντα ὁ θεός, καὶ σωτήριοι αἱ γενέσεις τοῦ κόσμου,
καὶ οὐκ ἔστιν ἐν αὐταῖς φάρμακον ὀλέθρου«. καὶ ὁ Παῦλος δὲ σαφῶς 5
μαρτυρεῖ λέγων· »ἡ γὰρ ἀποκαραδοκία τῆς κτίσεως τὴν ἀποκάλυψιν
τῶν υἱῶν τοῦ θεοῦ ἀπεκδέχεται. τῇ γὰρ ματαιότητι ἡ κτίσις ὑπε-
τάγη, οὐχ ἑκοῦσα, ἀλλὰ διὰ τὸν ὑποτάξαντα ἐπ' ἐλπίδι, ὅτι καὶ
αὐτὴ ἡ κτίσις ἐλευθερωθήσεται ἀπὸ τῆς δουλείας τῆς φθορᾶς εἰς
τὴν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ θεοῦ«. »τῇ γὰρ ματαιότητι«
φησίν »ἡ κτίσις ὑπετάγη«, ἐλευθερωθήσεσθαι« δὲ »τῆς« τοιαύτης
»δουλείας« προσδοκᾷ, κτίσιν τὸν κόσμον τοῦτον βουλόμενος νῦν
καλεῖν. οὐ γὰρ »τὰ μὴ βλεπόμενα« τῇ φθορᾷ δουλεύει, ἀλλὰ ταῦτα
δὴ »τὰ βλεπόμενα«. μένει ἄρα ἡ κτίσις εἰς τὸ ἄμεινον ἀνακαινοποιη- 6
θεῖσα καὶ εὐπρεπέστερον, ἀγαλλομένη καὶ χαίρουσα ἐπὶ τοῖς τέκνοις

6 Weish. Sal. 1, 14 — **9** Röm. 8, 19—21 — **13** Röm. 8, 20f — **16** vgl. II Kor. 4, 18

1 *καταβάσει ὡς* V *καταβάσ· ὦ* U: *κατὰ Βασίλειον* Andr: < S Syr | *κατακλύζ. ὁ κόσμος* C Andr **2** *πυρὶ* vor *πᾶς* Z. 1 in C[r] | *παντελῆ* übersetzt nicht Syr | *εἰ — ὀλέθρου* Z. 8 < Andr, aber vor *καὶ*² Z. 8 + *καὶ προσιὼν φησι* **3** *τοῦ μὴ εἶναι τὸ εἶναι* V C | *χείρω* V **4** *ὁ ποιήσας* V: *ποιῆσαι* S | *ἀλλ' — θεὸς* < U | *οὐδὲ* C[r] | *ματαίως ἢ* U 127[v]: < S **4f** *ἢ χεῖρον ἐποίει*: *ἐχειροποίει* V U, *ἢ χείρω* (»in opprobrium« Syr) *ἐποίει* C **6** *καθώσπερ* C[r] | *συνίστησιν* V C Syr, w. e. sch. S (*λέγουσα* auch schon hier + S): *δι' ἃ συνίστησιν* U, *διασυνίστησιν* Jh **7** *τὰ πάντα λέγουσα* C S | *τὰ* < U | *ὁ θεός, καὶ* < Syr **8** *ἐν αὐτοῖς* C | *καὶ* < Syr | *ὁ* < V | *δὲ* < S Syr? **9** *λέγων* < S | *ἡ γὰρ* V 364[v] | *γὰρ* < Syr **10** *ϋῶν* C | vor *τῇ γὰρ* + »Diese Rede dem Menschen« S **11** *ὑποτάξαντα*] *αὐτὴν* + Andr | *ἐπ'* w. e. sch. < S | *διότι* Andr **12** *αὐτὴ* w. e. sch. S | *φθορᾶς*] *καὶ τὰ ἑξῆς* Andr und endet **13** *τῶν τέκνων* < C[r] | *τοῦ θεοῦ* S 87 | *γὰρ* < Syr **14** *φησίν* nach *ὑπετάγη* U | *ἐλευθερωθήσεται δὲ* V] »aber dennoch die Befreiung« S, et propterea expectat se . . liberandam fore Syr **14f** *τ. τοι. δουλ.*] *τῆς φθορᾶς* w. e. sch. S (»von d. Verwesung«) **15** porro vor *κτίσιν* Syr **15f** *βουλ. νῦν καλεῖν*] »nennend« S | *νῦν καλ.*] *φιλοκαλεῖν* C[r] **16** *ἀλλὰ ταῦτα*] nŭ si; ny i S **17** *ἡ κτίσις*] *ὁ κόσμος* Syr **17f** *ἀνακαινοποιηθεῖσα* < S

τοῦ θεοῦ τῇ ἀναστάσει, δι' οὓς στενάζει καὶ συνωδίνει νῦν, τὴν ἀπο-
λύτρωσιν ἡμῶν ἀπὸ τῆς φθορᾶς καὶ αὐτὴ τοῦ σώματος ἐκδεχομένη,
ὅπως ἡμῶν ἐγερθέντων καὶ ἀποτιναξαμένων τὴν νεκρότητα τῆς
σαρκός, κατὰ τὸ γεγραμμένον »ἐκτίναξαι τὸν χοῦν καὶ ἀνάστηθι καὶ
κάθισον, Ἱερουσαλήμ«, ἐλευθερωθέντων τε τῆς ἁμαρτίας »ἐλευθε-
ρωθήσεται« καὶ αὐτὴ »τῆς φθορᾶς«, μηκέτι τῇ ματαιότητι δουλεύουσα,
ἀλλὰ τῇ δικαιοσύνῃ. »οἴδαμεν γάρ«, φησίν, »ὅτι πᾶσα ἡ κτίσις συστε- 7
νάζει καὶ συνωδίνει ἄχρι τοῦ νῦν. οὐ μόνον δέ, ἀλλὰ καὶ αὐτοὶ τὴν
ἀπαρχὴν τοῦ πνεύματος ἔχοντες, καὶ αὐτοὶ ἐν ἑαυτοῖς στενάζομεν
τὴν υἱοθεσίαν ἀπεκδεχόμενοι, τὴν ἀπολύτρωσιν τοῦ σώματος ἡμῶν«.
καὶ ὁ Ἡσαΐας δέ· »ὃν τρόπον γὰρ ὁ οὐρανὸς καινὸς καὶ ἡ γῆ καινή,
ἃ ἐγὼ (φησί) ποιῶ, μένει ἐνώπιόν μου, λέγει κύριος, οὕτως ἔσται τὸ
σπέρμα ὑμῶν καὶ τὸ ὄνομα ὑμῶν«. καὶ πάλιν· »οὕτως λέγει κύριος
ὁ ποιήσας τὸν οὐρανόν, οὗτος θεὸς ὁ κατασκευάσας τὴν γῆν καὶ
ποιήσας αὐτήν· αὐτὸς διώρισεν αὐτήν, οὐκ εἰς κενὸν ἐποίησεν αὐτήν,
ἀλλὰ κατοικεῖσθαι«. | ὄντως γὰρ οὐκ εἰς κενὸν οὐδὲ εἰς μάτην πρὸς 555 8
ἀπώλειαν ἔκτισε, κατὰ τοὺς φρονοῦντας μάταια, τὸ πᾶν ὁ θεός,
ἀλλὰ εἰς τὸ εἶναί τε καὶ οἰκεῖσθαι καὶ διαμένειν. διὸ ἀνάγκη δὴ καὶ
τὴν γῆν αὖθις καὶ τὸν οὐρανὸν μετὰ τὴν ἐκφλόγωσιν ἔσεσθαι πάν-

4 Jes. 52, 2 — **7** Röm. 8, 22. 23 — **11** Jes. 66, 22 — **13** Jes. 45, 18

1 ἐν τῇ ἀναστάσει S | δι' οὓς] δι' οὗ V, διὸ C[r]: ἐφ' οἷς las schwerl. S (»über welche«) | καὶ συνωδίνει < S **1f** ἀπολύ|τρωσιν C c 103[v] **2** ἀπὸ — σώματος < S | ἀπὸ τῆς φθορᾶς < C[r] | καὶ αὐτὴ < C | ἀπεκδε-χομένη U **3** ὅπως] quoniam Syr: < S | ἐξεγερθέντων U: ἐλευθερωθέντων C | κ. ἀποτ.] ἀποτινάξομεν Syr **3f** τῆς σαρκὸς < S **4** ἐκτείν. U | καὶ[2] < U **5** κάθ. Ἱερ.] sidi im: sudim (»gerichtet«) S | ἐλευθερώθη δὴ V: U 128 | τε: οὖν ἡμῖν S **6** αὐτὴ] ἡ κτίσις S, αὐτὴ ἡ κτίσις Syr | τῆς φθορᾶς < S | τῇ ματαιότητι: τῇ φθορᾷ S **7** οἴδαμεν — σώματος ἡμῶν Z. 10 < C | φησίν < U S **8f** αὐτὴν τὴν ἀπ. U **9** καὶ] »nämlich« S **10** τὴν[1] < U **11** καὶ ὁ] αὐτὸς καὶ Syr: ὁ < V | δέ < V U: πάλιν S | καινὸς < C[r] **12** ἃ — μένει < S | φησίν, ἃ ἐγὼ C: φησι < Syr | μένειν V | οὕτως C[r] 63 | ἔσται] στή-σεται Syr mit LXX **13** ὄνομα . . σπέρμα S | ὑμῶν[1]] ἡμῶν C[r] | κ. τὸ ὄν. ὑμῶν < V | καὶ πάλιν — κατοικεῖσθαι Z. 16 < C: S 87[v] | οὕτω U **14** οὗτος] αὐτὸς Syr | θεὸς < U | ὁ καὶ S **15** διώ|ρισεν V 365; διωρίσας w. e. sch. Syr (plastes) | ἐποίησεν αὐτήν < U **16** πρὸς] οὐδὲ S **17** τὸ πᾶν ὁ θεός < S **18** ἀλλ' C | εἶναι . . κ. διαμένειν] »ewiges Sein« S: ut perseverent Syr | vor διὸ + »Daß nach der Verbrennung der Himmel sein wird und die Erde und Winde sein werden« S | ἀνάγκη δὴ < Syr **18f** καὶ τὴν < C **19** τ. οὐρ. . . κ. τ. γῆν S | τὸν < V C | ἔσεσθαι nach βρασμόν S. 300, 1 C[r] **19f** πάντων < S

των καὶ τὸν βρασμόν. διὰ τί δὲ τοῦτο ἀνάγκη, λόγος ἂν ἔτι πλείων τῶν εἰρημένων γίγνοιτο. οὔτε γὰρ εἰς ὕλην ἀργὴν καὶ τοιαύτην ἔτι κατάστασιν, οἵα καὶ πρὸ τῆς διακοσμήσεως ἦν, διαλυθὲν ἀναστοιχειωθήσεται τὸ πᾶν, οὔτ' αὖ εἰς ἀπώλειαν παντελῆ καὶ φθοράν.

XLVIII. Ἐὰν δέ, Πῶς οὖν, εἰ μὴ ἀπόλλυται τὸ πᾶν, οἱ ἐξ ἐναντίας εἴπωσιν, ὁ μὲν Χριστὸς τὸν οὐρανὸν παρελεύσεσθαι ἔφη καὶ τὴν γῆν, ὁ δὲ προφήτης ἀπολεῖσθαι μὲν τὸν οὐρανὸν ὡς καπνόν, τὴν δὲ γῆν »ὡς ἱμάτιον« παλαιωθήσεσθαι; Ἐπειδήπερ ἔθος ταῖς γραφαῖς, λέξομεν, τὴν εἰς τὸ κρεῖττον καὶ ἐνδοξότερον ἀπὸ ταύτης τῆς καταστάσεως τοῦ κόσμου μεταβολὴν ἀπώλειαν λέγειν, οἷον τοῦ πρόσθεν σχήματος ἀπολλυμένου κατὰ τὴν εἰς τὸ φαιδρότερον ἁπάντων ἐξαλλαγήν· ὅτι μηδεμία ὑπεναντίωσις ἢ ἀτοπία ἐν τοῖς θείοις λόγοις. »παράγει γὰρ τὸ σχῆμα τοῦ κόσμου τούτου«, καὶ οὐχ ὁ κόσμος εἴρηται. οὕτως ἔθος ἀπώλειαν καλεῖν τὰς γραφὰς τὴν πρὸς τὸ 2
ἄμεινον ἔσθ' ὅτε καὶ εὐμορφότερον τροπὴν τοῦ πρόσθεν σχήματος,

5 vgl. De res. I, 8 S. 228f — **6** Mt. 24, 35 — **7** Jes. 51, 6 (Psal. 101, 27) — **12** vgl. De res. II, 16, 12. 17, 4 — **13** I Kor. 7, 31

1 *τῶν βρασμῶν* Cc | *διὰ — γίγνοιτο* Z. 2 < S | *διὰ — φθοράν* Z. 4 < C^r (nicht Syr) | *ἀνάγκη; ὁ λόγος* C | *ἔτι*] *ἐπὶ* V | *πλείω* V U C: vgl. *λόγος πλείων* Plat. Tim. 54 B **2** *γένοιτο* C | *εἰς* schwerl. < S (vešt wohl aus vvešt) | *καὶ*] *ἀλλὰ* S | *ἔτι*] *ἐπι* V: *τε?* S: < C **3** *κατάστασιν* wohl auch S (ukraštena aus ukraštenia) | *οἵαν* V U C | *ἦν*] *εἰς ἣν* U | *διαλυθῇ* U: »wird sie« + S **3f** *ἀναστοιχειωθήσεσθαι γὰρ δεῖ* w. e. sch. S: *ἀναστοιχειωθῆναί τε* C **4** *οὔτ' αὖ*] *ἀλλ' οὐ* S | *παντ. κ. φθ.*] *παρελεύσεσθαι* w. e. sch. S **5** *Πῶς οὖν . . οἱ — εἴπωσιν* Z. 6] »nun die Gegner sagen: Wie wenn«: »nun der Gegner dieses dir sagt: W. w.«? S; »dir« ti (meist = *καὶ*) (viell. ti aus vsi = *τὸ πᾶν*) | *εἰ*] *ἐὰν* V U: *ἢ* C^r: < Syr | *ἀπόλλυσθαι* C^r | *τὸ πᾶν* < S **6** *ὁ μὲν*] *ὅμως ὁ* C^r | *Χριστὸς*] S Syr: *κύριος* V U | *ὁ οὐρανὸς παρελεύσεται* (transierunt Syrc) *ἔφη καὶ ἡ γῆ* S Syr **7** *ὁ προφ. δὲ πάλιν* S | *ἀπολέσθαι* V | *μὲν* U 128^v: < S **8** *παλαιωθ.*] *λέγει* + S | *ἐπειδὴ ἔθος* U **9** *λέξομεν* < S | *καὶ — καταστάσεως* Z. 10 < S | *ἐνδοξοτέραν* V U (übergeschr. *ον*) **9f** *ἀπὸ τ. τ. καταστάσεως*] *ἀποκατάστάσεως* (übergeschr. *ιν*) *ταύτης* U **10** *τούτου τοῦ* S | vor *οἷον* et quidem id ita intelligendum est Syr **11** *ἀπολλομένου* C^r | *εἰς τὸ* < S | *τὸ* < C^r | *φαιδρότατον* V U, viell. S: *φαιδρότερον* C Dd | *ἁπάντων*] *καὶ κρεῖττον* (*κρείττονα*) S **12** *ἐξαλλαγὴν* S 88 | *ἢ ἀτοπία* < S | *θείοις*] *ἁγίοις* w. e. sch. S **13** *παράγει* Cc 104 | *γάρ, φησίν* S | *τούτου*] *του* C^r | *καὶ* < C^r **14** *οὕτως*] *τοῦτο γὰρ* S | *πρὸς*] *εἰς* C^r **15** *ἔσθ' — εὐμορφότερον* < S | *εὐμορφώτερον* V U Cc | *τοῦ πρόσθεν σχήμ.* < S | *ἔμπροσθεν* C^r u. Cc am Rand

οἷον ὥσπερ ὁπόταν τις ἀπώλειαν λέγοι τοῦ κατὰ τὸν νήπιον σχήματος
τὴν »εἰς« τὸν »ἄνδρα« τὸν »τέλειον« μεταλλαγήν, τρεπομένης εἰς
μέγεθος καὶ κάλλος τῆς ἡλικίας τοῦ νηπίου. »ὅτε γὰρ ἤμην νήπιος,
ὡς νήπιος ἐλάλουν, ὡς νήπιος ἐφρόνουν, ὡς νήπιος ἐλογιζόμην· ὅτε
δὲ γέγονα ἀνήρ, κατήργηκα τὰ τοῦ νηπίου«. ταραχθήσεσθαι μὲν γὰρ 3
τὴν κτίσιν, ὥσπερ τεθνηξομένην κατὰ τὴν ἐκπύρωσιν, ἵνα καὶ
ἀνακτισθῇ, οὐ μὴν ἀπολεῖσθαι προσδοκητέον, ὅπως οἱ ἀνακαινο-
ποιηθέντες ἐν ἀνακαινοποιηθέντι τῷ κόσμῳ ἄγευστοι λύπης κατοι-
κήσωμεν, κατὰ τὸ λεχθὲν »ἐξαποστελεῖς τὸ πνεῦμά σου, καὶ κτισθή-
σονται« ἐν ἑκατοστῷ τρίτῳ ψαλμῷ »καὶ ἀνακαινιεῖς τὸ πρόσωπον
τῆς γῆς«, τοῦ περιέχοντος τῆς εὐκρασίας ἐπιτροπεύοντος λοιπὸν τοῦ
θεοῦ. ἐσομένης γὰρ καὶ μετὰ τοῦτον τὸν αἰῶνα γῆς ἀνάγκη πᾶσα 4
ἔσεσθαι καὶ τοὺς οἰκήσοντας, οὐκέτι τεθνηξομένους ἢ γαμήσοντας καὶ
γεννησομένους, | ἀλλ' ὡς ἀγγέλους ἀμεταστρόφως ἐν ἀφθαρσίᾳ τὰ 556
ἄριστα πράξοντας. διὸ ληρῶδες τὸ Ἐν ποίᾳ διαγωγῇ τότε δὴ τὰ

2 vgl. Ephes. 4, 13 — **3** I Kor. 13, 11 — **8** vgl. S. 283, 17f — **9** Psal. 103, 30 — **13** Mt. 22, 30. Mark. 12, 25 — **15** vgl. De res. I, 8, 7 S. 229, 26ff

15—S. 307, 20 S. Parall. 424 S. 172ff Holl

1 ὁπόταν — λέγοι < S | ὁπ. εἴ τις C | λέγοι UC: λέγειν V: λέγῃ Jh | τοῦ — μεταλλαγήν Z. 2] »wie auch die Gestalt des Kindes in eine bessere, nämlich die des Mannes, sich verändert« S | τοῦ: τῆς U | κατὰ τοῦ U, κατὰ τὸ C **3** τοῦ νηπίου < S | ὅτε — νηπίου Z. 5 < C | ἤμην, φησίν S **4** ὡς νήπ. ἐλάλουν < S | ὡς νήπ. ἐλογιζ.] »usw.« S **4f** ὅτε δὲ: καὶ ὅτε S **5** τὰ τοῦ νηπ. κατήργησα U | τά|ραχθήσ. V 365ᵛ | παραχθήσεσθαι Cʳ Kl; aber nicht die Welt, sondern ihr σχῆμα soll ja vergehen | μὲν < S **6** κατὰ] μετὰ Cʳ | καὶ < U **7** ἀνακαινισθῇ Jh mit Combefis | ἀπολέσθαι Cʳ | ὅπως] ὅτι ὡς V **8** ἐν ἀνακαινοποιηθέντι < VCʳ | ἐν < Cᶜ | τῷ + V | ἄγευστοι λύπης: »ohne alles Böse und Leid« S **8f** κατοικήσομεν V, κατοικήσονται λοιπὸν S **9** ἢ κατὰ U | σου] svoi: sii S **9f** καὶ κτισθ.] κεκτισθήσονται V **10** ἐν — ψαλμῷ < CS **11** τοῦ περιέχοντος < S | ἐπιτροπεύσαντος U **12** ἐσομένης U 129 | καὶ < S | ἀνάγκη δὲ Cᶜ | πάσας V: < S **13** οὐκ ἐπιτεθνηξομένους V | ἢ — γεννησομένους Z. 14 < S | ἢ < C **13f** καὶ γεννησομένους < Cʳ: καὶ τεθνηξομένους V **14** ἀμεταστρόφος S 88ᵛ | ἐν ἀφθαρσίᾳ < S **15** πράξαντας V. Es endet C | ληρῶδες] es beginnt C in C Bl. 81 u. R 89ᵛ (nach ἀμέμπτως ἀρεστόν c. 44, 1; in C Lemma ἐκ τοῦ αὐτοῦ, in R unmittelbar angeschlossen) | vgl. I, 8, 7 | ληρωδία δὲ Cʳ | οὖν τότε δεῖ V

σώματα ἔσονται λέγεσθαι, μήτε ἀέρος μήτε γῆς μήτε τῶν ἄλλων
ἐσομένων.
II. Ἄξιον δὲ κἀκεῖνο πρὸς τοῖς εἰρημένοις ἐπισκοπεῖν, ὡς ἔχει
πολλὴν διάπτωσιν, εἰ δεῖ παρρησίαν ἄγειν περὶ τηλικούτων, ὦ Ἀγλα-
οφῶν, διαλεγομένους πραγμάτων. φράσας γὰρ ἀποφήνασθαι τὸν
κύριον ὡς οἱ τῆς ἀναστάσεως τευξόμενοι ἔσονται τότε »ὡς ἄγγελοι«,
ἔνθα πειράζουσιν αὐτὸν οἱ Σαδδουκαῖοι, ἐπέφερες· Οἱ δὲ ἄγγελοι
ἐκτὸς ὄντες σαρκὸς ἐν μακαριότητος ἀκρότητι διὰ τοῦτο καὶ δόξης
εἰσίν, καὶ ἡμᾶς δὲ ἄρα ἐξισάζεσθαι μέλλοντας ἀγγέλοις ἀνάγκη δὴ
σαρκῶν ὡσαύτως ἐκείνοις γυμνοὺς ἔσεσθαι δεῖν, οὐκ ἐπιστήσας, ὦ
ἄριστε, ὡς ὁ ποιήσας καὶ διακοσμήσας ἐξ οὐκ ὄντων τὸ πᾶν τὴν
τῶν ἀθανάτων φύσιν οὐ μόνον εἰς ἀγγέλους καὶ λειτουργοὺς δια-
νείμας διεκόσμησεν, ἀλλὰ καὶ εἰς ἀρχὰς καὶ θρόνους καὶ ἐξουσίας.
ἄλλο γὰρ γένος τὸ τῶν ἀγγέλων καὶ ἄλλο τὸ τῶν ἀρχῶν καὶ ἐξου- 2
σιῶν, ὅτι μὴ τάγμα ἓν καὶ μία σύστασις καὶ φυλὴ καὶ πατριὰ τῶν
ἀθανάτων, ἀλλὰ γένη καὶ φυλαὶ καὶ διαφοραί. καὶ οὔτε τὰ Χερουβὶμ
τῆς ἰδίας ἐξιστάμενα φύσεως εἰς τὴν τῶν ἀγγέλων ἰδέαν μετασκευά-
ζονται, οὔτε εἰς ἑτέραν πάλιν οἱ ἄγγελοι. εἶναι γὰρ αὐτὰ χρὴ

7 vgl. De res. I, 7, 3 S. 228, 15f — **10** vgl. Plato Krat. 403 B. vgl. I, 29, 2. III, 18, 1. 5 — **11** Hermas II, 1, 1 — **12** vgl. Hebr. 1, 7 — **13** vgl. Kol. 1, 16 — **14** vgl. Symp. 7, 3 S. 73, 21f

1 ἔσεσθαι V | λέγ. < Syr | ἄλλων: schwerlich ἄστρων wie 8, 7 S. 229, 28 **2** ἐσομένων] es endet Syr **3** δέ ἐστιν C **4** εἰ δεῖ] εἴδη V, ἔδει C: δεῖ τοίνυν S | τηλικ.] τούτων V U C[r] | ὦ < C[r] **5** διαλεγόμενος πραγμάτων U: < C **6** ὡς οἱ etc.: »von den Auferstehenden, daß sie« S | ἔσοιντο C[c] | τότε < S C **7** ἔνθα — ἐπέφερες < S, aber + ἐν τοῖς οὐρανοῖς | οἱ vor Σαδδ. < C | ἐπέφερεν U: ἐπέφερες οὖν C[r] **8** σαρκῶν C **9** καὶ < V | ἀνάγκη — γυμνοὺς Z. 10 < C[c]: ἀγγέλους C[r] **10f** ὦ ἄριστε, ὡς] ὡς ἀριστέως V **11** ἐξ iz: ne S **12** εἰς ἀγγ.] ἰσαγγέλους V | καὶ i: se S **13** ἐκόσμησεν V: αὐτήν + S | ἐξουσίας καὶ θρόνους CS **14** τὸ < V | ἀγγ.] ἀρχῶν U | ἀρχῶν καὶ vor ἐξουσιῶν + C[r] Jh Dd **14f** ἐξουσ.] θρόνων S **15** ὅτι] »denn wie« S | σύστ.] »Vereinigung und Versammlung« (S9) w. e. sch. S (»Verein. und« sŭstav i od. »der Verein.« sŭstavjn: pitavyi S) | κ. φυλὴ κ. πατρ. < S | πατρ.] φθαρτρία V (dah. φατριὰ Dd, aber vgl. S. 73, 21) **15f** τῶν ἀθαν.] τῶν ἀγγέλων τουτέστι τῶν ἀθαν. S **16** ἀλλὰ — διαφοραί] »nicht, sage ich, Eine Klasse, noch Geschlecht, sondern verschiedene« S | καὶ γένη C | γέ|νη V 366 | καὶ[3]] οὕτως δὲ οὖν S **17** εἰδέαν V U: < S **18** οὔτ᾽ αὖ πάλιν ε. ἕ. C | ἑτέραν C S: ἑτέρων V U | εἶναι — γεγόνασιν S. 303, 1 < S

καὶ ὅ εἰσι καὶ ὃ γεγόνασιν. ἀτὰρ καὶ ὁ ἄνθρωπος τὸν κόσμον οἰκεῖν 3
*καὶ τῶν ἐν αὐτῷ πάντων ἡγεμονεύειν κατασταθείς, τῆς ἐξ ἀρχῆς
διακοσμήσεως ἀθάνατος ὤν, τοῦ εἶναι ἄνθρωπος οὔποτε μεταβλη-
θήσεται, οὔτε εἰς τὴν τῶν ἀγγέλων οὔτε εἰς τὴν τῶν ἑτέρων μορφήν,
ὅτι μηδὲ οἱ ἄγγελοι εἰς τὴν τῶν ἄλλων τῆς ἐξ ἀρχῆς ἰδέας μετα-
κοσμούμενοι μεταβάλλονται. ὁ γὰρ Χριστὸς ἧκεν οὐκ εἰς ἑτέραν
μορφὴν πλασθῆναι κηρύσσων ἢ μετασκευασθῆναι τὴν ἀνθρωπείαν
φύσιν, ἀλλὰ εἰς ὃ ἦν ἐξ ἀρχῆς πρὸ τοῦ ἐκπεσεῖν, ἀθάνατος ὤν. χρὴ* 4
*γὰρ ἐν τῷ ἰδίῳ τῆς ἕξεως αὐτοῦ τύπῳ τῶν γενητῶν ἕκαστον μένειν,
ἵνα πάντα πάντων ὦσι πεπληρωμένα, οὐρανοὶ μὲν ἀγγέλων, θρόνοι
δὲ ἐξουσιῶν, φῶτα δὲ λειτουργῶν, καὶ οἱ θειότεροι τόποι καὶ τὰ
ἀκράτητα καὶ ἀκραιφνῆ φῶτα τῶν Σεραφίμ, ἃ παρεστήκασι τῇ με-
γάλῃ βουλῇ διακρατούσῃ τὸ πᾶν, ὁ δὲ κόσμος ἀνθρώπων. | ἐὰν δὲ* 557
*μεταβάλλεσθαι δῶμεν τοὺς ἀνθρώπους εἰς ἀγγέλους, ὥρα μεταβάλλε-
σθαι λέγειν καὶ τοὺς ἀγγέλους εἰς ἐξουσίας, καὶ ταύτας εἰς ἄλλο καὶ
ἄλλο, ἔστ᾽ ἂν ὁ λόγος ἀναβὰς εἰς κίνδυνον ἐμπέσῃ.*

L. *Ἀλλ᾽ οὔτε ὡς φαῦλον τεκτηνάμενος ὁ θεὸς τὸν ἄνθρωπον, ἢ διαμαρτήσας αὐτοῦ περὶ τὴν διάπλασιν, ἄγγελον αὐτὸν ὕστερον ἐπενόησε ποιῆσαι, μεταγνούς, ὥσπερ οἱ φαυλότατοι τῶν δημιουργῶν,*

12 vgl. Jes. 6, 2

1 *καὶ ὅ* U 129^v | *ἀτὰρ*] *εἰ γὰρ* U | *οἰκεῖν*] *οἰκεῖν κατασταθεὶς* S **2** *κατασт.*] *ταχθεὶς* C | *ἐξ* < C **3** *διακοσμήσεως* < C^r **4** *τὴν τ. ἑτέρ.*] *ἑτέραν τινὰ* übersetzt, aber las schwerl. S **5** *τῶν* < U | *τῆς — μετακοσμ.* Z. 5f] *τάγμα* S | *εἰδέας* V U **5f** *μετακοσμουμένην* C^r **6** *ὁ γὰρ* C^c 81^v | *ἧκεν*] *ἦλθεν* C^r | *οὐκ* C^r 90 **7** *μορφ. πλασθ.*] *μεταπλασθῆναι* U C | *πλασθῆναι . . ἢ* < S **7f** *τὴν ἀνθρ. φύσιν*] *τὸν ἄνθρωπον φύσιν* C: *τὸν ἄνθρωπον* S **8** *ἀλλ᾽* C | *εἰς* < S | *ἐξ ἀρχῆς* < S | *ὢν* < S | *χρῆναι* V C **9** *ἕξεως* U C: *τάξεως* V, viell. auch S | *ἑαυτοῦ* U: *αὐτῶν* C^r | *τύπῳ*] *τόπω* C S | *γεννητῶν* C^r **10** *εἰσὶ* V | *οἱ οὐρανοὶ* C **11f** *τὰ ἀκρ. . . φῶτα* = vsevelicii světi: vsilicii svjatii S **12** *ἀκράτ.* C^r S: *ἄκρα τὰ* V, *ἀκρα* C^c: *ἀκρατ. καὶ* < U | *καὶ ἀκραιφνῆ* < S: *αιφ* auf Rasur C^c | *ἀκρεφνῆ* U | *ἃ παρεστ.*] *ἅπερ ἑστήκασι* V C^r: *ἃ παρεστήκασιν* C^c **13** *διακρατοῦντα* C^r: S 89^v **14** *εἰς ἀγγ.*] *ἰσαγγέλους* V **15** *λέγειν*] *δοῦναι* V Dd Jh | *ταῦτα* V **15f** *καὶ ἄλλο* < V C **16** *ἔστ᾽ ἂν*] *εἶτα* viell. S: *καὶ* + C^r | *κίνδ.*: »Sünde« S | *πέσῃ* V C, *ἐκπέσῃ* S **17** *ἀλλὰ* V | *ὡς φαῦλόν τινα* S | *ὁ θεὸς* < S **18** *ἢ διαμαρτ. — μεταγνούς* Z. 19] »und e. unvollkommene Creatur« S | *πλάσιν* C^r **19** *μεταγν. ποιῆσαι* C^r | *φαυλότατοι*] »unzureichenden und ungeschickten« S | *δημ.*] *ποιήσας τὸν ἄνθρωπον εἰς τὸ τῶν ἀγγέλων τάγμα μεταβάλλειν* + S

οὔτε ἄγγελον κατ᾽ ἀρχὰς θελήσας ποιῆσαι καὶ μὴ δυνηθεὶς ἄνθρωπον
ἔπλασεν. ἀσθενὲς τοῦτο γάρ. τί δήποτε οὖν τὸν ἄνθρωπον ἄνθρω- 2
πον ἐποίει καὶ οὐκ ἄγγελον, εἴ γε ἄγγελον τὸν ἄνθρωπον καὶ οὐκ
ἄνθρωπον γενέσθαι ἤθελεν; ὡς οὐ δυνάμενος; βλάσφημον. ἀλλὰ
ἀνεβάλλετο περὶ τοῦ κρείττονος τὸ χεῖρον ποιῶν; καὶ τοῦτο ἄτοπον.
οὔτε γὰρ διασφάλλεται περὶ τὸ ποιεῖν τὸ καλὸν οὔτε ἀναβάλλεται
οὔτε ἀδυνατεῖ, ἀλλὰ καὶ ὡς θέλει καὶ ὅτε θέλει τὸ δύνασθαι ἔχει,
δύναμις ὤν. οὐκοῦν εἶναι τὸν ἄνθρωπον ἄνθρωπον θέλων ἐξ ἀρχῆς 3
ἔκτισεν. εἰ δὲ θέλων, θέλει δὲ τὸ καλόν, καλὸν δὲ ὁ ἄνθρωπος,
ἄνθρωπος δὲ τὸ ἐκ ψυχῆς καὶ σώματος λέγεται συντεθέν, οὐκ ἔσται
ἄρα ἐκτὸς σώματος ὁ ἄνθρωπος, ἀλλὰ μετὰ σώματος, ἵνα μὴ ἄλλος
ἄνθρωπος παρὰ τὸν ἄνθρωπον γενηθῇ. δεῖ γὰρ τῷ θεῷ τὰ ἀθά- 4
νατα γένη πάντα σῴζεσθαι, ἀθάνατον δὲ καὶ ὁ ἄνθρωπος· »ἔκτισε« γάρ
φησιν ἡ Σοφία »τὸν ἄνθρωπον ὁ θεὸς ἐπὶ ἀφθαρσίᾳ, καὶ εἰκόνα
τῆς ἰδίας ἀϊδιότητος ἐποίησεν αὐτόν«. οὐκ ἄρα ἀπόλλυται τὸ σῶμα·
ὁ γὰρ ἄνθρωπος ἐκ ψυχῆς καὶ σώματος.

LI. *Διὸ* ἐπίστησον ὡς καὶ ὁ κύριος τὰ αὐτὰ ταῦτα διδάσκειν θέλων, μὴ πιστευόντων Σαδδουκαίων εἰς τὴν ἀνάστασιν τῆς σαρκός· δόγμα γὰρ τοῦτο Σαδδουκαίων· ὅθεν συσκευασάμενοι τὴν κατὰ τὴν

4 vgl. De autex. 11, 8 S. 175, 4f — **10** vgl. Plato Epin. 981 A. De res. I, 34, 4. Justin De res. 8 (S. Parall. 107, 285ff S. 45f Holl). Tert. De res. 40 — **13** Weish. Sal. 2, 23 — **18** vgl. Orig. In Matth. Tom. 17, 29. 33. IV, 144. 159 Lomm.

9 Justinian Ad Men. PGr 86, 953

1 *οὐτ᾽ ἂν* C: »oder« S | *θελήσας*] *αὐτὸν* + S | *μὴ δυνηθεὶς*] *οὐκ ἐδύνατο* w. e. sch. S | *ἄνθρ. ἔ.* < S **2** *ἀσθενὲς* (U 130) *τοῦτο γάρ*] »denn böse ist diese Rede« S | *οὖν*] *οὐχὶ* C **2f** *ἄνθρωπον* vor *ἐποίει* < U C^{r} S **3** *εἰ γε*] *εἴτε* C^{r} **3f** *ἄγγελον κ. οὐκ ἄνθρ. τὸν ἄνθρωπον γεν.* C **4** *ἠθέλησεν* U | *οὐ* < C | *ἀλλ᾽* C **5** *κρείτ|τον* V 366^{v} | *χείρω* V **6** *τὸ*] *τοῦ* C^{r} **7** *καὶ ὅτε θέλει* < V **8** ein *ἄνθρωπον* < S **9** *ὁ* < C **10** *ἄνθρ. δὲ*] es beginnt auch C^{k} Bl. 26. Lemma *ἐκ τοῦ αὐτοῦ λόγου* (nach I, 35, 2) | *λέγεται* vor *τὸ* C^{r} | *ἔσται* S 90 **11** *ἐκτὸς τοῦ σ.* und *μετὰ τοῦ σ.* C **11f** *ἄλλος παρὰ τὸν ἄνθρ., ὁ* (C^{k} 26^{v}: < C^{c}) *ἄνθρωπος* C **11** *ἄλλο* C^{k} **12** *γεν.* V Holl: *γεννηθῇ* U C^{r} | *δεῖ* C^{c} 82 **13** *πάντα γένη* C | *σῴζεσθαι*] *αὔξεσθαι* C^{c} C^{r} | *ἀθάν. δὲ ὁ ἄνθρ.* < U | *καὶ* + V **14** *ὁ θεὸς* nach *γὰρ* Z. 13 C^{c} C^{r} **15** *ἐποίησεν αὐτόν* < S **16** *σώματος*] C^{k} endet **17** *ἐπίστησον ὡς* < S | *καὶ* < U C | *τὰ αὐτὰ* < S | *ταῦτα* < C: *τοῦτο* übersetzt S **18** *εἰς — Σαδδουκαίων* Z. 19 < C **19** *συσκευασάμενον* las schwerl. S (sŭvěštano [slovo] wohl aus sŭvěštany [slovo]), aber + *τὸν λόγον*

γυναῖκα καὶ τοὺς ἑπτὰ ἀδελφοὺς παραβολήν, ἵνα τὸν περὶ ἀναστά-
σεως τῆς σαρκὸς λόγον ἀπορήσωσι, προσῆλθον αὐτῷ· ἀμέλει αὐτὸς
ὁ εὐαγγελιστὴς ἐπεσημήνατο »προσῆλθον δὲ αὐτῷ« εἰπὼν »καὶ Σαδ-
δουκαῖοι, λέγοντες μὴ εἶναι ἀνάστασιν«. ὁ οὖν Χριστός, εἰ μὴ ἦν 2
ἀνάστασις σαρκός, ἀλλὰ μόνον ἐσῴζετο ἡ ψυχή, συνέθετο ἂν αὐτοῖς
ὡς καλῶς καὶ ὀρθῶς φρονοῦσι. νυνὶ δὲ ἀποκρούεται λέγων »ἐν τῇ
ἀναστάσει οὔτε γαμοῦσιν οὔτε γαμίσκονται, ἀλλ᾽ ὡς ἄγγελοι ἐν οὐρανῷ
εἰσιν«. οὐ τῷ σάρκα μὴ ἔχειν, ἀλλὰ τῷ μὴ γαμεῖν καὶ γαμεῖσθαι, | ἀλλ᾽ 558
εἶναι λοιπὸν ἐν ἀφθαρσίᾳ καὶ φωτί· ἀγγέλοις κατὰ τοῦτο παρα-
πλησιάζοντες, ἵν᾽ ὥσπερ οἱ ἄγγελοι ἐν τῷ οὐρανῷ, οὕτως καὶ ἡμεῖς
ἐν τῷ παραδείσῳ, μὴ γάμοις ἢ εἰλαπίναις ἔτι σχολάζοντες, ἀλλὰ τῷ
βλέπειν τὸν θεὸν καὶ γεωργεῖν τὴν ζωὴν πρυτανεύοντος ἡμῖν τοῦ
Χριστοῦ. οὐ γὰρ εἶπεν Ἔσονται ἄγγελοι, ἀλλ᾽ »Ὡς ἄγγελοι«, οἷον 3
»δόξῃ« μὲν »καὶ τιμῇ«, κατὰ τὸ γεγραμμένον, »ἐστεφανωμένοι, βραχὺ
δέ τι παρὰ τοὺς ἀγγέλους« διαλλάσσοντες καὶ ἐγγὺς ὄντες τοῦ εἶναι
ἄγγελοι. καθάπερ εἰ ἔλεγεν, οὔσης εὐταξίας κατὰ τὸν ἀέρα καὶ γα-

3 Mt. 22, 23 — **6** Mt. 22, 30 — **11** vgl. Plato Axioch. 371 D — **14** Psal. 8, 6 — **16** vgl. Symp. S. 85, 12f

1 *παραβ.*] *ἐποίησαν* w. e. sch. + S **1f** *τὸν . . λόγον* < S **2** *τῆς* < C | *ἀπορήσωσι* U C (vgl. Orig. In Mt. 17, 29f), wohl verderbt: *ἀποκηρύσσουσι* V, *ἐπερῶσι* S, *ἀπολέσωσι* Md, schwerl. *ἀποκρούωσι* | *προσῆλθον — αὐτὸς*] *ὅθεν καὶ* S | *ἀμέλει — αὐτῷ* Z. 3 < U **2f** *ἀμ. ὁ αὐτὸς εὐαγγ.* C **3** *ἐπεσημ. — αὐτῷ* < S | *δὲ* < C | vor *εἰπὼν* + *ἀμέλει* C^r | *εἰπὼν*] *φησι* U S (*εἶπεν*? S) | *καὶ* < S C **3f** *Σαδδ. γὰρ λέγουσι* S **4** *ἀνάστ. μὴ εἶναι* U C^r | *ὁ δὲ Χρ.*? S **4f** *ἀνάστασις τῆς σαρκὸς ἦν* C **5** *ἀλλὰ* U 130^v | *μόνον*] »nur allein« S | *ἡ* < U C^c | *αὐτοῖς* < S^b **6** *καὶ ὀρθῶς* < S **6** *ἀποκρ.* C S (»weist ab«): *ἀποκρίνεται* V U C^r **7** *ἀναστ.*] *τῶν νεκρῶν* + C^r | *γαμίσκονται* V U: *ἐκγαμίσκονται* C, »geben zu freien« S | *ἐν οὐρανοῖς* las schwerl. hier stets S **8** *τῷ . . τῷ*] *τὸ . . τὸ* C | *τῷ*^{2}] *τὸ* V | *μὴ τῶ*(v. sp. Hd. aus *τὸ*) *γαμεῖν* C^r | *κ. γαμίσκεσθαι* C: < S | *ἀλλὰ* U: S 90^v **9** *καὶ φωτί* S: *κ. φῶς ἵν᾽* V, *καί φησὶν* U: < C | *κατὰ τοῦτο* < V **9f** *παραπλ.* Md: *παραπλησιασθέντας* V U: *πλησιασθέντες* C^c, *πλησιάζοντας* C^r **10** *ἵνα* C^r | *ἐν οὐρανῷ* C | *οὕτω* C^c **10f** *ἐν τ. παρ. καὶ ἡμεῖς* C **11** *μὴ γάμοις* < C | *μὴ*] *μήτε* V U | *ἢ εἰλαπίναις — Χριστοῦ* Z. 13 < C^r | *ἢ εἰσιλαπίνες* V, *ἢ εἰλαπίναις* C: *μήτε εἰλαπ.* Dd: < S | *ἔτι* < S | *σχολάζωμεν* Jh | *τῷ* Pet] *τὸ* V C^c, *τοῦ* U **12** *τὸν θ.* V 367^a | *γεωργεῖν — Χριστοῦ* Z. 13] »zu leben in Ewigkeit« S | *ἡμῶν* V C **13** *οἷον — ἄγγελοι* Z. 16 < C **14** *μὲν* < S | *κατὰ τὸ γεγρ.* < S **16** *εἰ ἔλεγεν*] *γὰρ* S **16f** *κ. γαλ. καὶ νυκτὸς* U Dd

λήνης νυκτὸς καὶ πάντων τῷ τῆς σελήνης αἰθερίῳ φωτὶ κεκοσμη-
μένων, Ἡ σελήνη φαίνει ὡς ὁ ἥλιος, καὶ οὐ πάντως ἂν ἥλιον εἶναι
τὴν σελήνην ἀπομαρτυρεῖν αὐτὸν ἐλέγομεν, ἀλλ' ὡς ἥλιον· ὥσπερ
καὶ τὸ μὴ ὑπάρχον χρυσός, ἐγγὺς δὲ τοῦ εἶναι χρυσὸς πεφυκός, ὡς
χρυσὸς λέγεται καὶ οὐ χρυσός (εἰ δὲ ἦν χρυσός, οὐκ ἐλέγετο ἂν ὡς
χρυσός, ἀλλὰ χρυσός· ἐπεὶ δὲ μὴ ἔστι χρυσός, ἀλλὰ ⟨ἐγγὺς⟩ τοῦ εἶναι
χρυσὸς καὶ φαντάζεσθαι τὸν χρυσόν, οὐ χρυσός, ἀλλ' ὡς χρυσὸς
λέγεται)· οὕτως καὶ ὡς ἀγγέλους ἔσεσθαι λέγοντος τοὺς ἁγίους ἐν τῇ 4
ἀναστάσει, οὐκ αὐτὸ τοῦτο ἀγγέλους αὐτὸν ἐπαγγέλλεσθαι ἀκούομεν
τοὺς ἁγίους ἔσεσθαι ἐν τῇ ἀναστάσει, ἀλλὰ ἐγγὺς τοῦ εἶναι ἀγγέλους.
ὥστε ἀλογώτατον λέγειν, ἐπειδὴ ὁ Χριστὸς ἀπεφήνατο τοὺς ἁγίους
ὀφθῆναι ὡς ἀγγέλους ἐν τῇ ἀναστάσει, τὰ σώματα διὰ τοῦτο ταῦτα
μὴ ἀνίστασθαι, καίτοι τῆς λέξεως αὐτὴν τὴν τάξιν δηλούσης σαφῶς
τοῦ συμβαίνοντος. ἀνάστασις γὰρ οὐκ ἐπὶ τοῦ μὴ πεπτωκότος, ἀλλ' 5
ἐπὶ τοῦ πεπτωκότος λέγεται καὶ ἀνισταμένου· ὥσπερ ὁπόταν λέγῃ
καὶ ὁ προφήτης »καὶ ἀναστήσω τὴν σκηνὴν Δαυὶδ τὴν πεπτωκυῖαν«.

14 De res. I, 52, 1. 53, 3. III, 5, 7. 14, 5. Justin De res. 10 (S. Parall. 109, 1ff S. 48 Holl). Iren. V, 12, 3. Tert. De resurr. 18. Adv. Marc. V, 9. z. B. Orig. De princ. S. 173, 21 Koetschau. Petr. Alex. (Pitra Anal. s. IV, 193 [429]) — **16** Amos 9, 11

14f Syr Pitra Anal. s. IV, 202 (435); vgl. Aphraates hom. 8 (Texte u. Unters. III, S. 131 übersetzt von Bert)

1 *νυκτὸς — ὡς ἥλιον* Z. 3] »da auch der Mond in der Nacht scheint, indem er voll ist, wir sagen: ›Er scheint wie die Sonne‹, aber nicht ›die Sonne‹« S | *τῷ*] *τῶν* VU **2** *ὁ* < C **3** *λέγομεν* U C S: *λέγωμεν* C[r] 90[v] **4** *κ. τὸ μὴ ὑπάρχ.*] »wenn etwas wie« S | *ἐγγὺς — πεφυκός* hinter *οὐ χρυσός* Z. 5 C[r] | *δὲ* < C **5** *λέγ.*] *ἐστιν, λέγομεν* S | *καὶ οὐ χρυσός* < S | *εἰ δὲ — λέγεται* Z. 8 < C | *ἐλέγομεν* S **6** *ἐπεὶ δὲ — λέγεται* Z. 8 < S | *ἀλλὰ* U 131 | *ἐγγὺς* + Pet **7** *οὐ χρυσός, ἀλλ'* < U **8** *οὕτω* U | *ὡς ἀγγέλους* < S | *λέγοντα* C[c], *λέγοντας* C[r] **9** *οὐκ αὐτὸ — εἶναι ἀγγέλους* Z. 10] »nicht Engel, sagt er, daß sie (gle im: glem S) sein werden, sondern wie Engel« S | *οὐκ* C[c] 82[v] | *αὐτὸν* < C | *ἀκούομεν — ἀναστάσει* Z. 10 < C **10** *ἐν τῇ ἀναστ. ἔσεσθαι* U | *ἀλλ'* C **11** *ὥστε ἀλογ.*] *ἀλογ. γάρ τὸ* C **11f** *τ. ἁγ. ἀπεφ. ὀφθῆναι* V, *ἀπεφ. ὀφθῆναι* (*ὠφθῆναι* C[c]) *τ. ἁγ.* C **12** *τὰ σώματα — ταῦτα*] *τὸ σῶμα* S | *ταῦτα διὰ τοῦτο* C **13** *τάξιν* V: *πρᾶξιν* U C[c], *παράδειξιν* C[r], »jenes« S | *σαφῶς* < S C[r] **14** *ἀνάστασις — ἀνισταμένου* Z. 15] Syr Pitra aus Brit. Mus. addit. 14532 Bl. 51[r]b. 12155 Bl. 70[r]a u. 123[r]a. 12156 Bl. 70[r] **14f** *ἀλλ' ἐπὶ τοῦ πεπτ.* < C[r] **15** *καὶ ἀνισταμένου* < S | *ὥσπ. καὶ ὁπ.* C: S 91 | *λέγει* U (»sagt« v. 1. od. 2. Hd. ergänzt S[a]) **16** *καὶ*[1] < C | *πεπτωκίαν* C

ἔπεσε δὲ ὀκλάσασα ἡ ποθητὴ σκηνὴ τῆς ψυχῆς »εἰς γῆν χώματος«. οὐ γὰρ τὸ μὴ θνῆσκον, ἀλλὰ τὸ θνῆσκον κλίνεται. θνῆσκει δὲ σάρξ· ψυχὴ γὰρ ἀθάνατος. καὶ τοίνυν εἰ ἡ ψυχὴ ἀθάνατος, σῶμα δὲ ὁ 6
νεκρός, οἱ λέγοντες ἀνάστασιν μὲν εἶναι, σαρκὸς δὲ μὴ εἶναι, ἀρνοῦνται μὴ εἶναι ἀνάστασιν, ὅτι μὴ τὸ ἑστός, ἀλλὰ τὸ πεπτωκὸς καὶ κλιθὲν διανίσταται, κατὰ τὸ γεγραμμένον »μὴ ὁ πίπτων οὐκ ἀνίσταται, ἢ ὁ ἀποστρέφων οὐκ ἀναστρέψει;« |

LII. Ὅτι δὲ ἀθάνατος ἡ ψυχὴ ἐδίδαξεν ἀναφανδὸν Χριστὸς καὶ 559
δι' ἑαυτοῦ καὶ διὰ Σολομῶνος εἰπών· δι' ἑαυτοῦ μὲν ἐν τῇ κατὰ τὸν πλούσιον καὶ τὸν πένητα Λάζαρον ἱστορίᾳ, τὸν μὲν ἐν κόλποις Ἀβραὰμ δοὺς ἀναπαύεσθαι μετὰ τὴν ἀπόθεσιν τοῦ σώματος, τὸν δὲ ἐν ἀλγηδόσιν, οἷς διαλεγόμενον τὸν Ἀβραὰμ εἰσήγαγε· διὰ Σολομῶνος δὲ ἐν τῇ ἐπιγραφομένῃ Σοφίᾳ, ἔνθα »δικαίων αἱ ψυχαὶ ἐν χειρί« γέγραπται »θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ, καὶ ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης«. ὅθεν σώματος ἡ ἀνάστασις, καὶ οὐ ψυχῆς. οὐ γὰρ τὸν ἑστῶτά τις ἀνίστησιν, ἀλλὰ τὸν κείμενον, ὥσπερ οὐδὲ τὸν ὑγιαίνοντα θεραπεύουσιν, ἀλλὰ τὸν πάσχοντα.

1 Dan. 12, 2. Symp. 9, 2 S. 116, 11f. De res. II, 18, 3. 21, 2 — 6 Jerem. 8, 4 — 10 Luk. 16, 19ff — 13 Weish. Sal. 3, 1—4 — 17 De res. I, 51, 5 — 19 vgl. Mt. 9, 12 (Mk. 2, 17. Luk. 5, 31)

1 *ὀκλάσασα*] *ἁμαρτήσασα* las schwerl. S (sŭgrěšjšisja vielmehr wohl aus sŭkrušjšisja »eingestürzt«) | *ἡ καλὴ καὶ ποθητὴ* S: *παθητὴ* Pet Dd Jh | *σκηνὴ*] *μὴ οὖν* C[r] | *χώματος*] *σώματος* V 2 *τὸ γὰρ θνῆσκον, ἀλλ' οὐ τὸ μὴ θν.* S | *ἡ σάρξ* U 3 *γὰρ*] *δὲ* C | *καὶ — ἀθάνατος* < V | *εἰ* < S | *σῶμα δὲ*] těložе: těmže (»daher«) S 4 *μὲν εἶναι . . δὲ* < S 5 *μὴ εἶναι* < U S | *ἀνάστασιν* V 367[av] | *τὸ ἑστὼς* C 5f *καὶ κληθὲν* U C: < S 6 *κατὰ — πλήρης* Z. 17 < C 7 *ἀναστρέφῃ* V, *ἀναστρέφει* U 8 *ἀναφανδὸν* < S | *Χριστὸς*] *ὁ κύριος* VU 9 *σαλομῶνος* V (auch Z. 12f) 10 *Λάζαρον . . πλούσιον* S | *πένητα* < S 11 *Ἀβραὰμ*] U 131[v] | *δοὺς* < V | *ἀναπαύεσθαι*] »zu zeigen« S, vielleicht *ἀποδεικνύναι* od. eventuell *ἀναπαιδεύεσθαι* | *τοῦ*] *τούτου τοῦ* S 11f *τὸν δὲ ἐν ἀλγ.* < S 12 *ἀλγηδ.*] *αχθηδόσιν* U | *τὸν* vor *Ἀβρ.* < V | *διὰ* < S 12f *σαλομῶνος* V 13 *ἐπιγραφομένῃ* < S 13f *ἔνθα . . γέγρ.*] *φησίν* S 14 *καὶ* < S 15 *κάκοσις* V 16 *ἀφ' ἡμῶν* S 91[v] 17 *ὅθεν σώμ.*] *σώμ. οὖν* C c, *σώμ. μὲν* C[r] 18 *ἀνίστησιν*] *ἐγείρει* C 19 *οὐδὲ τ. ὑγιαίν.*] »nicht den nicht Leidenden« ne neboljaštago: »den nicht Leidenden« neboljaštago S 19f *πάσχοντα*] es endet C

Εἰ δέ τις τὴν ἀνάστασιν ἐπὶ τῆς ψυχῆς, καὶ μὴ ἐπὶ τῆς σαρκὸς 2
βιάζεται [λέγειν] ἔσεσθαι, πολλὴ μὲν μωρία τοῦτο καὶ ἀλογία. δεῖ
γὰρ φθορὰν πρῶτον καὶ λύσιν τὸν τοιοῦτον τῆς ψυχῆς δεικνύ-
ναι, ἵνα δείξῃ δὴ καὶ τὴν ἀνάστασιν ⟨αὐτῆς⟩, μήτοι ληροῦντά
γε, ἀλλὰ σαφῶς λέγοντά τι φαίνεσθαι. ὅμως γοῦν δοτέον αὐτῷ 3
θνητὴν ὁρίσασθαι τὴν ψυχήν. δυοῖν γάρ τοι θάτερον ταύτῃ θετέον,
ἢ ἀληθῆ τὸν κύριον ἀποφήνασθαι ἀθάνατον τὴν ψυχὴν διδάσκοντα,
καὶ ψεῦδος τὸ φθείρεσθαι αὐτὴν λέγειν, ἢ φθείρεσθαι, καὶ ψεῦδος
τὸ ἀνώλεθρον αὐτὴν καὶ ἀθάνατον εἶναι διδάσκειν τὸν Χριστόν,
καὶ ἐν τῇ κατὰ τὸν πλούσιον καὶ τὸν πένητα φράσει, καὶ ἐν τῇ
κατὰ τὸν Μωυσέα καὶ τὸν Ἠλίαν ὀπτασίᾳ. ἀλλ᾽ οὐδὲν ὁ κύριος
ἄλλως ἐφθέγξατο ἢ ἐψεύσατο. οὐ γὰρ εἴδωλον ἢ φάσμα, τοὺς ἀπο-
στόλους βουλόμενος ἀπατᾶν, ἐδείκνυεν αὐτοῖς ἐν τῷ ὄρει τὸν Ἠλίαν
καὶ τὸν Μωυσέα, ἀλλὰ τὸ ὃ ἦσαν ἀψευδῶς, ὥστε, ὡς ἔπος εἰπεῖν,
καὶ τὸν δυσμαθέστατον μαθεῖν ἀθάνατον αὐτὸν εἶναι καὶ ἀνώλεθρον
διαβεβαιοῦσθαι τὴν ψυχήν.

LIII. Οὐκοῦν σαρκὸς ἡ ἀνάστασις γίγνεται καὶ οὐ ψυχῆς, ὅπως »ἡ πεπτωκυῖα τοῦ Δαυὶδ« εἰς τὴν φθορὰν ἀνασταίῃ »σκηνή«. καὶ ἀναστᾶσα καὶ ἀνοικοδομηθεῖσα, »καθὼς αἱ ἡμέραι τοῦ αἰῶνος«, ἀπή-

2 Plato Epin. 983 C E — **11** Mt. 17, 3; vgl. De res. II, 18, 8. III, 5, 4. 12, 5. Tert. De carne Chr. 5 — **15** Plato Epin. 978 E — Plato Phaed. 95 C — **17** Amos 9, 11; vgl. De res. II, 21, 2. 5

1 vor *Εἰ* + »Zu denen, die sagen, daß der Seele ist und nicht des Fleisches die Auferstehung« S | *Εἰ δὲ*: »Wenn aber nun« S | *ἐπὶ τ. ψ.* — *ἔσεσθαι* Z. 2: »nicht am Fleisch, sondern an der Seele versteht« S **2** *βιάζεσθαι* VU (*ζεται* a. R.): *λέγειν* + VU, aber mit Jh zu tilgen, vgl. Ph unten III, 9, 9 *βιάζ. ἔσεσθαι*: »versteht« S | *τούτω* U | *δεῖ*] *λέγει* U **4** *δὴ*] *ἡμῖν* S | *αὐτῆς* + S | *μήτοι* — *φαίν.* auch Pl **5** *σαφῶς* — *φαίνεσθαι*] »wahrheitsgemäß Klares redend« S | viell. ist *φαίνεσθαι* mit dem Folgenden verbunden in S **6** *ὁρᾶσθαι* S | *ταύτῃ* Bo: *ταῦτα* VU | *τ. θετέον*] *δεῖ ἀληθὲς εἶναι* übersetzt S (»muß . . Wahrheit [od. »wahr«] sein«) **7** *τὴν ψ. ἀθάν.* U **8** *καὶ*] *ἢ* S | *ψεῦδος* od. *ψεύδους εἶναι* S (»Lüge sei es«) | *αὐτῇ* V, ? S: vor *τὸ* VU, nach *φθ.* S Kl | *λέγων* S | *ἢ φθείρ.* — *Χριστόν* Z. 9 < S **9** *αὐτὴν τὸ ἀνώλεθρον* U **10** *τὸν πένητα κ. τ. πλούσιον* S **11** *μωσέα* U | *ἀλλ᾽ οὐδὲν*] *οὐκοῦν* viell. S (»Hat . . etwa«) **12** *ἄλλως* (V 367b) übers. Jh »frustra« nach Plat. Krat. 429 E, mit Unrecht | *ἐφθέγξατο* U 132 | *φάντασμα* U **14** *Μωυσέα* (92) *κ. τ. Ἠλίαν* S | *τὸ ὃ* VS: (*ἀλλ᾽*) *ὃ* U **15** *αὐτὴν* V: < S | *καὶ ἀνώλεθρον* < S **17** *γίνεται* U | *καὶ* < U **18** *εἰς τὴν φθορὰν* < S | *ἀναστῇ* U **19** *ἀναστᾶσα κ. ἀνοικ.* < S | *ἀνωκοδομηθεῖσα* U

μων λοιπὸν καὶ ἀδιάπτωτος διαμένοι, ὅτι μὴ τῷ θεῷ τὴν λιθίνην
οἰκίαν δείμασθαι | τοῦ Δαυὶδ εἰς τὸ μέλλον, ἵν᾽ ἐν τῇ βασιλείᾳ τῶν 560
οὐρανῶν οἰκίαν σχῇ καλήν, ἀλλὰ τὴν σάρκα τὸ σκῆνος τῆς ψυχῆς,
ἣν αὐτὸς ταῖς ἑαυτοῦ χερσὶν ἐτεκτήνατο. σκοπεῖσθαι δέ σε, ὦ σοφώ- 2
τατε Ἀγλαοφῶν, οὑτωσὶ χρή. πάντων δὲ ῥᾷστα μαθήσῃ τοῦτο, ἐὰν
ἐπὶ τὴν τοῦ καθεύδειν εἰκόνα πρόσσχῃς καὶ ἀνίστασθαι. εἰ γὰρ τὸ
ὑπνοῦν ἀπὸ τοῦ ἐγρηγορέναι καὶ τὸ ἀνίστασθαι ἀπὸ τοῦ καθεύδειν
γίγνεται, καὶ τοῦτο θανάτου καὶ ἀναστάσεως μελέτη

ὕπνῳ (γὰρ) καὶ θανάτῳ διδυμάοσιν,

ἀνάγκη δὴ καὶ τὸ ἀναβιώσκεσθαι εἶναι ἐκ τοῦ τεθνάναι, εἰς τὸ
ζῆν τὴν σάρκα, εἴπερ καὶ τὸ ἀνεγείρεσθαι ἐκ τῶν καθευδόντων. ὡς 3
γὰρ ἐκ τοῦ καθεύδειν τὸ ἐγρηγορέναι γίγνεται, καὶ οὐ πάντως ὁ καθ-
εύδων ἐν τῷ αὐτῷ διαμένει σχήματι καθεύδων ἀεί, ἀλλ᾽ αὖθις ἀνί-
σταται, οὕτως καὶ τὸ ζῆν ἐκ τοῦ ἀποθανεῖν συμβήσεται, καὶ οὐ
πάντως ὁ ἀποθανών, ἐπειδὰν ἀποθάνοι, ἐν τῷ αὐτῷ μένει. εἰ γὰρ
ἐκ τοῦ κοιμᾶσθαι τὸ ἐγρηγορέναι καὶ ἐκ τοῦ πεσεῖν τὸ ἀνεγερθῆναι
καὶ ἐκ τοῦ καταβληθῆναι τὸ ἀνοικοδομηθῆναι, τίς μηχανὴ καὶ ἐκ τοῦ
κλιθέντος μὴ οὐχὶ προσδοκᾶν τὸ ἀναστήσεσθαι καὶ ἐκ τοῦ θανόντος
τὸ ἀναβιώσκεσθαι; καὶ γὰρ ἡμεῖς ταῦτα οὐκ ἐξαπατώμενοι ὁμολο-

3 vgl. De res. II, 15 — **5** Plato Pol. I, 343 D. 344 A — **6**—S. **310, 1** Plato Phaed. 71 C. 72 D — **9** Ilias 16, 672. 682 — **15** Justin De res. (S. Parall. 109, 1 S. 48 Holl)

1 ὅτι μὴ — ἐτεκτήνατο Z. 4 < S **2** οἰκείαν U | εἰς τὸ μέλλον] μηδὲ U: richtig Md, der Gedanke fordere etwa ἐπιμελές **4** σκοπεῖσθαι — χρή Z. 5] ὦ Ἀγλαοφῶν S **4 f** σοφότατε V **5** οὕτως V: aber vgl. Pl Pol. I 343 D | πάντων — τὴν Z. 6 auch Pl | πάντων V Pl Pol. 344 A: πάντως U Jh: < S | ῥᾷστα δὲ S | μαθήσει Jh **6** εἰκόνα: »Verständnis« übersetzt S | προσχῇς V U: »wir kommen« S | καὶ ἀνίστασθαι < S | εἰ γὰρ — συμβαίνειν S. 310, 1 ganz nach Pl **7** ἐγρηγορέναι] »Schlaf« S **8** γίγνεται — εἶναι Z. 10] »denn so ist« S | γίνεται U | ἀναστ. καὶ θανάτου U **9 f** διδυμ., ἀν.] δίδυμα ὀνεανάγκη V, δίδυμα ὦν ἓν ἀνάγκη U; verbess. von Pet aus Il. 16, 672. 682 **10 f** εἰς τὸ ζῆν < S **11** εἴπερ — καθευδόντων < S | ὡς — γίγνεται Z. 12] »wie dem Schlafenden vom Schlaf aufzustehen« S **12** καὶ . . πάντως < S **12 f** ὁ δὲ καθ. οὐκ übersetzt S | οὐ . . ἐν τ. αὐτῷ zweimal S **13** σχήματι U 132ᵛ | καθεύδων — ἀνίσταται Z. 13 f] ἐν ᾧ ὁ γρηγορῶν S | καθεύδων ἐν τῷ ἀεὶ V: ἀεὶ καθεύδων U | ἀλλὰ U **15** ἐπειδὰν — αὐτῷ: ἐν θανάτῳ ἀεὶ übersetzt S | ἐπιδὰν U | εἰ γὰρ — ἀναβιώσκεσθαι Z. 19 < S **17** ἀνωκοδομηθῆναι U **18** κληθέντος V | τοῦ θανέντος U **19** ἀναβιώσκ. Jh mit Pl Phaed. 71 E: ἀνα|βιώσασθαι V 367 b v: ἀναστήσεσθαι U: ἀναβιώσεσθαι Dd | καὶ γὰρ ἡμεῖς] »Wir aber nun« S

γοῦμεν, ἐκ τῶν τεθνεώτων σωμάτων τὸ ἀναβιώσκεσθαι συμβαίνειν.
καὶ μὴ μόνον τοῦτο, εἰ βούλει, ἀπὸ τοῦ καθεύδειν σκόπει καὶ ἀνί- 4
στασθαι, ἀλλὰ καὶ ἀπὸ τῶν σπερμάτων καὶ φυτῶν, ὡς ἐν πᾶσιν
αὐτοῖς ἡ ἀνάστασις καταγγέλλεται. καταμάθετε γὰρ τὰ σπέρματα,
πῶς »γυμνά« φησι καὶ ἄσαρκα βάλλεται εἰς τὴν γῆν, καὶ τελεσφορού-
μενα πάλιν ⟨τὰ αὐτὰ⟩ ἀποδίδοται. ἐπεὶ εἰ θνήσκοι μὲν καὶ σήποιτο
τὰ σπέρματα, ἐκ δὲ τῶν σπερμάτων μηκέτι τὸ ἀναζῆν καὶ φύειν
γένοιτο, τίς ἡ ἀποκλήρωσις μὴ οὐχὶ πάντα καταναλωθῆναι εἰς τὸ
τεθνάναι;

LIV. Ἀλλὰ γὰρ περὶ τούτων πλείω λέγειν τὰ νῦν, ὦ »κράτιστε
Θεόφιλε«, παρήσομεν, καὶ οἱ λοιποὶ κριταὶ τῶν λόγων. λάβωμεν
δὲ καὶ τὰ τούτοις ἐφεξῆς ἀκόλουθα, ὡς ἀφέστηκε τοῦ δέοντος μα-
κράν. ὁ θεὸς γὰρ αὐτῷ πάλιν τὰς ψυχὰς ἐν τῇ κατὰ τὸν ἑξηκο-
στὸν πέμπτον ψαλμὸν προφητείᾳ, βεβιασμένως αὐτὴν καὶ ἀνοικείως
ἐκτιθεμένῳ, ὡς | εἰς παγίδα τὴν σάρκα δίκην ὑφεξούσας τῶν ἡμαρ- 570
τημένων ἐμβιβάζει, ὅπερ ἀτοπίας μᾶλλον ἢ ὀρθοδοξίας ἐστίν. εἰ γὰρ 2
πρὸ τῆς παραβάσεως, καθάπερ ἤδη καὶ ἐν τοῖς ἔμπροσθεν ἐξεθέμεθα,
σῶμα ἐκέκτηντο αἱ ψυχαί, πῶς ⟨ὡς⟩ εἰς παγίδα ὕστερον, μετὰ τὴν

5 vgl. I Kor. 15, 37. 38 — Plato Phaed. 72 CD — **10** vgl. S. 315, 3 — vgl. Luk. 1, 3; De res. I, 33, 3 S. 270, 15f — **11** vgl. De res. I, 1, 8. 33, 3 S. 220, 22. 270, 14f — **13** Psal. 65, 10—12 — **14** vgl. S. 312, 9 — **17** vgl. De res. 33, 3. 34, 4. 39, 1 S. 270. 272. 282

8 Phot. Bibl. 234 S. 299a, 26

1 *τεθνεότων* V | *συμβαίνειν* < S 2 *τοῦτο* < S | *σκόπει* < S 4 *καταγγέλλεται*] »klar erkannt wird« S (schwerlich *καθαρῶς γινώσκεται* od. *μανθάνεται*) | *καταμάθετε* V S: *κατάμαθε* U 5 *γυμνά* S 92ᵛ | *φησι* vor *πῶς* S: < V 6 *τὰ αὐτὰ* Bo: *τοιαῦτα* S: < VU | *μὲν* übersetzt nicht S 7 *ἐκ δὲ — γένοιτο* Z. 8] »aber nichts von ihnen auflebt oder emporsproßt« S 8 *τίς ἡ ἀποκλήρωσις* auch Ph 8f *εἰς τὸ τεθνάναι* < S 11 *παρήσωμεν* VU | *καὶ — λόγων* < S 12 *τὰ — ἀκόλουθα*] »in betreff des Übrigen« S | *τοῦ δέοντος*: »der Wahrheit« S 13ff *αὐτῷ . . ἐκτιθεμένῳ*] »verstehen sie« S 13 *πάλιν τὰς*] *πάλιν αὐτὰς τὰς* U: *πάντας* V | *τὴν ψυχὴν* S | *ἐν — προφητείᾳ* Z. 14] »in dem fünfundsechzigsten Psalm« S 13f *ἑξηκ. ψ. προφ. καὶ πέμπτον* U 14 *αὐτὴν καὶ ἀνοικείως* < S 15 *ὡς*] U fährt fort *φησὶ τὴν ἀνάστασιν* wie ob. c. 25, 3 S. 251, 11 | *εἰς* U 141 | *εἰς τὴν σάρκα* S | *ὑφεξ.* Dd: *ὑφέξουσαν* VUS 15f *τῶν ἡμαρτ.*] *αὐτῆς* + S 16 *ἐνβιβάζει* V | *ἀτοπίας* < U | *ἐστίν*] »voll« S | *γὰρ* < S 17 *καθάπερ — ἐξεθέμεθα* < S 18 *σώματα* U | *ὡς* S Jh: < VU 18f *μετὰ τὴν παράβασιν* < S

παράβασιν, εἰς ⟨τὸ⟩ σῶμα ἐμβιβάζονται, οὐκ ὄντος χρόνου, ἐν ᾧ πρὶν
αὐτὰς τὸ σῶμα λαβεῖν ἐξημάρτοσαν; οὐ γὰρ ἔμφρονος, ὁτὲ μὲν ὡς
διὰ τὸ σῶμα λέγειν τὰς | ψυχὰς ἡμαρτηκέναι, ὁτὲ δέ, ἐπειδήπερ ἡμάρ- 571
τοσαν, διὰ τοῦτο δεσμὸν αὐτὸ καὶ παγίδα πρὸς κατάκρισιν γεγονέναι.
εἰ γὰρ διὰ τὸ σῶμα ἥμαρτον, συνῆν ἄρα ἐξ ἀρχῆς αὐταῖς καὶ πρὸ 3
τῆς ἁμαρτίας τὸ σῶμα. πῶς γὰρ διὰ τοῦτο ἡμάρτανον, ὃ μὴ ἦν
μηδέπω; εἰ δὲ παγὶς πάλιν αὐτὸ τὸ σῶμα καὶ πέδαι νομίζεται καὶ
δεσμός, οὐκέτι τὸ συναμφότερον αἴτιον, ἀλλὰ ψυχὴ μόνη· ἁμαρτή-
σαντι γὰρ μετὰ τὸ ἁμαρτῆσαι [τῷ ἁμαρτήσαντι] δεσμὰ καὶ παγίδες
καὶ πέδαι κατασκευάζονται. ἀλλὰ μὲν δὴ ὡμολογήσαμεν μὴ δύνασθαι 4
δεσμὸν εἶναι τὸ σῶμα τῆς ψυχῆς, ἐπειδὴ τὸ μὲν σῶμα πρὸς ἑκάτερα,
καὶ πρὸς τὸ δίκαιον καὶ ἄδικον, συνεργεῖ, ὁ δὲ δεσμὸς εἴργει τοῦ
ἀδικεῖν, ὥστε ὅπερ λέγω δυοῖν θάτερον· ἢ γὰρ ἐξ ἀρχῆς ἡμάρτομεν
μετὰ σώματος, καὶ οὐ φαίνεται χρόνος, ἐν ᾧ ἐκτὸς ὑπήρξαμεν σώμα-
τος, καὶ συναίτιον τὸ σῶμα καὶ ἀγαθῶν τῇ ψυχῇ καὶ κακῶν, — ἢ
χωρὶς σώματος διάγοντες ἡμάρτομεν, καὶ ἀναίτιον τὸ σῶμα κακίας
ἐκ παντός· ἀλλὰ χωρὶς σώματος ὑπὸ ἀλόγου ἡδονῆς οὐ κρατεῖται ἡ
ψυχή, ἐκρατήθησαν δὲ οἱ πρωτόπλαστοι ἀλόγῳ δελεασθέντες ἡδονῇ.
ἦν ἄρα ἡ ψυχὴ μετὰ σώματος καὶ πρὸ τῆς ἁμαρτίας. περὶ γὰρ δὴ 5

1 Plato Tim. 41 E — De res. I, 58, 4 S. 320, 19 — 8 Plato Alex. I 130 A — 12 vgl. De res. I, 31, 4. 5 S. 265f — 13 Plato Phaed. 76 A — 17 Plato Phaed. 69 A. Soph. 222 E — 18 Gen. 3, 6

10 vgl. Phot. Bibl. 234 S. 293a, 8—10

1 τὸ + Jh | σῶμα] τὴν σάρκα S | ἐμβιβάζονται: »werden die Seelen hineingetan« S 2 ἐξήμαρτον Jh | μὲν ὡς] γὰρ S 3 λέγειν] οἱ λέγοντες S | ὁτὲ δὲ — γεγονέναι Z. 4] »ein andermal wieder, der Versündigung halber seien sie in den Leib hineingetan wie in eine Fessel« S 4 καὶ δεσμὸν U 5 ἦν ἄρα S 93 | ἐξ ἀρχῆς αὐταῖς < S 6 ὃ: »wenn er« übersetzt S 7 εἰ δὲ V 368 | παγὶς — δεσμός Z. 8] »als Fessel das Fleisch der Seele gegeben wurde« S | αὐτὸ V Holl: αὐτῷ U | πέδα V 8f ἁμαρτήσαν . τί U (Dd Jh): etwa »während er leiblos war vor dem Sündigen« S 9 τῷ ἁμαρτήσαντι V U S: zu tilgen, falls nicht das 1. ἁμαρτήσαντι verderbt oder danach etwas ausgefallen | δεσμὰ — πέδαι Z. 10] »Strafen und Fesseln« S 10 δύνασθαι < S 11 εἶναι δεσμὸν S | τὸ μὲν σῶμα < S 12 ἄδικον κ. πρὸς τὸ δίκ. S | Ph συνεργεῖν (τὸ σῶμα) πρὸς ἃ ἡ ψυχὴ ἐπιτρέπει 13 γὰρ < S 14 ἐκτὸς] πάντως od. ἐκ παντὸς + S 15 συναίτιον U 141v | κακῶν τ. ψ. κ. ἀγαθῶν U 16 ἡμάρτομεν διάγοντες U (διαγαγόντες Jh) 16f κακίας ἐκ παντός < S 17 ἡδονῆς] tělom (σώματος) S wohl aus slastjm »Lüsten« 18 δελεασθέντες < S 19 περὶ — δεδηλωκέναι S. 312, 4 < S

τοῦ μὴ ἐγχωρεῖν αὐτὸ νομίζεσθαι διὰ τὴν παράβασιν δεσμὸν ἐπὶ τι-
μωρίᾳ γεγονότα, ἵν' ἀκήρατον ἡ ψυχὴ καὶ συνεχῆ κατ' αὐτοὺς βά-
σανον ἔχῃ νεκροφοροῦσα, δοκῶ μοι πλήρη ταῦτα ἤδη μετὰ πάσης
ἀποδείξεως δεδηλωκέναι. ὅθεν ἀσύστατον καὶ ἀνένδεκτον τὸ μὲν
σῶμα παγίδα τίθεσθαι καὶ δεσμά, τὸν δὲ θεὸν εἰσάγειν τὰς ψυχὰς
εἰς τὴν παγίδα δίκην ὑφεξούσας, ἄνωθεν ἐκ τοῦ τρίτου ἐκβάλλοντα
οὐρανοῦ ἀνθ' ὧν παρήκουσαν τῆς ἐντολῆς. πρὸς τί γάρ τις βλέψας 6
πιστεύσει τοῖς οὕτως ὑπ' αὐτῶν προπετῶς εἰρημένοις; καίπερ οὐκ
ἔχοντος οὕτως τοῦ ψαλμοῦ, κἂν βεβιασμένως αὐτὸν ἐκτίθωνται. αὐτὰ
δὲ προοίσω τὰ ἐγκείμενα, ἵνα δὴ καὶ τὸ μυθῶδες αὐτῶν τῆς ἐξηγή-
σεως φανῇ, ὀρθῶς μὴ θελόντων νοεῖν τὰς γραφάς. εἰσὶ γὰρ οὕτω 7
πως δήπου τὰ λεχθέντα· »ἐδοκίμασας ἡμᾶς ὁ θεός, ἐπύρωσας ἡμᾶς,
ὡς πυροῦται τὸ ἀργύριον. εἰσήγαγες ἡμᾶς εἰς τὴν παγίδα, ἔθου
θλίψεις ἐπὶ τὸν νῶτον ἡμῶν. ἐπεβίβασας ἀνθρώπους | ἐπὶ τὰς κε- 572
φαλὰς ἡμῶν. διήλθομεν διὰ πυρὸς καὶ ὕδατος, καὶ ἐξήγαγες ἡμᾶς
εἰς ἀναψυχήν.« καὶ εὐθέως ἐπιφέρουσι, Ταῦτα δὲ ὑπὸ τῶν ψυχῶν 8
εἴρηται τῶν εἰς τὴν παγίδα τὸ σῶμα, ὡς εἰς ἀγώνισμα, κατενεχθεισῶν
ἐκ τοῦ τρίτου οὐρανοῦ, ἔνθα ὁ παράδεισος. τὸ γὰρ »διήλθομεν διὰ
πυρὸς καὶ ὕδατος« ἤτοι, φασί, τὴν διὰ μήτρας εἰς τὸν κόσμον τῆς

3 De res. I, 4, 2ff. 29, 1. 4. 31, 4. 5 S. 223f. 258. 260. 265f — **9** vgl. S. 320, 9 — **11** De res. I, 23, 5. 62, 8. II, 21, 1. Symp. S. 115, 3. 117, 13f — **12** Psal. 65, 10—12 — De res. I, 6, 1 S. 227 — **17** De res. I, 55, 4 S. 314, 10ff

3 Isid. Pelus. Ep. IV, 163 (PGr 78, 1252 A)

2 ἄκρατον U **3** ἔχει V | πλήρις V **4** μὲν übersetzt nicht S **5** δεσμά] τιμωρίαν w. e. sch. S **6** τοῦ < U **7** ἀνθ' ὧν] ὅτι ἄνωθεν U **8** πιστεύσει (vgl. II, 20, 9) oder πιστεύσαι ἂν Kl: πιστεύσειε V Dd; πιστεύσει ἐν U, ἐπίστευσε w. e. sch. S | τοῖς — εἰρημένοις] »ihrem Wort« S | οὕτω U **9** κἂν — ἐκτίθωνται < S | ἐκτίθενται U | αὐτὰ — γραφάς Z. 11] »Ich lege dies nun vor, damit ihr frevlerisches Gerede überführt werde, indem sie ohne Verstand sind« S **10** δὴ] δὲ U **11** μὴ V 368[v] | εἰσὶ — λεχθέντα Z. 12] < S **12** τὰ < U | ἐδοκίμασας — κατενεχθεισῶν Z. 17 oben 6, 1 **14** ἐπὶ τὸν νότον U, vgl. c. 56, 5; ἐνώπιον V Dd; »auf . . Häupter« 6, 1 | ἐπεβίβ. — ἡμῶν Z. 15 < 6, 1 **15** διήλθ. U 142 | καὶ vor ἐξήγαγες schwerl. < S (izvede S wohl aus i izvede) **16** καὶ — Ταῦτα δὲ < 6, 1 **16f** Ταῦτα . . εἴρηται] »dies Wort zu sagen« S **17** εἰς[1]] ὡς εἰς S: τουτέστιν (schwerl. οἷον) εἰς 6, 1 S | ὡς εἰς ἀγών. < S, aber hat es 6, 1 | κατενεχθ.: »eingehend« S **19** ἤτοι las wohl auch S (»i« aus ili) | φασί Dd w. e. sch. S: φησί V U Jh

ψυχῆς πάροδον δηλοῖ, ἐπειδήπερ ἐν φλογὶ τοσαύτῃ καὶ ὑγρασίᾳ καταγίγνεται, ἢ τὴν ἀπὸ τῶν οὐρανῶν κατάπτωσιν εἰς τὸν βίον διερχομένης τὰς πηγὰς τοῦ πυρὸς καὶ τὰ ὑπὲρ τὰ νῶτα τοῦ στερεώματος ὕδατα. πρὸς οὓς ἠξίουν ἐνίστασθαι. φέρε γὰρ ὑπὲρ αὐτῶν, ὦ Ἀγλαοφῶν, αὐτὸς ποίησαι τὴν ἀπόκρισιν, τί λέξουσι.

LV. Πρῶτον γὰρ ὁ παράδεισος, ὅθεν καὶ ἐξεβλήθημεν ἐν τῷ πρωτοπλάστῳ, ἐκ ταύτης ἐστὶ τῆς γῆς προδήλως τόπος ἐξαίρετος, πρὸς ἄλυπον ἀνάπαυσιν καὶ διαγωγὴν τοῖς ἁγίοις ἀφωρισμένος, ⟨ὡς⟩ δῆλον ἀπὸ τοῦ καὶ τὸν Τίγριν καὶ τὸν Εὐφράτην καὶ τοὺς λοιποὺς ποταμοὺς τοὺς ἐκεῖθεν προχεομένους ἐνταῦθα φαίνεσθαι τῶν ῥευμάτων τὰς διεκβολὰς εἰς τὴν καθ' ἡμᾶς ἤπειρον ἐπικλύζοντας. οὐ γὰρ ἀπὸ τῶν οὐρανῶν ἄνωθεν καταράσσονται χεόμενοι· ἐπεὶ οὐδὲ ὑπέστη ἂν ἡ γῆ ὄγκον τοσοῦτον ἀθρόως ἐξ ὕψους καταφερόμενον ὑποδέξασθαι ὕδατος. ἀλλ' οὐδὲ ὁ ἀπόστολος ὑποτίθεται τὸν παράδεισον εἶναι ἐν τρίτῳ 2 οὐρανῷ τοῖς λεπτῶν ἀκροᾶσθαι λόγων ἐπισταμένοις. »οἶδα« γὰρ »τὸν τοιοῦτον ἁρπαγέντα ἕως τρίτου« λέγων »οὐρανοῦ. καὶ οἶδα

1 vgl. Symp. 2, 6 S. 23, 8f. De res. II, 20, 6 — 6 Theoph. ad Autol. II, 24 S. 122 Otto — Gen. 3, 24 — 8 vgl. zu Symp. 9, 1 S. 114, 9 — 15 II Kor. 12, 2. 3

6 vgl. Eustath., De engastr. 31 S. 48 Kl (58 Jh). Epiph., Ancor. c. 54. 58. Chrysost. zu Gen. 2 Hom. 13, 3. 4 (PGr 53, 1, 108. 110). Anast. In Hexaem. VII (PGr 89, 960ff). Interrog. et Resp. S. 540f — 14 — S. 314, 9 Phot. Bibl. 234 S. 293b, 29—294a, 3

2 *οὐρανίων* V | *εἰς*] *ἐπὶ* U | *βίον*] *κόσμον* w. e. sch. S 2f *διερχομένην* U 3 *τὰ νῶτα τοῦ στερ.*] *τὰ ἄνω* S 4 *φέρε γὰρ* se bo (oder ubo): »Welches nun« eže ubo S 5 *ποιῆσαι τ. ἀπόκρ.* Pl Legg. X, 897 E | *τί λέξουσι* < S 6 *περὶ τοῦ παραδείσου* am Rand V; »Über die Kinder (l. (»Erstgeschaffenen«)« + in roter Schrift S (am Rand in S a) | *ὅτι ὁ* Holl | *καὶ* < S? | *ἐν* schwerl. < S 7 *πρωτοπλ.* = prjvočjadĕch: čjadĕch S | *ταύτης* < S | *τῆς γῆς ἐστὶ* S | *προδηλῶς* V: < S 8 *ἄλυπον — διαγωγὴν*] »zur Ruhe und Freude« S 8f *ὡς* + Kl | *δῆλον — ἐπικλύζοντας* Z. 11] »Das ist zu erkennen an den Flüssen, welche von ihm ausgehen und bis zu unserem Lande gehen« S 8f *δῆλον ἀπὸ τοῦ* Holl (Kl), *δ. ἀφ' οὗ* V: *κρείττονα· ἀπ' αὐτοῦ* U 10f *τὰς δὲ ἐκβολὰς* V 12 *ἄνωθ. καταρ. χεόμ.*] »kommen sie herab« S | *χεώμενοι* V 13 *ἀθρῶος* U | *ὕψους*] »Himmel« S | *ὕδατος* < S 14 *ἀλλ' οὐδὲ*] es beginnt Ph | *ἀλλὰ* V: *ἄλλος* Ph a | *εἶναι τ. παραδ. ἐν τῷ τρ.* Ph 15 *τοῖς — ἐπισταμένοις*] *ἀκροᾶσαι γὰρ λέγοντος αὐτοῦ* las schwerlich S, wohl nur freie Übersetzung | *τοῖς* U 142v 15 *οἶδα* = vĕdech; vidĕch = *εἶδον* S 16 *τὸν τοιοῦτον* < VU | *λέγω* V: < S | *οὐρανοῦ λέγων* Ph | *καὶ οἶδα — σώματος* S. 314, 1] »und bald darauf« S

τὸν τοιοῦτον ἄνθρωπον, εἴτε ἐν σώματι εἴτε χωρὶς σώματος, ὁ θεὸς
οἶδεν, ὅτι ἡρπάγη εἰς τὸν παράδεισον« δύο ἀποκαλύψεις μεγάλας
ἑωρακέναι μηνύει, δὶς ἀναληφθεὶς ἐναργῶς, ἅπαξ μὲν ἕως τρίτου
οὐρανοῦ, ἅπαξ δὲ εἰς τὸν παράδεισον. τὸ γὰρ »οἶδα ἁρπαγέντα τὸν 3
τοιοῦτον ἕως τρίτου οὐρανοῦ« ἰδίως ἀποκάλυψιν αὐτῷ κατὰ τὸν
τρίτον ἀναληφθέντι οὐρανὸν πεφηνέναι συνίστησι· τὸ δέ »καὶ οἶδα«
πάλιν ἐπιφερόμενον »τὸν τοιοῦτον ἄνθρωπον, εἴτε ἐν σώματι εἴτε ἐκτὸς
τοῦ σώματος, ὁ θεὸς οἶδεν, ὅτι ἡρπάγη εἰς τὸν παράδεισον« αὖθις ἑτέραν
αὐτῷ πεφανερῶσθαι κατὰ τὸν παράδεισον ἀποκάλυψιν δείκνυσι. τερε- 4
τισμὸς οὖν ἐστι καὶ τραγικολογία τὸ καταβάλλεσθαι λέγειν τὰς ψυχὰς ἐκ
τῶν οὐρανῶν καὶ διαβαίνειν τοῦ πυρὸς τὰς πηγὰς καὶ τὰ ὕδατα τὰ ὑπὲρ
τὰ νῶτα τοῦ στε|ρεώματος, εἰς τὸν καθ' ἡμᾶς φερομένας κόσμον. 573
ἐπεὶ μηδὲ ὁ Ἀδὰμ ἐκ τῶν οὐρανῶν ἐξεβλήθη, ἀλλὰ ἀπὸ τοῦ »κατὰ
ἀνατολὰς ἐν Ἐδὲμ« πεφυτευμένου παραδείσου. οὐ γὰρ πρὸ τῆς ἐν-
σωματώσεως τὸ παράπτωμα, καθάπερ ἐδιδάξαμεν ἱκανῶς, οὐδ' αὖ
τὸ σῶμα παγὶς τοῦτο, ἀλλὰ μετὰ τὴν εἰς τὸ σῶμα σύμφυσιν τῆς
ψυχῆς γίγνεται τὸ παράπτωμα, ὅτι τὸ συναμφότερον ὁ ἄνθρωπος,
καὶ ἡ ἐκ τοῦ παραδείσου κατάπτωσις ἐνθάδε. ὁ δὲ ὅλως οὐ προσέσχεν 5

4 II Kor. 12, 2 — 6 II Kor. 12, 3 — 10 De res. I, 54, 8 S. 312, 16ff — 13 Gen. 3, 24. 2, 8 — 14 vgl. De res. I, 29ff S. 258ff — 16 vgl. Plato Tim. 52 A — 17 De res. I, 27, 4 S. 272, 7ff. De lepra 9, 4

1 ἐν τῷ σ. Ph^{a} | τοῦ σ. Ph 2 ἡρπάγη] vŭschyti⟨sja⟩ S | πα|ράδ. V 369 | μεγάλας < V 3 ἑωρακέναι] viděti[sja] S | vor δὶς + »Und daß zweimal der Apostel entrückt ward, und (›aber‹) nicht einmal« S 3f ἅπαξ μ. . . ἅπαξ δὲ: »das erste (Mal) . . das zweite« S 4 ἅπαξ — οὐρ. Z. 5 < Ph^{b} | τὸ γάρ: »Denn was er sagt« S 4f τὸν τοιοῦτον < S 5 ἰδίως — πεφηνέναι συνίστησι Z. 6] »zeigt die erste Offenbarung an« S 6 ἀναληφθέντι < Ph | οὐρανὸν < U | τὸ δέ] »das zweite« S | καὶ < S 7 ἐπιφ. < S | ἄνθρ. — σώματος Z. 8 < S 8 τοῦ < Ph | ὁ θ. — ἡρπ. Ph: < VU: ἁρπαγέντα S Holl | αὖθις — παράδεισον Z. 9: »die zweite« S | ἑτέραν αὖθις Ph: < U 9 δείκνυσι < S: Ph endet 10 καὶ τραγικαιολογία V: κ. τερατολογία Jh: < S | τὰς ψ. S 94^{v} 10f ἐκ τῶν οὐρανῶν] »vom dritten Himmel« S 11 τὰ ὑπὲρ — στερεώματος Z. 12] τὰ ἄνω S 12 φερομένας] »herabkommend« S 13f κατὰ ἀνατ. — πεφυτευμένου < S 15 ἐδείξαμεν vielleicht richtig U S | ἱκανῶς < S | αὖ < S 15f αὐτὸ τὸ V 16 τὴν εἰς — σύμφυσιν] »der Fleischwerdung der Seele, nämlich nach beider Verbindung« S | συμφυεῖν V 17 γίν. VU | ὅτι — ἐνθάδε Z. 18 < S | ὅτι τὸ: ὅτι τοῦτο U 18 ὁ δὲ — πρόφασιν S. 315, 6] »Dies aber nun lassend, o Aglaophon, euren Irrtum, welchen ihr habt über dies Psalmwort, will ich durch das (rechte) Verständnis überführen« S

ἐπιμελέστερον, Ἀγλαοφῶν, τῷ λόγῳ, ἀλλὰ διετείνατο περὶ πραγμάτων διανόησιν οὐκ ἐχόντων ἀκίνδυνον, ἐπιχειρήσας κατὰ τὰς δόξας ἐξηγήσασθαι τῶν φαύλων τὸν ψαλμόν, περὶ ὧν λέγειν πλείω παρήσομεν.

LVI. Βούλομαι γάρ, ἐπειδὴ ἅπαξ εἰς τὸ διευθῦναι τὴν μοχθηρίαν αὐτῶν ἥκαμεν, ἀπογυμνῶσαι καὶ ταύτης αὐτοῖς τῆς προφητείας τὴν πρόφασιν. »ἐδοκίμασας ἡμᾶς ὁ θεός, ἐπύρωσας ἡμᾶς, ὡς πυροῦται τὸ ἀργύριον.« δοκιμασθέντες διαρκῶς οἱ μάρτυρες ἐν ταῖς κατὰ 2 τοὺς πειρασμοὺς τῶν βασάνων προσβολαῖς (τὰ πολλὰ γὰρ εἰς τὴν καθ᾽ ἡμᾶς αἱ προφητεῖαι πίστιν πληροῦνται) καὶ εὐκλεῶς καὶ ἐρρωμενέστατα διαθλήσαντες εὐχαριστοῦσι τό »ἐδοκίμασας ἡμᾶς« λέγοντες τῷ θεῷ, ὡς ἵνα τὴν δόξαν παρ᾽ αὐτῷ κτήσωνται μείζονα, διὰ πολλῶν αὐτοὺς ἤλεγξε πόνων, τὸν ἀληθῶς Ὀλυμπιακὸν ἀγῶνα νικῆσαι προθείς. καὶ ἐπισκέψασθε ὡς τούτοις συνῳδὰ σαφῶς τοῖς λόγοις 3 περὶ τῶν μαρτύρων καὶ ὁ Σολομῶν ἀναφθέγγεται (οὐ γὰρ ἀμάρτυρος ὁ λόγος καὶ ἄλλων γραφῶν)· ὅτι »ὁ θεὸς ἐπείρασεν αὐτούς, καὶ ηὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ, ὡς χρυσίον ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα εὐωδίας προσεδέξατο αὐτούς, καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν«, πρόσθεν εἰπών »καὶ γὰρ ἐὰν ἐν ὄψει ἀνθρώπων κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης, καὶ ὀλίγα παιδευ-

1 vgl. Symp. 3, 12 S. 40, 1 — **3** vgl. S. 310, 10f — **6** Psal. 65, 10 — **8** vgl. I Kor. 10, 11. Symp. S. 115, 28f — **10** Psal. 65, 10 — **12** Symp. 7, 3 S. 74, 10f. Plato Phaedr. 256 B — **14** vgl. Symp. 1, 3 S. 11, 1f. De res. I, 42, 1 S. 287, 13 — **15** Weish. Sal. 3, 5—7 — **18** Weish. Sal. 3, 4. 5

12 Isidor Pelus. Ep. V, 457 (PGr 78, 1592)

1 ἐπιμελ. U 143 **2** ἀκίνδυνον < U | ἐπιχείρησιν U Dd **5** ἥκομεν U | κ. ταύτης] κατ᾽ αὐτῆς V **6** καὶ ἐπύρωσας U **7** δοκιμασθ. γὰρ S | ἐν ταῖς — διαθλήσαντες Z. 10] »in den Foltern und durch viele Qualen hindurchgegangen« S: τὰ πολλὰ — πληροῦνται < S **8** εἰς — πίστιν Z. 9 U Holl: ἔστι καθ᾽ ἡμᾶς ἐν προφητείαις· πίστει γὰρ V **9** καὶ V 369ᵛ | εὐκλεῶς] εὐσεβῶς U **10** τό] τὸν κύριον S **11** τῷ θεῷ] ὁ θεός S | ὡς] ὡς γὰρ S: ὃς U Dd **12** ἠλέγξαι U | Symp. S. 74, 10f τὸν ἀγῶνα τὸν Ὀλυμπιακὸν ἀληθῶς διαθλῆσαι. Pl τῶν ὡς ἀληθῶς Ὀλυμπιακῶν. Isidor τὰ περὶ ψυχῆς Ὀλύμπια ἀγωνισόμενος **13** προσθεὶς V | καὶ < S | ἐπισκήψασθαι V, ἐπισκέψασθαι U: ἐπισκέψαι δέ (od. τε) σοι S | σαφῶς < S **14** π. τ. (< Kl) μ. U Kl: περὶ μαρτυριῶν V Dd: < S | σαλομῶν V | οὐ — γραφῶν Z. 15 < S **15** εὗρεν U **16** χρυσὸν U (s. S. 317, 2) **17** ὁλοκ. S 95 | προσεδέξατο] prija: sia S | καὶ ἐν — αὐτῶν Z. 18 < S **18** πρόσθ. εἰπών] »und bald darauf« S | καὶ γὰρ — πλήρης Z. 19 < S

θέντες μεγάλα εὐεργετηθήσονται«. ἀλλὰ καὶ ἐν τῷ ρκγ' ψαλμῷ τό 4
»εἰ μὴ ὅτι κύριος ἦν ἐν ἡμῖν, ἐν τῷ ἐπαναστῆναι ἀνθρώπους ἐφ'
ἡμᾶς, ἄρα ζῶντας ἂν κατέπιον ἡμᾶς· ἄρα τὸ ὕδωρ ⟨ἂν⟩ κατεπόντισεν
ἡμᾶς· χείμαρρον διῆλθεν ἡ ψυχὴ ἡμῶν, ἄρα διῆλθεν ἡ ψυχὴ ἡμῶν
τὸ ὕδωρ τὸ ἀνυπόστατον. εὐλογητὸς κύριος, ὃς οὐκ ἔδωκεν ἡμᾶς
εἰς θήραν τοῖς ὀδοῦσιν αὐτῶν. ἡ ψυχὴ ἡμῶν ὡς στρουθίον ἐρρύσθη
ἐκ τῆς παγίδος τῶν θηρευόντων. ἡ παγὶς συνετρίβη καὶ ἡμεῖς ἐρρύ-
σθημεν« οἱ μαρ|τυρές εἰσιν οἱ ψάλλοντες. δύο δὲ τῶν καλλινίκων 574 5
οἱ χοροὶ μαρτύρων, εἷς μὲν τῆς διαθήκης τῆς καινῆς, θάτερος δὲ τῆς
παλαιᾶς, ἀντίφθογγον ὕμνον συμφώνως τῷ ὑπερμάχῳ θεῷ καὶ βα-
σιλεῖ τῶν ὅλων ἀναπέμποντες »ἐδοκίμασας ἡμᾶς ὁ θεός, ἐπύρωσας
ἡμᾶς ὡς πυροῦται τὸ ἀργύριον, εἰσήγαγες ἡμᾶς εἰς τὴν παγίδα, ἔθου
θλίψεις ἐπὶ τὸν νῶτον ἡμῶν«, τὸ δικαστήριον τῶν ἐθνῶν ἢ τοὺς
πειρασμούς, καθ' οὓς ἐκθλιβέντες καὶ πυρωθέντες ἰσχυρῶς ἐδοκιμάσθη-
σαν. ⟨καὶ πάλιν Δαυίδ·⟩ »δοκίμασόν με« φησί »κύριε, καὶ πείρασόν με. 6
πύρωσον τοὺς νεφρούς μου καὶ τὴν καρδίαν μου«. λεγέτω δὴ καὶ ὁ
Ἀβραὰμ ἐπὶ τῷ μονογενεῖ πυρωθεὶς τὰ σπλάγχνα, προτιμήσας τε τὸ
τοῦ θεοῦ μᾶλλον πρόσταγμα, μετὰ τὸ ἀκοῦσαι »Ἀβραάμ«, φεῖσαι τοῦ
παιδός σου, ἀπορρίψας τὸ ξίφος, »ἐδοκίμασας ἡμᾶς ὁ θεός, ἐπύρωσας
ἡμᾶς, ὡς πυροῦται τὸ ἀργύριον«. λεγέτω καὶ ὁ Ἰὼβ μετὰ τὸ ἀπορ- 7
ρεῦσαι τὴν σαπρίαν .. καὶ ὀνειδισθῆναί τε ὑπὸ τῶν φίλων καὶ ἀλγῆσαι
τὸ σῶμα, »διὰ λαίλαπος« ἀκούσας λαλοῦντος αὐτῷ τοῦ θεοῦ »οἴει με

1 Psal. 123, 2—7 — **8** vgl. De autex. I, 3, 5 S. 146, 7. 17f — **11** Psal. 65, 10. 11 — **12** Mart. Polyk. 15 — **15** Psal. 25, 2 — **16ff** vgl. Symp. S. 134f — **18** Gen. 22, 11f — **19** Psal. 65, 10 — **22** Hiob 38, 1. 40, 3

8 vgl. Eustath., De engastr. 20 S. 47, 18 Kl

1 ἀλλὰ < S | ρκγ' < S | ψαλμῷ] »Psalter« S | τό] τὸ εἰρημένον U: πάλιν S **2** εἰ μὴ U 143ᵛ | ὅτι < S | ἀνθρώπους] »Feinde« S **3** ἄρα τὸ — ἡμᾶς Z. 4 < U | κατεπόντησεν V **4** χείμαρρον — θηρευόντων Z. 7] »und bald darauf« S **8** οἱ μάρτ. — ψάλλοντες < S **10** ἀντίφθ. ὕμνον συμφ.] »harmonischen Lobpreis« S | ὑπερμάχῳ < S **10f** κ. βασ. τ. ὅλων < S **11** ἐπύρ. — ἐδοκιμάσθησαν Z. 14f] »und so weiter« S **12** ἔθου — ἡμῶν Z. 13 < V **14** ἐκθλίβοντες V **14f** ἐδοκιμά|σθησαν V 370 **15** δοκίμασόν — πείρασόν με < S, dagegen + καὶ πάλιν Δαυίδ | γάρ φησι U | **16** ὁ < U **18** τοῦ θεοῦ . . πρόστ.] θεόν S | μετὰ — φεῖσαι < S **19** σου] καὶ S | ἐπύρωσας — ἀργύριον Z. 20] »und so weiter« S **20** ὁ < U **20f** μ. τὸ ἀπορρ. τ. σαπρ.] »nach dem Untergang des Reichtums und dem Tod der Kinder« S | ἀπορεύσαι U **21** καὶ ὀνειδ. U 144 **22** διὰ — αὐτῷ] »und der Erscheinung« S | λέλαπος U | αὐτοῦ V | οἴει — δοκιμάσῃς S. 317, 2f] »Du hast uns geprüft, o Gott« S | ἢ οἴει V

ἄλλως σοι κεχρηματικέναι ἢ ἵνα ἀναφανῇς δίκαιος;« »ἔθου θλίψεις
ἐναντίον ἡμῶν«, κύριε, ἵνα ἡμᾶς »ὡς χρυσίον ἐν χωνευτηρίῳ« δοκιμά-
σῃς. λεγέτωσαν καὶ οἱ τρεῖς ἐν τῇ καμίνῳ παῖδες δροσιζόμενοι, ἵνα 8
μὴ καταφλεχθῶσιν ὑπὸ τοῦ πυρός, »ἐδοκίμασας ἡμᾶς ὁ θεός, ἐπύρω-
σας ἡμᾶς, ὡς πυροῦται τὸ ἀργύριον. διήλθομεν διὰ πυρὸς καὶ ὕδατος,
καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν«. δὸς εἰπεῖν κἀμοὶ τῷ Μεθοδίῳ, ὁ 9
θεὸς ὁ παντοκράτωρ, ὁ μέγας, ὁ αἰώνιος, ὁ πατὴρ τοῦ Χριστοῦ, ἐν
τῇ ἡμέρᾳ σου διαβάντι τὸ πῦρ ἀναλγητί, καὶ τῶν ῥευμάτων εἰς τὴν
καυστικὴν μεταβληθέντων φύσιν ὑπεξαλύξαντι τὰς ὁρμάς, διῆλθον
»διὰ πυρὸς καὶ ὕδατος, καὶ ἐξήγαγές με εἰς ἀνάψυξιν«. σὴ γὰρ αὕτη
τοῖς ἀγαπῶσί σε ἡ ἐπαγγελία »ἐὰν διαβαίνῃς δι' ὕδατος, μετὰ σοῦ
εἰμι, καὶ ποταμοὶ οὐ συγκλύσουσί σε. κἂν διαβαίνῃς διὰ πυρός, οὐ
μὴ κατακαυθῇς· φλὸξ οὐ κατακαύσει σε«. ἀλλὰ γὰρ περὶ τῆς κατὰ
τὸν ψαλμὸν ἐξηγήσεως ἅλις ἔχει ταῦτα.

LVII. Ἔτι δὲ ἐκεῖνο διασκεπτέον, ἐν ᾧ πολυμόρφοις ἐμφαντα-
ζόμενοι ἀπάταις, καθευδόντων τρόπον, ἀποφαίνονται τὸν ἀπόστολον
εἰρηκέναι »ἐγὼ δὲ ἔζων χωρὶς νόμου ποτέ«, καὶ βοῶσι, Τὴν πρὸ τῆς
ἐντολῆς ἡμῶν ἐν τῷ πρωτοπλάστῳ διαγωγὴν | πρὸ σώματος ἔφη, 575

1 Psal. 65, 11 — **2** Weish. Sal. 3, 5 — **3** Dan. 3, 50 — **4** Psal. 65, 10. 12 — **7** vgl. II Kor. 6, 18. Apok. Joh. 1, 8 — vgl. Tit. 2, 13. Röm. 16, 26 — **9** Psal. 65, 12 — **11** vgl. I Kor. 2, 9. Röm. 8, 28. II Tim. 4, 8 — Jes. 43, 2 — **13** vgl. Symp. S. 111, 7f — **15** De res. I, 26, 1. 46, 3. 39, 5. 62, 2 — **16** Porphyrius(?) bei Makar. Magn. III, 31. 33 S. 60f. 64 — **17** Röm. 7, 9 — De res. I, 5, 2. 3 S. 226, 13ff

9 Basil., In XL mart. 8

1 φανῆς U **2** χρυσὸν wie auch 315, 16 U **3** δροσιζόμενοι — πυρός Z. 4 < S **4** θεός] »und hernach« + S **5** διήλθομεν — ὕδατος < S **6** ἀναψυχήν S 95ᵛ | δὸς — αἰώνιος Z. 7] »Gib nun, o Herr, denen, die dich lieben mit reinem Glauben« S | δὸς] ὡς U **7** ὁ μέγας < U | τοῦ Χριστοῦ] »Unseres Herrn und Gottes Jesu Christi« S **7f** ἐν τῇ — ἀνάψυξιν Z. 10] »hindurch zu gehen durch dies sinnliche Feuer zur Erquickung der Ruhe« S **8** ῥευμ. Dd: ῥημάτων V, ὑδάτων U **9** ὑπεξαλύσαντα V **10** με] ἡμᾶς V **11** διαβαίνεις U | ὕδατος] πυρός S **12** ποτ. οὐ συγκλ. Singularform S | συγκλείσουσι U, ει w. e. sch. corr. | κἂν — κατακαύσει σε Z. 13 < S **13** καυθῇς V **14** ἅλις ἔχει < V **15** Ἔτι: εἰς U | Ἔτι δὲ ἐκ.] ἐκ. δὲ V: »aber wieder über jenes« S | πολυμόρφως U: < S **17** δὲ] γὰρ S | βοῶσι < S **17f** Τῇ . . διαγωγῇ? S, aber wohl žitiem aus žitie **17** πρὸ τῆς — ποτέ S. 318, 7 vgl. I, 5, 2. 3 **18** ἡμῶν < S | πρωτοπλάστω V 370ᵛ | διαγ.] »im Paradies« + hier S, aber nicht I, 5, 2

ὡς τὰ ἐπιφερόμενα συνίστησιν »ἐγὼ δὲ σάρκινός εἰμι, πεπραμένος
ὑπὸ τὴν ἁμαρτίαν«, ὅτι μὴ ἄλλως ὁ ἄνθρωπος ἄρχεσθαι ἠδύνατο
καὶ κυριεύεσθαι ὑπὸ τοῦ κακοῦ, πραθεὶς αὐτῷ διὰ τὴν παράβασιν,
εἰ μὴ σάρκινος ἦν γεγονώς. ἄληπτος γὰρ καθ᾽ ἑαυτὴν ἡ ψυχή, φησί,
τῇ ἁμαρτίᾳ. διὸ δριμέως ἐπήγαγε τὸ »ἐγὼ δὲ σάρκινός εἰμι, πεπρα-
μένος ὑπὸ τὴν ἁμαρτίαν«, πρόσθεν εἰπὼν τό »ἐγὼ δὲ ἔζων χωρὶς
νόμου ποτέ«. — θαῦμα μὲν οὖν τοῖς πολλοῖς ταῦτα λεγόντων αὐτῶν 2
τότε ὑπεδύετο καὶ κατάπληξις· νῦν δὲ προκυψάσης εἰς τὸ φανερώ-
τερον ἤδη τῆς ἀληθείας οὐ μόνον μακρῷ πλανώμενοι καταφαίνονται,
ἀλλὰ καὶ μέχρι τῆς ἄκρας ἀναβαίνοντες βλασφημίας. δόντες γὰρ 3
ἀσωμάτως τὰς ψυχὰς πρὸ τῆς ἐντολῆς βεβιωκέναι, ἀλήπτους τε εἶναι
καθ᾽ ἑαυτὰς ἐκ παντὸς τῇ ἁμαρτίᾳ, διανοηθέντες πάλιν ἀνέτρεψαν
τὸν λόγον, ἑαυτοὺς δὲ πολὺ μᾶλλον. τὰ γὰρ δὴ σώματα κατασκευά-
ζουσιν αὐταῖς ὕστερον ἐπὶ τιμωρίᾳ ⟨δοθῆναι⟩, διὰ τὸ πρὸ σώματος
αὐτὰς ἡμαρτηκέναι. καὶ δὴ καὶ λοιδορήσεις τε ἐπῆλθον αὐτοῖς, δεσμοῖς
ἀπεικάζουσι καὶ πέδαις τὸ σῶμα, ἄλλα τε ἀνόητα εἰπεῖν. νῦν δέ, 4
ὅπερ εἴρηται, πᾶν τοὐναντίον ἔχει· χρὴ γὰρ πρὸ τῆς ἁμαρτίας τὴν
ψυχὴν ὑπάρχειν μετὰ σώματος. ἐπεὶ εἰ ἄληπτος ἡ ψυχὴ καθ᾽
ἑαυτὴν τῇ ἁμαρτίᾳ, οὐκ ἂν ἥμαρτεν ὅλως πρὸ τοῦ σώματος· εἰ δὲ
ἥμαρτεν, οὐκέτι ἄληπτος καθ᾽ ἑαυτὴν τῇ ἁμαρτίᾳ, ἀλλὰ καὶ εὐάλω-

1 Röm. 7, 14 — **2** De res. I, 5, 1. 29, 4 S. 226, 6f. 260, 4f — **5** Röm. 7, 14 — **6** Röm. 7, 9 — **7**—S. **319, 5** Plato Legg. XII, 967 A—D — **11** vgl. Z. **4** — **13** De res. I, 5, 2. 29, 4 S. 226, 12f. 260, 1 — **18** De res. I, 5, 1. 29, 4 S. 226, 6f. 260, 4f

1 *σαρκῖνος* stets V, hier U | *εἰμι* U 144ᵛ **2** *ὑπὸ τ. ἁμαρτ.* hier und Z. 6 »den Sünden« (oder »durch die Sünde«) S; vgl. auch I, 5, 3, anders I, 5, 2 **3** *καὶ* (< V) *κυριεύεσθαι* < S **5** *δριμέως*] hier »schnell«, De res. I, 5, 3 »herb« S | *ἐπήγαγε τὸ ἐγὼ* (*δὲ* <) U: *τὸ* < V | *εἰμι*] *ἦν* S **6** *τό ἐγὼ δὲ*] *τὸ δὲ ἐγὼ* U **7** *οὖν* V S: < U | *τ. λεγ. αὐτῶν*] »dies Wort« S **7f** *αὐτῶν . . ὑπεδύετο* < V **8** *τότε* S 96 | *καὶ κατάπληξις* < S | *προκυψάσης*] »zugeschaut« S, aber wohl prizrěvši aus prozrěvši **8f** *ε. τ. φανερώτατον* U; »offen« S **9** *ἤδη* < S | *οὐ μόνον — βλασφημίας* Z. 10] »hat sich uns der große Irrtum und die völlige Blasphemie gezeigt« S **11** *ἐντολῆς*] »Übertretung« S **12** *διανοηθέντες δὲ* S | *ἀνατρέψαι* V **13** *γὰρ*] *τε* w. e. sch. S (schwerl. las S *τὰ δὲ γοῦν*) **14** *ἐπὶ* < S | *δοθῆναι* + S | *πρὸ σώματος* < S **15** *καὶ δὴ — ἐπῆλθον* auch Pl | *δὴ καὶ — αὐτοῖς* < S | *τε*] *τὸ* V, *γε* Pl **16** *τὸ — εἰπεῖν* < S | *ἀλλὰ — ἔχει* Z 17 auch Pl *εἰπεῖν*] etwa *ἐπιχειροῦσιν* + Holl, aber vgl. Pl **17** *ὅπερ — ἔχει*] »haben sie wieder ein ihnen widersprechendes Wort« S **18** *ἀλ.*] *ἄληπτος οὖσα* U **20** *οὐκέτι*] *οὐκ ἔστιν* S, *οὐκ ἦν* U **20f** *εὐάλωτος — εὔληπτος* S. 319, 1] »durchaus schuldig« S

τος μᾶλλον καὶ εὔληπτος. διὸ καὶ πάλιν, κἂν μὴ λάβῃ τὸ σῶμα τοῦτο, ἁμαρτήσεται, ὥσπερ δὴ καὶ πρὸ τοῦ λαβεῖν αὐτὸ ἥμαρτεν.
διὰ τί δὲ ὅλως καὶ σῶμα ἐλάμβανεν ὕστερον μετὰ τὸ ἡμαρτηκέναι; 5
ἢ τίς αὐτῇ χρεία σώματος ἦν; εἰ μὲν οὖν ἵνα βασανίζηται καὶ ἀλγῇ,
πῶς μᾶλλον ἐντρυφᾷ καὶ ἀκολασταίνει μετὰ τοῦ σώματος; πῶς δὲ 6
καὶ τὸ αὐτεξούσιον εἶναι ἐν τούτῳ φαίνεται ἔχειν τῷ κόσμῳ; ἐφ' ἡμῖν γὰρ τὸ πιστεῦσαι κεῖται καὶ τὸ μὴ πιστεῦσαι. ἔνθα δὲ ἐφ' ἡμῖν τὸ πιστεῦσαι κεῖται καὶ τὸ μὴ πιστεῦσαι, ἐφ' ἡμῖν τὸ κατορθώσασθαι
καὶ ἁμαρτῆσαι, ἐφ' ἡμῖν τὸ ἀγαθοποιῆσαι καὶ κακοποιῆσαι. ἀλλὰ καὶ 7
ἡ κρίσις πῶς δὴ ἐπιφέρεσθαι, ὡς μέλλουσα, προσδοκᾶσθαι ἔτι δύναται, καθ' ἣν ὁ θεὸς ἑκάστῳ κατὰ τὰ ἔργα καὶ κατὰ τὰ ἐπιτηδεύματα ἀποδίδωσι, καὶ οὐχ ὡς ἤδη παροῦσα νομισθήσεται, εἴ γε τὸ γεννηθῆναι
μὲν καὶ εἰς σῶμα ἐλθεῖν τὴν | ψυχὴν κριθῆναί ἐστιν ἤδη καὶ ἀνταπο- 576
λαβεῖν, τὸ δὲ ἀποθανεῖν καὶ χωρισθῆναι τοῦ σώματος ἐλευθερωθῆναί τε καὶ εἰς ἀνάψυξιν ἐλθεῖν, διὰ τὸ πρὸ σώματος αὐτὴν ἁμαρτήσασαν ὡς εἰς κατάκρισιν καὶ καταδίκην εἰς τὸ σῶμα ἐμβιβάζεσθαι καθ' ὑμᾶς; ἀπέδειξε δὲ διαρκῶς ἐκ περιουσίας ὁ λόγος ἀνένδεκτον εἶναι νομίζεσθαι τὸ σῶμα βασανιστήριον καὶ πέδας τῆς ψυχῆς.

LVIII. Ἤρκει μὲν οὖν ἀπὸ τῆς γραφῆς αὐτῆς ἀποδείξαντα πρὸ τῆς παραβάσεως τὸν πρωτόπλαστον ἐκ ψυχῆς καὶ σώματος ὄντα

4 vgl. De res. I, 4, 2. 4 S. 224, 3. 15 — **5** Plato Gorg. 492 C — **15** vgl. De res. I, 4, 2 S. 224, 3

4 Isidor Pelus. Ep. IV, 163 (PGr 78, 1252 A) — **6** Makar. Aeg. PGr 34, 412. Pseudoiust. Quaest. et resp. 9 III, 16 Otto[3]

2 τοῦτο U 145 | δὴ] γε U **3** ὅλως] οὖν schwerl. S | τὸ σῶμα U **4** ἵνα βασαν. κ.] »der Pein wegen, damit« S | ἀλγεῖ V **5** πῶς < V | | Pl τρυφὴ καὶ ἀκολασία | τοῦ < U | σώ|ματος V 371: σαρκός S 96[v] **6** εἶναι < S | ἐν τούτῳ] v sem: v sěm S | ἔχειν τῷ κόσμῳ] »im Menschen« S **7** τὸ πιστ. — ἐφ' ἡμῖν Z. 8 (außer κεῖται) < S | ἐνθάδε V | ἐφ' ἡμῖν — μὴ πιστεῦσαι Z. 8 < V **8** τὸ κατορθ. — νομισθήσεται Z. 12] »zu sündigen und nicht zu sündigen und Böses zu tun und nicht zu tun. Und wie erwarten wir die Vergeltung dem Bösen und dem Guten, wenn die Vergeltung bereits vorhanden ist?« S **9** ἁμαρτῆσαι Md: ἁμαρτήσασθαι V; ἁμαρτήσεσθαι U | ἀγαθὸν ποιῆσαι V, ἀγαθοποιεῖν U | τὸ κακοποιεῖν U **12 f** γεννηθ. μὲν καὶ < S, wie auch ἀνταπολαβεῖν Z. 13 f **14** χωρισθῆναι < S **15** τε καὶ — ἐλθεῖν < S **16** καὶ καταδίκην < S **17** ἐκ περιουσίας < S **18** βασανιστήριον καὶ < S **19** Ἤρκει — λόγον S. 320, 1] »Da vorliegt aus der Schrift das Wort (slovu: slovo S), daß auch vor der Übertretung im Fleisch die Seele war im ersten Menschen, so möge darüber die Verhandlung hier ruhen« S

καταπαύειν τὸν περὶ τούτων ἐνταῦθα λόγον. κἀγὼ μὲν νῦν ἐπὶ κε-
φαλαίων αὐτὰ διεξέρχομαι, ὅσον τὰς ἀφορμὰς τῶν ἐπιχειρημάτων
αὐτῶν εὐθῦναι διαμιλλώμενος, ἵνα μὴ τὴν συμμετρίαν ἐκβαίνω τῶν
λόγων. πάρεστι γὰρ ἤδη σκοπεῖν ὑμᾶς, ὦ δικασταί, ὅτι τό »ἐγὼ δὲ 2
ἔζων χωρὶς νόμου ποτέ« λεγόμενον ἐν τῇ πρὸς Ῥωμαίους οὐ
δύναται πίπτειν εἰς τὴν πρὸ σώματος κατ' αὐτοὺς διαγωγὴν τῆς
ψυχῆς, καθάπερ τὰ ἐπιφερόμενα τούτοις μηνύει, κἂν εἰ ὁ γενναῖος
οὗτος ἰατρὸς τῶν ῥητῶν τὰ ἑξῆς ὑφελόμενος πρὸς τὸ δοκοῦν αὐτῷ
τὸν νοῦν ἐβιάσατο μεταπλάσαι τοῦ ἀποστόλου, ἀνίατόν τι παθὼν
λίαν καὶ παιδικόν. ἀντὶ γὰρ τοῦ πρὸς τὰς οἰκείας συμφύσεις καὶ 3
ἁρμογὰς τὰ μέλη τηρεῖν τῶν σωμάτων, ἵνα τὸ πᾶν ἄρτιον ᾖ κατὰ
φύσιν σχῆμα τοῦ σώματος, ἠκρωτηρίασε παρελθὼν τὸν εἱρμὸν τῆς
γραφῆς, καθάπερ Σκύθης ἐχθροῦ τινος ἀφειδῶς πρὸς ἀναίρεσιν κατα-
τέμνων τὰ μέλη. Εἶεν· πῶς οὖν ὁ ἀπόστολος, λέξουσι, ταῦτα ἀπε- 4
φήνατο, εἰ σὺ μὴ οὕτως αὐτὰ ἀπέδειξας ἔχειν; ὅτι Νόμον, εἴποιμ' ἄν,
θέμενος εἶναι τὴν ἐντολήν (δεδόσθω γὰρ πρῶτον κατὰ τὴν ὑμετέραν
ὑπόθεσιν τὴν ἐντολὴν ⟨ἐκείνην⟩ αὐτὸν νόμον εἰρηκέναι), οὐ παρὰ
τοῦτο καὶ ἀσωμάτως πρὸ τῆς ἐντολῆς τὸν πρωτόπλαστον ὑπέθετο
βεβιωκέναι, ἀλλὰ χωρὶς ἁμαρτίας. καὶ γὰρ ὀλίγος ὁ ἀπὸ τῆς κτίσεως
αὐτῶν ἄχρι τῆς ἐντολῆς χρόνος, ἐν ᾧ διέζησε χωρὶς ἁμαρτίας, οὐκ
ἐκτὸς σώματος, ἀλλὰ μετὰ σώματος. εὐθέως γοῦν μετὰ τὴν ἐντολὴν

1 De res. I, 62, 9 — **3** De res. I, 25, 1 S. 250, 12f — **4** vgl. De res. I, 33, 3. 44, 1 S. 270, 15. 310, 11 — Röm. 7, 9 — **7** Klem. Alex. Str. II, 117, 5 S. 176, 24 Stähl. — **9** vgl. S. 312, 9 — **19** De res. I, 54, 2 S. 311, 1f

1 *καταπ.*] *κατάπαυσιν* V | *τούτων* U 145^{v} | *νῦν μὲν* U **1f** *ἐπὶ κεφ.*] *κεφαλαίοις* S (»mit den Hauptsachen«), Pl Phaed. 228 D *ἐν κεφαλαίοις*: »summatim« übers. Jh **2** *διεξερχόμενος* V | *ὅσον*] *ὃν* V: < S **3** *διαμιλλ.* mit Infin. 60, 4. II, 4, 2 | *ἵνα — λόγων* Z. 4 < S **5** *ἐν τ. πρ. Ῥ.* < S **6** *εἰς τὴν .. διαγωγὴν*] Genetiv S | *κατ' αὐτοὺς* < S **7** *τὰ ἐπ. τ.*] »das Übrige« S | *εἰ* < U **7f** *ὁ γενναῖος οὗτος γνωστικός* Klem. **8** *ἰατρὸς*] De res. I, 1, 2. 3, 1 | *τ. ῥητῶν — ὑφελόμενος*] *τὰ ῥητὰ* S 97 | *ἀφελόμενος* U **9** *τ. νοῦν ἐβιάσ. μεταπλ.*] *μεταπλάσας* S | *τοῦ ἀποστόλου — Εἶεν* Z. 14 < S | *ἀνίατρόν* Pet: *ἀνίατόν* V U Dd Holl **11** *μέλει* U | *τη|ρεῖν* V 371^{v} **11f** *κατὰ φύσ. ᾖ* U **12** *ἠκροτηρίασε* U **14** *τὰ μέλη εἶεν* U | *πῶς — ἀπεφήνατο* Z. 14f] »Sie mögen aber nun kund tun (sagen), welches der Sinn des Wortes des Apostels« S **15** *εἰ — ἔχειν* < S | *εἰ*] *ἢ* V | *εἴποιμ' ἂν* < S **17** *ἐκείνην* + S | *ἀλλ' οὐ* w. e. sch. S **18** *ἀσώματος* V | *τῆς* < V | *ἐντολῆς*] »Übertretung« S | *τοὺς πρωτοπλάστους* U: < S **19** *κ. γὰρ ὀλ.*: *ὀλ. γὰρ* S | *ὀλίγος*] *ὁ λόγος* V **21** *σώματος — σώματος πρὸς τὰς ἡδονὰς ὁρμήν* S. 322, 9 durch Fehlen eines Blattes < U

ἐξεβλήθησαν βραχύτατον ἐννεάσαντες ἐν τῷ παραδείσῳ χρόνον. —
ἐὰν δέ τις λαβόμενος τῆς ῥήσεως τῆς »ὅτε γὰρ ἦμεν ἐν σαρκί, τὰ 5
παθήματα τῶν ἁμαρτιῶν τὰ διὰ τοῦ νόμου« λεγούσης »ἐνηργεῖτο ἐν
τοῖς μέλεσιν ἡμῶν« διαβάλλειν αὐτὸν τὴν σάρκα νομίζῃ καὶ παραι-
τεῖσθαι, παραφέρῃ τε ὅσα τοιαῦτα ἄλλα εἴρηται (οἷον »ἵνα τὸ δι-
καίωμα τοῦ νόμου πληρωθῇ ἐν ἡμῖν τοῖς μὴ κατὰ σάρκα περιπατοῦ-
σιν, ἀλλὰ κατὰ πνεῦμα« ἢ τό »οἱ γὰρ κατὰ σάρκα ὄντες τὰ τῆς σαρ-
κὸς φρονοῦσιν, οἱ δὲ κατὰ πνεῦμα τὰ τοῦ πνεύματος· τὸ γὰρ φρόνημα
τῆς σαρκὸς θάνατος, τὸ δὲ φρόνημα τοῦ πνεύματος ζωὴ καὶ εἰρήνη,
διότι τὸ φρόνημα τῆς σαρκὸς ἔχθρα εἰς θεόν· τῷ γὰρ νόμῳ τοῦ θεοῦ
οὐχ ὑποτάσσεται· οὐδὲ γὰρ δύναται· ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σαρκί, ἀλλὰ
ἐν πνεύματι«), λεκτέον αὐτῷ, Πότερον οὖν ἤδη ἀναλύσας ὁ ἀπόστολος
ἦν ἐκ τοῦ βίου καὶ οἷς ταῦτα ἐπέστελλεν, εἰ μὴ τὴν κατὰ σάρκα νῦν
παρῃτεῖτο πολιτείαν, ἀλλὰ τὴν σάρκα, ἢ ἔτι ἐν σαρκὶ ἦν; ἀλλὰ ἐν
σαρκὶ μὴ ὄντα αὐτὸν ἐπεσταλκέναι ταῦτα, οὐ λεκτέον· φανερὸν γὰρ
ὅτι ἦν ἐν σαρκὶ καὶ αὐτὸς καὶ οἷς ταῦτα ἐπέστελλεν. πῶς οὖν »ὅτε 6
γὰρ ἦμεν ἐν σαρκί, τὰ παθήματα τῶν ἁμαρτιῶν τὰ διὰ τοῦ νόμου ἐνηρ-
γεῖτο ἐν τοῖς μέλεσιν ἡμῶν«, ὡς οὐκ ὢν οὔτε αὐτὸς ἔτι ἐν σαρκὶ οὔτε
οἷς ταῦτα ἐπιστέλλει, λέγει; οὐκοῦν περὶ τῆς κατὰ ἀκρασίαν πολιτείας
διαλέγεται καὶ οὐ περὶ τῆς σαρκὸς αὐτῆς. ἔθος γὰρ αὐτῷ σαρκικὸν
τὸν οὕτως ζῶντα ἄνθρωπον λέγειν, καθάπερ καὶ ψυχικὸν ἄνθρωπον
τὸν ἀπηλγηκότα πρὸς τὴν ἀλήθειαν ἀτενίσαι καὶ τὸν φωτισμὸν τοῦ
μυστηρίου. ἐπεὶ λεγέτωσαν μηδὲ τὴν ψυχὴν δύνασθαι σῴζεσθαι τὸ 7
σύνολον. γέγραπται γὰρ »ψυχικὸς δὲ ἄνθρωπος οὐ δέχεται τὰ τοῦ
πνεύματος τοῦ θεοῦ· μωρία γὰρ αὐτῷ ἐστιν· ὁ δὲ πνευματικὸς πάντα
ἀνακρίνει«. ὥσπερ ἐκεῖ ψυχικὸς εἰσάγεταί τις καὶ πνευματικὸς ἄν-
θρωπος, καὶ ὁ μὲν πνευματικὸς τῶν σῳζομένων, ὁ δὲ ψυχικὸς τῶν
ἀπολλυμένων, καὶ οὐ παρὰ τοῦτο δὴ ψυχὴ μὲν ἀπόλλυται, ἄλλα δὲ
παρὰ τὴν ψυχὴν σῴζεται, οὕτω δὴ καὶ ἐνθάδε σαρκικοὺς καὶ ἐν σαρξὶν
ὑπάρχοντας ἀπόλλυσθαι λέγων, καὶ μὴ δύνασθαι ἀρέσαι θεῷ, οὐ τὴν
σάρκα, ἀλλὰ τὴν κατὰ σάρκα πολιτείαν ἀναιρεῖσθαι ἀγωνίζεται. ὑπο- 8

2 Röm. 7, 5 — **5** Röm. 8, 4—7. 9 — **16** Röm. 7, 5 — **24** I Kor. 2, 14f

2 *τ. ῥ. ταύτης* S **3** *τῶν ἁμαρτιῶν* < S **4** *ἡμῶν*] *μου* S | *αὐτὸν* < S | *νομίζει* V **4f** *καὶ παραιτεῖσθαι* < S **5** *παραφέρῃ* < S | *εἰρημένα* las schwerl. S (»Worte«) | *οἷον* < S **7** *ἀλλὰ* V 372 | *τό*] *πάλιν* S | *κ. σ. ζῶντες* S **7f** *τὰ τ. σ. παθήματα* S **10** *ἔχθρα* S 97ᵛ **11** *οὐδὲ*] *οὐ* viell. S | *οὐκ ἐσταὶ* V **12** *λεκτ. αὐτῷ*] *λέγομεν δὲ αὐτοῖς* S **13** *ταῦτα* < S | *εἰ μὴ*] *ἀλλὰ* w. e. sch. S | *νῦν* < S **14** *ἢ ὅτι* V S | *ἐν σαρκὶ μὴ — καὶ οὐχὶ* S. 322, 9f < S **28** *τὰ ἄλλα* Holl

βὰς δὲ καὶ εἰπὼν »οἱ δὲ ἐν σαρκὶ ὄντες θεῷ ἀρέσαι οὐ δύνανται«
εὐθέως ἐπιφέρει »ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σαρκί, ἀλλὰ ἐν πνεύματι,
εἴπερ πνεῦμα Χριστοῦ οἰκεῖ ἐν ὑμῖν«, καὶ μετ᾽ ὀλίγον »ὅτι δὲ τὸ πνεῦμα
τοῦ ἐγείραντος Ἰησοῦν ἐκ νεκρῶν οἰκεῖ ἐν ὑμῖν, ὁ ἐγείρας Χριστὸν
ἐκ νεκρῶν ζῳοποιήσει καὶ τὰ θνητὰ σώματα ὑμῶν διὰ τοῦ ἐνοικοῦν-
τος αὐτοῦ πνεύματος ἐν ὑμῖν. ἄρα οὖν, ἀδελφοί, ὀφειλέται ἐσμὲν οὐ
τῇ σαρκὶ τοῦ κατὰ σάρκα ζῆν· εἰ γὰρ κατὰ σάρκα ζῆτε, μέλλετε ἀποθνή-
σκειν· εἰ δὲ πνεύματι τὰς πράξεις τοῦ σώματος θανατοῦτε, ζήσεσθε«.
προσεκτέον γὰρ ὡς τὴν τοῦ σώματος πρὸς τὰς ἡδονὰς ὁρμὴν | καὶ 577
οὐχὶ τὸ σῶμα θανατοῦσθαι διεβεβαιώσατο.

LIX. Ἐὰν δὲ πάλιν ἀνθυποφέρωσι λέγοντες, Πῶς δὴ οὖν »τὸ
φρόνημα τῆς σαρκός« εἶναι εἴρηται »ἔχθρα εἰς θεόν; τῷ γὰρ νόμῳ
τοῦ θεοῦ οὐχ ὑποτάσσεται· οὐδὲ γὰρ δύναται«, λεκτέον ὡς ἄρα καὶ
ἐνθάδε διαπίπτουσιν. οὐ γὰρ τὴν σάρκα αὐτήν, ἀλλὰ τὸ φρόνημα
τῆς σαρκὸς ὑποτάσσεσθαι μὴ δύνασθαι τῷ νόμῳ τοῦ θεοῦ ὑπέθετο,
ἕτερον παρὰ τὴν σάρκα ὑπάρχον. καθάπερ εἰ ἔλεγεν· ὁ ῥύπος τοῦ 2
μὴ καλῶς ἀργύρου καθαρισθέντος εἰς τὸ γενέσθαι σκεῦος ἐπιτήδειον
»οὐχ ὑποτάσσεται« τῷ δημιουργῷ· »οὐδὲ γὰρ δύναται« (ἐκβληθῆναι
γὰρ αὐτὸν πρότερον καὶ ἐκτακῆναι δεῖ), καὶ οὐ παρὰ τοῦτο τὸν ἄρ-
γυρον ἀπεφαίνετο μὴ δύνασθαι εἰς σκεῦος πονηθῆναι χρήσιμον, ἀλλὰ
τὸ χαλκῶδες τὸ ἐν τῷ ἀργύρῳ καὶ τὴν ἄλλην σκληρότητα. οὕτω 3
καὶ »τὸ φρόνημα τῆς σαρκὸς« εἰπὼν οὐ τὴν σάρκα ἔφη μὴ δύνασθαι
ὑποτάσσεσθαι τῷ »νόμῳ τοῦ θεοῦ«, ἀλλὰ τὸ φρόνημα τὸ ἐν τῇ σαρκί,
οἷον τὸ πρὸς τὰς ἀκρασίας αὐτῆς λέγων ὅρμημα. ὅπερ ἀλλαχοῦ

1 Röm. 8, 8f — 3 Röm. 8, 11—13 — 11 Röm. 8, 7 — 18. 22 Röm. 8, 7

11 Cod. Athous 4720, 18 — 22 Oekum. zu Röm. 8, 7 PGr 118, 473 B. Cramer, Catene IV, 221, 17f

6 ἄρα V 8 σώμα|τος V 372ᵛ 9f καὶ οὐχὶ U 146 10 τὸ σῶμα] τὰ σώματα αὐτοῦ beginnt S | θανατοῦσθαι καὶ ζήσειν S | διεβ.] ἐβεβαιώσατο U 11 Athous 4720; Lemma Μεθοδίου κατὰ Ὠριγένους. Ἐὰν δὲ πάλιν κτλ. 12 εἶναι w. e. sch. < S 13 γὰρ < S | λεκτέον < S | ἄρα καὶ] οὗτοι od. αὐτοὶ S 14 διαπίπτ.: »nicht glauben« S | αὐτήν < S 15 μὴ ὑποτ. (δύνασθαι <) S | ὑπέθ.: »sagte er« S 17 εἰς τὸ — ἐπιτήδενον < S 18 οὐχ ὑποτάσσ.] οὐ δύναται ὑποτάσσεσθαι übersetzt S | ἐκβληθῆναι — χρήσιμον Z. 20] »denn es muß gereinigt werden und dann brauchbar sein zu einem Gerät« S 20 ἀπεφήνατο U | ἀλλὰ — σκληρότητα Z. 21 < S 21 τῷ χ. τῷ V 22 Oekum. φρόνημα (τὸ φρ. φησὶ Catene) τῆς σαρκὸς οὐχ ἡ σάρξ, ἀλλὰ τὸ πρὸς ἀκρασίαν αὐτῆς ὅρμημα. οὕτως καὶ ὁ ἐν ἁγίοις Μεθόδιος ἐν τῷ περὶ ἀναστάσεως (Μεθοδίου Catene) 24 λέγων vielleicht < S

ὁτὲ μὲν »παλαιὰν ζύμην« »κακίας καὶ πονηρίας« ἐκάλεσεν, ἐπισπέρχων
αὐτὸ τελέως ἀφ' ἡμῶν ἀϊστωθῆναι, ὁτὲ δὲ »νόμον ἀντιστρατευό-
μενον τῷ νόμῳ τοῦ νοὸς καὶ αἰχμαλωτίζοντα«. ἐπεί, εἰ αὐτὴν τὴν 4
σάρκα ἔλεγε μὴ δύνασθαι ὑποτάσσεσθαι τῷ νόμῳ τοῦ θεοῦ, πρῶτον
οὐδὲ μέμψιν ἀσελγαίνοντες ἢ ληστεύοντες ἢ τὰ ἄλλα ὅσ' ἄττα διὰ σώ-
ματος πράσσοντες ἢ ποιοῦντες ἔχειν ἐδυνάμεθα παρὰ δικαίῳ κριτῇ,
ἀδυνάτως ἐχούσης τῆς σαρκὸς ὑποτάσσεσθαι τῷ νόμῳ τοῦ θεοῦ. πῶς
γὰρ ἂν μεμπτέον ἐδύνατο τὸ σῶμα κατὰ τὴν προσοῦσαν αὐτῷ φύσιν
βιοῦν εἶναι; ἀλλὰ οὐδὲ ἄλλως εἰς ἁγνείαν ἢ ἀρετὴν ὑπαχθῆναι τὸ 5
σῶμα ἐδύνατο, πεφυκὸς μὴ ὑποτάσσεσθαι τῷ ἀγαθῷ. εἰ γὰρ ἡ φύσις
τοιαύτη τῆς σαρκός, μὴ δύνασθαι ὑποτάσσεσθαι τῷ νόμῳ τοῦ θεοῦ,
νόμος δὲ θεοῦ δικαιοσύνη καὶ σωφροσύνη, ἐχρῆν μήτε παρθενεύειν
μήτε ἐγκρατεύεσθαι δύνασθαι τὸ σύνολον ὅλως ἐκ παντός· εἰ δὲ παρ-
θενεύουσι καὶ ἐγκρατεύονται, ἐγκρατεύονται δὲ ὁπότε τὸ σῶμα ὑποτάσ-
σουσιν (ἄλλως γὰρ ἐγρατεύεσθαι ἁμαρτίας ἀδύνατον), οὐκ ἄρα οὐ δύνα-
ται τὸ σῶμα ὑποτάσσεσθαι τῷ τοῦ θεοῦ νόμῳ. ἐπεὶ πῶς ἂν ὁ Ἰωάννης 6
ὑπέταξεν αὐτοῦ τὸ σῶμα εἰς ἁγνείαν; ἢ πῶς Πέτρος εἰς ὁσιότητα | ἢ οἱ 578
καθεξῆς εἰς δικαιοσύνην; πῶς δὲ καὶ Παῦλος »μὴ οὖν βασιλευέτω ἡ
ἁμαρτία ἐν τῷ θνητῷ ὑμῶν« λέγει »σώματι εἰς τὸ ὑπακούειν ταῖς ἐπι-
θυμίαις αὐτοῦ, μηδὲ παριστάνετε τὰ μέλη ὑμῶν ὅπλα ἀδικίας τῇ
ἁμαρτίᾳ, ἀλλὰ παραστήσατε ἑαυτοὺς τῷ θεῷ ὡσεὶ ἐκ νεκρῶν ζῶντας
καὶ τὰ μέλη ὑμῶν ὅπλα δικαιοσύνης τῷ θεῷ«; καὶ πάλιν »ὥσπερ γὰρ

1 I Kor. 5, 7. 8 — **2** Röm. 7, 23 — **6. 8** vgl. Symp. 8, 16 S. 110, 9 — **8** vgl. Symp. 8, 16 S. 110, 5f — **12** vgl. Symp. 8, 16 S. 104ff — **13** vgl. S. 277, 3. 281, 2f. 287, 4. 296, 2 **18** Röm. 6, 12f — **22** Röm. 6, 19

1. 2 ὅτε . . ὅτε V U: S 98 **1** παλαιὰν] πάλιν V: < S | καὶ πονηρίας < S | ἐπισπέρχων — ἀϊστωθῆναι Z. 2 < S **2** αὐτὸ τελέως] αὐτοτελῶς U Dd **3** ἐπεί, εἰ] εἰ γὰρ S **5** οὔτε μέμψιν ἂν U, w. e. sch. auch S (»so (hätte) . . keinen Tadel«) | ἀσελγαίνοντες — τῆς σαρκὸς Z. 7] »hätte das Fleisch in Lüste ausschweifend und nicht könnend« S | ἢ[1] U 146v | ὅσα ἄττα U: ὅσα τὰ V **6** πράττοντες U **7f** πῶς γὰρ — ἀγαθῷ Z. 10 < S **8** κα|τὰ V 373 **12f** μηδὲ . . μηδὲ V, μηδὲ . . μήτε U **13** δύνασθαι < S | ἐκ παντὸς] 54, 4. 57, 3 | εἰ δὲ] πῶς οὖν übersetzt S **14** ἐγκρατεύονται δὲ — ὑποτάσσουσιν] »wenn die Leiber nicht untertan sind« S | ἐγκρατ. δὲ ὁπότε] δηλονότι U **15** ἄλλως — ἀδύνατον < S **16** τὸ σῶμα] »das Fleisch« S **17** αὐτοῦ V, ἑαυτοῦ U | πῶς < S **17f** οἱ κ.: »die andern« S **19** λέγων S | ἡμῶν σώματι λέγει U | εἰς τὸ] ἐν τῷ U | ἐπακούειν U **19f** τῇ ἐπιθυμίᾳ S **20f** ἁμαρτίας τῇ ἀδικίᾳ U **21** ζῶντας S 98v **22** γὰρ < U

παρεστήσατε τὰ μέλη ὑμῶν δοῦλα τῇ ἀκαθαρσίᾳ καὶ τῇ ἀνομίᾳ εἰς
τὴν ἀνομίαν, οὕτως νῦν παραστήσατε τὰ μέλη ὑμῶν δοῦλα τῇ δικαι-
οσύνῃ εἰς ἁγιασμόν«.
LX. Οὐκοῦν ἐγίγνωσκε δύνασθαι διευθύνεσθαι τὸ σκήνωμα τοῦτο
καὶ νεύειν πρὸς τὸ ἀγαθόν, ἵνα νεκρωθῶσιν ἐν αὐτῷ τὰ ἁμαρτήματα.
ἐπεὶ πῶς ἑτέρως δουλωθῆναι τῇ δικαιοσύνῃ δύναται ἄνθρωπος καὶ
ἐφ' ἡμῶν, ἐὰν μὴ πρότερον ὑποτάξας ἑαυτοῦ τὰ μέλη τῆς σαρκὸς εἰς
τὸ μὴ ὑπακούειν αὐτὰ τῇ ἁμαρτίᾳ, ἀλλὰ τῇ δικαιοσύνῃ, πολιτεύσηται
κατ' ἀξίαν τοῦ Χριστοῦ; ἐπειδὴ τὸ ἁμαρτῆσαι καὶ τὸ μὴ ἁμαρτῆσαι
διὰ τοῦ σώματος γίγνεται, τῆς ψυχῆς ἢ πρὸς ἀρετὴν ἢ πρὸς κακίαν
ὀργάνῳ χρωμένης αὐτῷ. εἰ γὰρ »οὔτε πόρνοι οὔτε εἰδωλολάτραι οὔτε 2
μοιχοὶ οὔτε μαλακοὶ οὔτε ἀρσενοκοῖται οὔτε κλέπται οὔτε πλεο-
νέκται οὔτε μέθυσοι οὔτε λοίδοροι οὔτε ἅρπαγες βασιλείαν θεοῦ κλη-
ρονομῆσαι« δύνανται, πληροῦνται δὲ ταῦτα καὶ κρατύνονται διὰ τοῦ
σώματος, δικαιοῦται δὲ οὐδείς, ἐὰν μὴ πρῶτον κρατήσῃ τούτων,
κρατεῖ δὲ τούτων ὁ ἐκνεύων πρὸς σωφροσύνην καὶ πίστιν, ὑπο-
τάσσεται ἄρα τὸ σῶμα τῷ νόμῳ τοῦ θεοῦ· ὁ νόμος γὰρ θεοῦ σω-
φροσύνη. ὥστε ὁ ἀπόστολος οὐ τὴν σάρκα »μὴ ὑποτάσσεσθαι« τῷ 3
ἀγαθῷ ἔφη, ἀλλὰ »τὸ φρόνημα τῆς σαρκός«, οἷον τὴν ὁρμὴν αὐτῆς
[αὐτὴν] τὴν πρὸς τὰς ἀκρασίας ἀναιρῶν, ὥσπερ δὴ καὶ τῆς ψυχῆς
τὴν πρὸς τὸ ἄδικον ἔκκλισιν. ἐκκαθαίρεσθαι γοῦν ἄχρι καὶ τῆς 4
γαστριμαργικῆς ἀκρασίας διαμιλλώμενος, διδάσκων τε τὰς τοιαύτας

11 I Kor. 6, 10 — **19** Röm. 8, 7 — **22** vgl. De res. II, 4, 3 S. 336, 8

1 *τῇ ἁμαρτίᾳ καὶ τ. ἀκ.* S **2** *οὕτως* U 147 **4** *ἐγίνωσκεν* U | *σκήνωμα* V U: *σῶμα* S **5** *καὶ νεύειν* < S | *ἵνα — ἁμαρτήματα*] *ἐὰν νεκρώσῃ ἐν αὐτῷ τὸ ἁμάρτημα* (od. *τὰ ἁμαρτ.*) w. e. sch. S **6** *ἄνθρωπος — Χριστοῦ* Z. 9 < S **7** *αὐτοῦ* U **8** *πολιτεύσεται* V **9** *καὶ τὸ μὴ ἁμαρτ.* < V | *μὴ* ne: na S **10** *ἢ* vor *πρὸς*¹ < V | *ἀρετὴν* V 373ᵛ **11** *χρωμ. αὐτῷ*] trebuju̇sti im: trebujuštim S **11 f** *οὔτε μοιχοὶ — κλέπται* < S **12** *ἀρσεν. οὔτε μαλακοί* U **13** *οὔτε μέθυσοι* nach *ἅρπαγες* S | *οὐ λοίδοροι* U **13 f** *κληρον. δύνανται*] »würdig sind« übersetzt S | *οὐ κληρ.* V S. 236, 14 **14** *ταῦτα*] *πάντα* + S | *καὶ κρατύνονται* < S **15** *τούτων* < U **16** *κ. πίστιν*] *τὸ σῶμα* S **16 f** *ὑποτάσσεται ἄρα* < V **17** *τὸ σῶμα* < U: »das Fleisch« S | *ὁ* < U | *θεοῦ* verb. mit *σωφρ.* S **18 f** *τῷ ἀγαθῷ* S 99 **19** *ἔφη*] *φησιν* S **20** *αὐτὴν* + V U, tilgt Dd | *τὴν — ψυχῆς* < U | *δὴ* < S **21** *ἔκκλ.* Kl, vgl. Symp. S. 34, 8: *ἔκκλησιν* V (61, 1 V *ἔκλυσιν*): *ἔκκαυσιν* U: »Hinkehr« S | *γοῦν*] *ἔφη* + Ausgg. | *ἄχρι* < S **21 f** *τ. γαστρ. ἀκρ.* Holl: *τὴν γαστριμαργικὴν ἀκρασίαν* V U S **22** *γαστριμ.* U 147ᵛ | *διαμιλλώμενος — ἐξαπόλλυσθαι* S. 325, 1 < S | *τε*] *δὲ* U

ὀρέξεις καὶ ἡδονὰς ἐξαπόλλυσθαι, καὶ καταισχύνων τοὺς τὸ τρυφᾶν τοῦτο. καὶ πολυτελεύεσθαι ζῆν εἶναι νομίζοντας, οἳ θεὸν ἡγοῦνται τὴν κοιλίαν, »φάγωμεν καὶ πίωμεν· αὔριον γὰρ ἀποθνήσκομεν«, καθάπερ ἀδηφάγα θρέμματα κάτω περὶ τὴν βορὰν μόνον καὶ τὰς τραπέζας ἀσχολούμενα, εἰπών τε »τὰ βρώματα τῇ κοιλίᾳ καὶ ἡ κοιλία τοῖς βρώμασιν, | ὁ δὲ θεὸς καὶ ταύτην καὶ ταῦτα καταργήσει« ἐπή- 579
γαγε »τὸ δὲ σῶμα οὐ τῇ πορνείᾳ, ἀλλὰ τῷ κυρίῳ, καὶ ὁ κύριος τῷ σώματι. ὁ δὲ θεὸς καὶ τὸν κύριον ἤγειρε, καὶ ἡμᾶς ἐξεγερεῖ διὰ τῆς δυνάμεως αὐτοῦ. ἢ οὐκ οἴδατε ὅτι τὰ μέλη ὑμῶν μέλη Χριστοῦ ἐστίν; ἄρας οὖν τὰ μέλη τοῦ Χριστοῦ ποιήσω πόρνης μέλη; μὴ γένοιτο. ἢ οὐκ οἴδατε ὅτι ὁ κολλώμενος τῇ πόρνῃ ἓν σῶμά ἐστιν; ἔσονται γάρ, φησίν, οἱ δύο εἰς σάρκα μίαν. ὁ δὲ κολλώμενος τῷ κυρίῳ ἓν πνεῦμά ἐστι. φεύγετε τὴν πορνείαν. πᾶν ἁμάρτημα, ὃ ἂν ἁμαρτήσῃ ἄνθρωπος, ἐκτὸς τοῦ σώματός ἐστιν. ὁ δὲ πορνεύων εἰς τὸ ἴδιον σῶμα ἁμαρτάνει. ἢ οὐκ οἴδατε ὅτι τὰ σώματα ὑμῶν ναὸς τοῦ ἐν ὑμῖν ἁγίου πνεύματός ἐστιν, οὗ ἔχετε ἀπὸ θεοῦ; καὶ οὐκ ἐστὲ ἑαυτῶν· ἠγοράσθητε γὰρ τιμῆς. ἄρα γε δοξάσατε τὸν θεὸν ἐν τῷ σώματι ὑμῶν ⟨καὶ ἐν τῷ πνεύματι ὑμῶν, ἅτινά ἐστι τοῦ θεοῦ⟩.«

LXI. Πρόσσχες γὰρ ὅτι, ἐπειδὴ τὸ σῶμα τοῦτο δύναται τῷ νόμῳ τοῦ θεοῦ ⟨ὑποτάσσεσθαι⟩ καὶ τὴν ἀθανασίαν ὑποδέξασθαι, ἐὰν καθαίροιτο τῆς ἀκρασίας τῶν ὑπεκκαυμάτων, μὴ χραινόμενον ἀθέσμοις ὅλως οἴστρων παρατριβαῖς, ὁ ἀπόστολος ταῦτα ἀνεφθέγξατο. ποῖον γὰρ τὸ κολλώμενον ἕτερον »τῇ πόρνῃ« καὶ πλησιάζον καὶ »σὰρξ« μετ᾽ αὐτῆς

2 Phil. 3, 19 — 3 I Kor. 15, 32 — 4 vgl. Plato Pol. IX, 586 A — 5 I Kor. 6, 13—20 — 21 Symp. S. 21, 14f. 56, 15. 129, 25f — 22 vgl. Symp. S. 39, 5 — 23 I Kor. 6, 16

1 τὸ τρυφᾶν — νομίζοντας Z. 2 < S | τὸ] τε V 2 πολυτελεύεσθαι V Dd, vgl. Dd Thesaur. VI, 1441: πολιτεύεσθαι U | ζῆν < U | οἳ ὡς θ. ποιοῦνται übers. S 4 θρέμματα] σώματα U 4f κάτω . . κ. τὰς τραπέζας < S, aber vgl. Pl 4 βορρὰν U 5 τε] γὰρ S 6f ἐπήγαγε < S 7 τῷ δὲ U 8 ὁ δὲ — ἑαυτῶν Z. 17] »und so weiter. Bald darauf aber« S 9 ἡμῶν V 10 ἄρας] ἄρα U 11 ἢ — ὅτι < V | ὁ κολλ.] καὶ ὁ κολλ. V 12 ὁ δὲ κολλ.] ἢ οὐκ οἴδατε (V 374) ὅτι ὁ κολλ. V 13 ὃ ἐὰν U 16 ἡμῖν V 17 ἄρα γε δοξ.] δοξ. οὖν U 18 καὶ ἐν — θεοῦ + S, mit Recht? 19 πρόσχες V U | γὰρ < U | τῷ νόμῳ S: τὸν νόμον V U 20 ὑποτάσσεσθαι + S 21 τ. ἀκρ. τ. ὑπεκκαυμάτων: »von den Lüsten des Fleisches« S | μὴ — παρατριβαῖς Z. 22 < S | ἀθέσμοις U 148 22 διὸ ὁ ἀπόστ. U Dd | ταῦτα < S | διεφθέγξατο U; ἀπεφθέγξατο Holl | τὸ] τῷ V 23 ἕτερον < S | καὶ πλησιάζον < S

κατὰ τὴν σύνερξιν τῶν μελῶν καὶ τὴν κοινωνίαν »μία« γινόμενον
παρὰ τοῦτο τὸ σῶμα τὸ ἔξω, δι᾽ οὗ ταῦτα πάντα πληροῦται τὰ πρὸς
μῖξιν καὶ ἔκκαυσιν ἁμαρτήματα; ὅθεν καὶ »πᾶν ἁμάρτημα, ὃ ἐὰν
ποιήσῃ ἄνθρωπος, ἐκτὸς τοῦ σώματός ἐστιν, ὁ δὲ πορνεύων εἰς τὸ
ἴδιον σῶμα ἁμαρτάνει« ... τῦφος μὲν γὰρ καὶ ἀπιστία καὶ θυμὸς 2
καὶ ὑπόκρισις ψυχῆς ἁμαρτήματα, πορνεία δὲ καὶ οἶστρος καὶ τρυφὴ
σώματος· μεθ᾽ ὧν οὔτε ψυχὴ πρὸς ἀλήθειαν ἀναπτήσεται οὔτε
σῶμα σωφροσύνης ὑποταχθήσεται δόγμασιν, ἀλλὰ ἄμφω διολισθήσουσι
τῆς βασιλείας τοῦ Χριστοῦ. καὶ τοίνυν εἰ τὰ σώματα ἡμῶν ἐν 3
ἁγιασμῷ διακρατούμενα »ναός ἐστι τοῦ ἐν ἡμῖν« οἰκοῦντος »πνεύ-
ματος«, καὶ »ὁ κύριος ἐν τῷ σώματι«, καὶ τὰ μέλη τοῦ σώματος
»μέλη Χριστοῦ, ὑποτάσσεται« ἄρα τὸ σῶμα »τῷ νόμῳ« τῷ θείῳ καὶ
»κληρονομῆσαι« δύναται »τὴν βασιλείαν τοῦ θεοῦ«. ὁ γὰρ »ἐγείρας 4
Χριστὸν ἐκ νεκρῶν ζῳοποιήσει« φησί »καὶ τὰ θνητὰ σώματα ὑμῶν
διὰ τοῦ ἐνοικοῦντος αὐτοῦ πνεύματος ἐν ὑμῖν«, ἵνα »τὸ θνητὸν
τοῦτο« ἐνδύσηται τὴν »ἀθανασίαν καὶ τὸ φθαρτὸν τὴν ἀφθαρσίαν«,
»εἰς νῖκός τε καταποθῇ ὁ θάνατος.« οὐ γὰρ περὶ ἄλλου διελάμβανεν
καθ᾽ ἡμᾶς ἐνταῦθα σώματος ὁ ἀπόστολος, ἀλλὰ περὶ τούτου τοῦ
ἀποθνήσκοντος καὶ νεκρουμένου, δι᾽ οὗ καὶ πορνεῦσαι καὶ ἀσελγῆσαι
δυνατόν. |

LXII. Ἐὰν δὲ διαφορὰν εἶναι σώματος πρὸς σάρκα ὑποτοπάζωσιν 580
(ἵνα δὴ καὶ ταῦτα αὐτοῖς ἐπιτρέψωμεν λογικεύεσθαι), καὶ σῶμα μὲν

3 I Kor. 6, 18 — **5** vgl. Symp. 8, 2. 13. De lepra 5. 6 — **10** I Kor. 6, 19 — **11** I Kor. 6, 13. 15 — **12** Röm. 8, 7 — **13** I Kor. 15, 50 — Röm. 8, 11 — **15** I Kor. 15, 53. 54 — **21** vgl. De res. I, 25

1 ζεῦξιν τ. μελ. κ. U: < S | μελῶν] μελλόντων V | μίαν U, μίασμα V: ἓν σῶμα ὂν S: viell. μία καὶ ἓν σῶμα, vgl. I Kor. 6, 16 ἓν σῶμά ἐστιν; . . εἰς σάρκα μίαν | γιγνόμενον U **2** παρὰ — ἔξω < S | πάντα ταῦτα U | ταῦτα < S | πληροῦνται V **3** κ. ἔκλυσιν V wie Symp. S. 90, 2: < S | ἁμαρτημάτων V: ὁρμήματα w. e. sch. S **4** ὁ ἄνθρωπος Dd Jh | ὁ δὲ S 99ᵛ **5** ἁμαρτάνει] »indem er Schmutziges und Unreines tut« + S **6** πορνία V wie oft | καὶ οἶστρος < S **8** σῶμα < U | σωφροσ. . . δόγμασιν] σωφροσύνῃ S | δόγμ. (S. 294, 11): διδάγμασιν V | διολισθήσωσι U, διολίσθωσαν V **9** ὑμῶν V **11** ἐν < S | τοῦ σώματος] πάντα S **12** ἄρα οὖν las schwerl. S | τῷ θείῳ καὶ] θείω V **13** κληρονομήσετε V | κληρ. δύν.] »ist würdig des« S | τοῦ θεοῦ] τοῦ Χριστοῦ S **14** φησί < S | ὑμῶν] ἡμῶν S **15** τὸ ἐνοικοῦν . . πνεῦμα wie 21, 3 S. 244, 11 S θνητὸν V 374ᵛ **16** τὸ φθαρτὸν τ. ἀφθαρσίαν < S **18** καθ᾽ ἡμᾶς Kl Holl: καθ᾽ ὑμᾶς V: < U S | ἐνταῦθα < S **18f** τοῦ καὶ U **19** καὶ — δι᾽ οὗ < S | δι᾽ οὗ] δικαίου V **21** εἶναι U 148ᵛ | ὑποτοπ.: »sie sagen« S **22** αὐτοὺς V | λογικ.: »zu sagen« S | μὲν] αὐτοῖς S 100

ἄλλο νομίζοιεν, οἷον αὐτῆς τῆς ψυχῆς, ὃ μὴ βλέπεται, σάρκα δὲ τοῦτο
τὸ ἔξω τὸ βλεπόμενον, λεκτέον ὡς οὐ μόνον ὁ Παῦλος καὶ οἱ προ-
φῆται σῶμα γιγνώσκουσι τὴν σάρκα ὀνομάζεσθαι ταύτην, ἀλλὰ καὶ
ἄλλοι φιλόσοφοι, παρ᾽ οἷς δὴ μάλιστα καὶ ἡ τῶν ὀνομάτων ἀκρίβεια
παρατετήρηται. σὰρξ γὰρ ὅλως, εἰ βούλονται καὶ περὶ τούτων ἐπιστη- 2
μόνως ἐπισκέψασθαι, πᾶς ὁ ὄγκος οὗτος τοῦ σκηνώματος ἡμῶν κυρίως
οὐ λέγεται, ἀλλά τι μέρος τοῦ ὅλου, καθάπερ ἢ ὀστᾶ ἢ νεῦρα ἢ φλέβες·
σῶμα δὲ τὸ ὅλον. ὅθεν καὶ ἰατροί, οἳ δὴ καὶ περὶ φύσεως σωμάτων
ἀκριβῶς διειλήφασι, σῶμα γινώσκουσι τοῦτο τὸ βλεπόμενον. ἀλλὰ καὶ
ὁ Πλάτων καὶ αὐτὸ τοῦτο σῶμα καὶ αὐτὸς ἐπίσταται. ἐν γοῦν τῷ 3
Φαίδωνι ὁ Σωκράτης »ἆρα μὴ ἄλλο τι τὸν θάνατον ἡγούμεθα εἶναι«
ἔφη »ἢ ⟨τὴν⟩ τῆς ψυχῆς ἀπὸ τοῦ σώματος ἀπαλλαγήν; καὶ εἶναι τοῦτο
⟨τὸ⟩ τεθνάναι, χωρὶς μὲν ⟨ἀπὸ⟩ τῆς ψυχῆς ἀπαλλαγὲν αὐτὸ καθ᾽ ἑαυτὸ
τὸ σῶμα γεγονέναι, χωρὶς δὲ τὴν ψυχὴν ⟨ἀπὸ⟩ τοῦ σώματος;« ὁ γάρ
τοι Μωυσῆς ὁ μακάριος (ἥκομεν γὰρ καὶ ἐπὶ ⟨αὐτὰς⟩ τὰς κυριακὰς ἤδη 4
γραφάς) οὐ σῶμα τοῦτο ὀνομάζεσθαι ἐπίσταται, ὃ βλέπομεν, »καὶ πλυνεῖ
τὰ ἱμάτια« λέγων ἐν τοῖς καθαρισμοῖς ὁ ἐπιψαύσας τοῦ ἀκαθάρτου,
»καὶ λούσεται« τὸ σῶμα αὐτοῦ »ὕδατι«, »καὶ ἀκάθαρτος ἔσται ἕως
ἑσπέρας«; τί δὲ καὶ ὁ Ἰώβ; οὐ σῶμα ἐπίσταται καὶ αὐτὸς τοῦτο τὸ
νεκρούμενον καλεῖν, »φύρεται δέ μου τὸ σῶμα ἐν σαπρίᾳ σκωλήκων«
λέγων; ἀλλὰ καὶ ὁ Σολομῶν ὅτι »εἰς κακότεχνον ψυχὴν οὐκ εἰσε- 5
λεύσεται σοφία, οὐδὲ κατοικήσει ἐν σώματι καταχρέῳ ἁμαρτίας«.

8 vgl. De res. II, 13, 2 — **9** Plato Phaed. 64 C — **16** Levit. 14, 8. 46, vgl. 7, 19. 21 — **20** Hiob 7, 5; vgl. De res. 56, 7 S. 316, 20f — **21** Weish. Sal. 1, 4

1 *νομίζειν* w. e. sch. S | *οἷον — ψυχῆς*] »als eigentümlich der Seele« od. wohl besser »wie auch der Seele ein eigener ist« S | *ψυχῆς*] *φημι* od. *λέγω* w. e. sch. + S **3** *γινώσκουσι* U | *ὀνομ.*: narizati⟨sja⟩ S | *ταύτην* < S **4** *ἄλλοι*] *οἱ ἔξω* S | *παρ᾽ — παρατετήρηται* Z. 5 < S **5** *ὅλως — ἐπισκέψασθαι* Z. 6 < S | *βούλοιντο* U **6** *οὗτος — ἡμῶν*] *τοῦ σώματος* S **6f** *κυρίως . . λέγεται*] *κελεύουσι . . λέγεσθαι* S **7** *οὐ* < V | *ἀλλ᾽ οὐ τί* V | *τοῦ ὅλου* < S | *νεῦρα ἢ* < S | *φλέβας* V **8** *οἳ — διειλήφασι* Z. 9 < S **9** *γινώσκ.*] *ὀνομάζουσι* S **10** *Πλάτων . . τοῦτο*] platon se: plotnoe S | *καὶ αὐτὸ — ἐπίσταται*] »Leib Leib nennt« S **11** *ἆρα — σώματος* Z. 14 von Dd aus Plato verbessert | *ἄρα* VU **12** *τὴν* < VU | *καὶ εἶναι — σώματος* Z. 14 < S **13** *τὸ* < VU | *ἀπὸ* < VU **13** *καθ᾽ ἑαυτὸ* < V **15** *ἥκωμεν* VU | *αὐτὰς* + S **16** *ὀνομάζ. ἐπίστ.*] »nennt« S | *βλέπομεν* S, vgl. 62, 1: *λέγομεν* VU **17** *τὰ ἱμάτια*] *αὐτοῦ* + S | *λέγων ἐν τ. καθαρ.* < S **18** *αὐτοῦ* < V **19** *τί δὲ* < S | *καὶ* V 375 | *ἐπίσταται . . καλ.* U 149: »nennt« S | *καὶ αὐτὸς* < S **20** *ὃ καλεῖ* V **21** *σαλομὼν* V: *πάλιν* + S | *ὅτι* S 100ᵛ **22** *καταχρ.* (< S) *σώματι* U

καὶ ἐν τῷ Δανιὴλ ἐπὶ τῶν μαρτύρων »οὐκ ἐκυρίευσεν αὐτῶν τὸ πῦρ
τοῦ σώματος« λέγεται »καὶ ἡ θρὶξ τῆς κεφαλῆς αὐτῶν οὐκ ἐφλο-
γίσθη«. καὶ ὁ κύριος ἐν τῷ εὐαγγελίῳ· »διὰ τοῦτο λέγω ὑμῖν, μὴ 6
μεριμνᾶτε τί φάγητε ἢ τί ἐνδύσησθε. οὐχὶ ἡ ψυχὴ πλέον ἐστὶ τῆς
τροφῆς καὶ τὸ σῶμα τοῦ ἐνδύματος;« καὶ ὁ ἀπόστολος δέ, »μὴ οὖν 7
βασιλευέτω ἡ ἁμαρτία ἐν τῷ θνητῷ ὑμῶν σώματι« λέγων, σῶμα
γινώσκειν τοῦτο ὃ περικείμεθα συνίστησι. καὶ πάλιν· »εἰ δὲ τὸ πνεῦμα
τοῦ ἐγείραντος Ἰησοῦν οἰκεῖ ἐν ὑμῖν, ὁ ἐγείρας Χριστὸν ἐκ νεκρῶν
ζῳοποιήσει καὶ τὰ θνητὰ σώματα ὑμῶν«. καὶ πάλιν· »ἐὰν εἴπῃ
ὁ ποὺς ὅτι οὐκ εἰμὶ | χείρ, οὐκ εἰμὶ ἐκ τοῦ σώματος, οὐ παρὰ τοῦτο 581
οὐκ ἔστιν ἐκ τοῦ σώματος«. καὶ πάλιν· »καὶ μὴ ἀσθενήσας« Ἀβραὰμ
»τῇ πίστει οὐ κατενόησε τὸ ἑαυτοῦ σῶμα νενεκρωμένον«. καὶ πάλιν·
»τοὺς γὰρ ἅπαντας ἡμᾶς φανερωθῆναι δεῖ ἔμπροσθεν τοῦ βήματος
τοῦ Χριστοῦ, ἵνα κομίσηται ἕκαστος τὰ διὰ τοῦ σώματος πρὸς ἃ
ἔπραξε«. καὶ πάλιν· »αἱ μὲν ἐπιστολαὶ βαρεῖαι καὶ ἰσχυραί, ἡ δὲ παρ-
ουσία τοῦ σώματος ἀσθενής«. καὶ πάλιν· »οἶδα ἄνθρωπον ἐν Χριστῷ
πρὸ ἐτῶν δεκατεσσάρων, εἴτε ἐν σώματι οὐκ οἶδα, εἴτε ἐκτὸς τοῦ
σώματος οὐκ οἶδα«. καὶ πάλιν· »οὕτως ὀφείλουσιν οἱ ἄνδρες ἀγαπᾶν
τὰς ἑαυτῶν γυναῖκας, ὡς τὰ ἑαυτῶν σώματα«. καὶ πάλιν· »αὐτὸς
δὲ ὁ θεὸς τῆς εἰρήνης ἁγιάσαι ὑμᾶς ὁλοτελεῖς καὶ ὁλόκληρον ὑμῶν
τὸ πνεῦμα, καὶ ἡ ψυχὴ καὶ τὸ σῶμα ἀμέμπτως ἐν τῇ παρουσίᾳ τοῦ
κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τηρηθείη«. οἱ δὲ ἀσφαλῶς οὐ νοήσαντες 8
τούτων οὐδὲν ἐν σάλῳ καὶ ταραχῇ φέρεσθαι τὸν ἀπόστολον ὑπέ-
λαβον, ὡς στάσιν αὐτοῦ τὰς διανοήσεις τῶν λόγων καὶ ἕδραν οὐκ

1 Dan. 3, 27 — **3** Mt. 6, 25 — **5** Röm. 6, 12 — **7** Röm. 8, 11 — **9** I Kor. 12, 15 — **11** Röm. 4, 19 — **13** II Kor. 5, 10 — **15** II Kor. 10, 10 — **16** II Kor. 12, 2 — **18** Ephes. 5, 28 — **19** I Thess. 5, 23 — **23** vgl. Symp. 3, 2 S. 28, 18ff

1 ἐν τῷ < S | ἐπὶ τῶν μαρτύρων < S **2** λέγεται — ἐφλογίσθη Z. 2f < S **3** διὰ — ὑμῖν < S **4** τί φάγητε — ἐνδύματος] »für die Kleidung des Leibes usw.« S | πλεῖον V U **5** καὶ² . . δὲ < S **6** λέγων — συνίστησι Z. 7 und **7** εἰ δὲ — ἐν ὑμῖν Z. 8 < S **8** ἐκ νεκρῶν < S **9** καὶ πάλιν — νενεκρωμένον Z. 12 < S **11** καὶ vor μὴ < V **12** οὐ < V | νεκρούμενον Pet **13** πάντας U | δεῖ < V **14** ἵνα κομίσ.] καὶ κομίσεται w. e. sch. S **14f** πρὸς ἃ ἔπρ. διὰ τ. σώμ. αὐτοῦ S **15** καὶ πάλιν — οὐκ οἶδα Z. 18 < S **17** ιδ̅ V **18** ὀφείλουσιν U 149ᵛ **19** καὶ πάλιν — τηρηθείη Z. 22 < S **20** ἁγιάσει V | ὁλοτελῶς U **22** οἱ δὲ V 375ᵛ | ἀσφαλῶς < S **23** οὐδὲν < S **24** καὶ ὡς S | στάσιν] στασιάζειν V | τὰς διαν. . . κ. ἕδραν < S **24f** οὐκ ἔχοντος S

ἐχούσας, ἀλλὰ ἀναπλεούσας ἄνω καὶ κάτω καὶ ὁμιλούσας παλίμφημα, ὁτὲ μὲν τὴν σάρκα ἀνίστασθαι, ὁτὲ δὲ οὐκ ἀνίστασθαι.

Ὅθεν ἵνα μὴ παραλειφθῇ τῶν προταθέντων μηδὲ ἕν, ὅπως 9
τελέως ἐκτέμνωμεν Ὕδραν, εἰς τὸ προκείμενον πάλιν ἐπανελεύσομαι. ἐφεξῆς γάρ, καθάπερ ὑπεσχόμην, καὶ τὰ ἄλλα ἃ προσαποροῦσι κεφάλαια θείς, καὶ ἃ χρὴ πρὸς αὐτὰ λέγεσθαι ἀποδείξας, ἀκόλουθα παραστήσω αὐτὸν καὶ σύμφωνα εἰς τὴν περὶ τῆς ἀναστάσεως τῆς σαρκὸς πίστιν καὶ αὐτὰ εἰρηκότα.

ΛΟΓΟΣ Β.

I. Ἴδωμεν δὴ οὖν ἃ τὸ πρῶτον εἰς τὸν ἀπόστολον προήχθημεν εἰπεῖν. τὸ γάρ »ἐγὼ δὲ ἔζων« λεχθὲν αὐτῷ »χωρὶς νόμου ποτέ« ἄνω τὴν ἐν τῷ παραδείσῳ, καθάπερ ἐξ ἀρχῆς ὑπεθέμεθα, πρὸ τῆς ἐντολῆς, οὐκ ἐκτὸς σώματος, ἀλλὰ μετὰ σώματος ἡμῶν ἐν τοῖς πρωτοπλάστοις διαγωγὴν παρεγγυᾷ, ἐπειδὴ πρὸ τοῦ δοθῆναι τὴν ἐντολὴν »χοῦν ὁ θεὸς ἀπὸ τῆς γῆς λαβὼν ἔπλασε τὸν ἄνθρωπον«, ἐκτὸς δὲ ἐπιθυμίας

1 vgl. S. 282, 14 — **4** Plato Pol. IV, 426 E; vgl. De lepra 6, 2 — **11** Röm. 7, 9 — **12** vgl. De res. I, 58, 2. 4

9—c. 8, 8 S. **345**, **7** Phot. Bibl. 234 S. 294a, 23—297a, 4

1 *ἀναπλ.*] *ἀναπνεούσας* V, »gehend« »wandelnd« S: *ἀναπολούσας* Jh | *καὶ ὁμιλ. παλίμφ.* < S: *ὁμολογούσας πάλιν φημὶ* V **2** *ὁτὲ δὲ οὐκ ἀνίστ.* < S **3** *τῶν προταθ.* < S | *ὅπως—Ὕδραν* Z. 4 < S **4** *ἐκτέμνομεν* V | *Ὕδραν τέμν.* Pl | *πάλιν* < S | *ἐπανελευσόμεθα* S **5** *καθάπερ* = jakože: jaže S | *καὶ τὰ ἄλλα* < S | *ἃ* < U **6** *θείς—λέγεσθαι* < S | *θείς*] *αὖθις οὖν* U | *ἀκόλουθα* < S **7** *αὐτῶν* w. e. sch. corrig. in *αὐτὸν* U: < S | *εἰς* S 101 **8** *καὶ αὐτὰ εἰρηκότα*] »Ich werde reden nach meinem Vermögen« S, und + »Es endet die erste Abhandlung« **9** *Λ. B.* Bo: »Desselben Über die Auferstehung. Zweite Abhandlung« S | Ph 294a, 23f *ἀνεγνώσθη τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ λόγου ἀποστολικῶν ῥητῶν ἑρμηνεία* | vgl. auch das Lemma in C¹ (Coisl. 294) Bl. 151ᵛ zu De res. II, 24, 1 *Μεθοδίου ἐπισκόπου Φιλίππων καὶ μάρτυρος ἐκ τοῦ β̄ λόγου τοῦ ἀντιρρηκοῦ*(!)· *οὗ ἡ ἀρχὴ ἴδομεν οὖν* **10** *Ἴδωμεν* V Ph S, *ἴδομεν* C¹ (zu Z. 9): *Ἴωμεν* U Jh mit Pl Phaed. 78 C | *δὴ οὖν ἃ τὸ*] *δὲ τί ἦν ὅπερ* Ph: *ἐφ'* vor *ἃ* + Jh | *ἐν τῷ ἀποστόλῳ* w. e. sch. S | *προήχθημεν*: »wir anfingen« S **11** *δὲ* < S | *ἔζων—ποτέ* V Ph: *λεχθὲν αὐτῶι* nach *ποτὲ* U | *ἄνω* < S **12** *παραδ.*] *διαγωγὴν παρεγγυᾷ* auch hier + S | *πρὸ* = drevle: dvevle S **13** *ἀλλὰ μ. σώμ.* < V **14** *ἐπεὶ* (od. *ἐπειδὴ*) *γὰρ* S | *ἐπειδὴ—ἄνθρωπον* Z. 15 < Ph **15** *ἀπὸ τ. γῆς* < V | *δὲ* V: *τε* U Jh

διήγομεν, οὐ γινώσκοντες ὅλως ἐπιθυμίας ἀλόγου προσβολάς, βιαζο-
μένης ἡμᾶς ἑλκτικαῖς ἡδονῶν περιαγωγαῖς πρὸς ἀκρασίαν. τὸ γὰρ 2
μὴ ἔχον διορισμόν, καθ' ὃν δεῖ πολιτεύεσθαι, μηδὲ ἐξουσίαν αὐτο-
δέσποτον λογισμοῦ ποίῳ χρῆσθαι αἱρεῖται πολιτεύματι, ἵνα δικαίως
ἢ τιμηθῇ ἢ ψεχθῇ, ἀνυπεύθυνον παντὸς λεκτέον ὑπάρχειν τοῦτο
ἐγκλήματος, ὅτι μὴ δύναται τού|των ἐπιθυμῆσαι, ὧν μὴ κεκώλυται· 582
κἂν ἐπιθυμήσῃ δέ, οὐκ αἰτιαθήσεται. τὸ γὰρ ἐπιθυμῆσαι οὐχὶ ἐπὶ 3
τῶν παρόντων καὶ ὑποκειμένων ἐν ἐξουσίᾳ πίπτει, ἀλλ' ἐπὶ τῶν
παρόντων μέν, μὴ ὄντων δὲ ἐν ἐξουσίᾳ. πῶς γὰρ οὗ μὴ κεκώλυταί
τις μηδὲ ἐνδεής ἐστι, τούτου ἐπιθυμεῖ καὶ ἐρᾷ; ὅθεν διὰ τοῦτο »τὴν
ἐπιθυμίαν οὐκ ᾔδειν, εἰ μὴ ὁ νόμος ἔλεγεν, οὐκ ἐπιθυμήσεις«. ἀκού- 4
σαντες γάρ »ἀπὸ δὲ τοῦ ξύλου τοῦ γινώσκειν καλὸν καὶ πονηρόν, οὐ
φάγεσθε ἀπ' αὐτοῦ. ᾗ δ' ἂν ἡμέρᾳ φάγητε ἀπ' αὐτοῦ, θανάτῳ
ἀποθανεῖσθε«, τότε τὸ ἐπιθυμῆσαι συνέλαβον καὶ ἐνεκίσσησαν. οὐ
γὰρ ὧν ἔχει καὶ ὧν ἐξουσιάζει καὶ κέχρηται αὐτοῖς ὁ ἐπιθυμῶν ἐπιθυμεῖ,
ἀλλ' ὧν κεκώλυται καὶ ἀφῄρηται καὶ οὐκ ἔχει. διὸ δὴ καλῶς »τὴν ἐπι- 5
θυμίαν οὐκ ᾔδειν« ἐλέχθη »εἰ μὴ ὁ νόμος ἔλεγεν, οὐκ ἐπιθυμήσεις«
ὅ δή ἐστιν, εἰ μὴ εἴρητο »οὐ φάγεσθε ἀπ' αὐτοῦ«. ἐντεῦθεν γὰρ

1 Plato Phaedr. 238 A — **10** Plato Symp. 200 A — Röm. 7, 7 — **12. 18** Gen. 2, 17 — **16** Röm. 7, 7

1 *ἀλόγου* < S Ph, vgl. II, 2, 7 (pomysljnago in S, obwohl auch = *ἐπιθυμίας*, dürfte aber *ἐπιθυμίας ἄλογου* wiedergeben) | *προσβολαῖς* U **1f** *βιαζομένης — ἀκρασίαν* Z. 3 < Ph **2** *ἑλκτ. ἡδονῶν περιαγ.*] »zu ungehörigen Lüsten« S | *ἡδονῶν* U 150 **2f** *μὴ γὰρ ἔχων* übersetzt S **3** *ἔχειν* Ph | *καθ' ὃ* V **3f** *αἰτ. λογίου* Ph **4** *χρ. αἱρ.*] *δεῖ χρῆσθαι* Ph | *δικ.* Ph: *δικαιωθῇ* V: *ἰδίως* U **5** *ψεχθῇ ἢ τιμηθῇ* S | *λεκτέον* V: *δεικτέον* U: *λέλεκται* Ph: < S: *δεκτέον* Pet | *ὑπάρχον* S **6** *τούτων τις* Ph: S 101ᵛ | *ἐγκλήματος*: »Sünde« S | *ἐπιθυμήσει* U **7** *οὐκ* V Ph **8** *παρόντων καὶ* < S | *πίπτει*: »ist« S | *ἀλλὰ* U **8f** *ἀλλ' — ἐξ.* < Ph[b] **9** *παρόντων μὲν . . δὲ* < S | *πῶς — ἐρᾷ* Z. 10 < S **10** *μηδὲ* V 376 | *τούτου τοῦ* V | *ἐπιθ. καὶ* < Ph: Pl *ἐπιθ. τε καὶ* | *ὅθεν* < U: *φησὶν* + S **11f** *ἀκ.* S Ph: *ἀκούσας* U Kl, *ἀκούεις* V **13** *ἢ* U | *δ' ἂν*] »denn« S **14** *καὶ ἐνεκίσσ.* < S | *ἐνεκίσσησα* U Kl, *ἐκίσσησαν* Ph **14f** *οὐ γὰρ — οὐκ ἔχει* Z. 17 < Ph **15** *ὧν ἔχει καὶ* < S | *ὧν*²: »einer Sache« S | *καὶ κέχρ. αὐτοῖς* < S | *καὶ* < V | *ἐπιθυμεῖ*] *ἔχειν* + S **16** *ἀλλὰ* U | *ὧν — ἔχει*] »die nicht freistehen« S **16f** *τὴν ἐπιθ. καλῶς* Ph Jh, nicht fremd dem Sprachgebrauch des Meth. | *ἐπιθυμήσῃς* V **18** *ὅ δή ἐστιν* V U S: *οὐδὲ ἐσθίειν* Ph | *εἰ μὴ εἴρ.* < U | *ἀπ' αὐτοῦ*: *ἀπὸ τοῦ ξύλου* übersetzt S

ἐκτήσατο τόπον καὶ ἀφορμὴν εἰσελθεῖν εἰς τὸ διαπαῖξαί με καὶ παρατρέψασθαι ἡ ἁμαρτία.

II. Δοθείσης γὰρ τῆς ἐντολῆς ἔσχε λαβὴν διὰ τῆς ἐντολῆς ὁ διάβολος κατεργάσασθαι ἐν ἐμοὶ τὴν ἐπιθυμίαν, παρορμήσας με καὶ προσκαλεσάμενος ἐντέχνως εἰς ὄρεξιν καταπεσεῖν τῶν κεκωλυμένων.
»χωρὶς γὰρ νόμου ἡ ἁμαρτία νεκρά«, οἷον, οὐ δοθείσης γὰρ οὐδὲ 2
οὔσης οὐδέπω τῆς ἐντολῆς ἄπρακτος ἦν ἡ ἁμαρτία· »ἐγὼ δὲ ἔζων«
ἀμέμπτως πρὸ τῆς ἐντολῆς, οὐκ ἔχων διορισμὸν καὶ διαταγήν, καθ᾽
ἣν ἔδει πολιτεύεσθαι, ἧς καὶ διολισθήσας ἁμαρτήσομαι. »ἐλθούσης 3
δὲ τῆς ἐντολῆς ἡ ἁμαρτία ἀνέζησεν, ἐγὼ δὲ ἀπέθανον, καὶ ηὑρέθη
μοι ἡ ἐντολὴ ἡ εἰς ζωὴν αὕτη εἰς θάνατον«, ὅτι μετὰ τὸ νομοθετῆσαι τὸν θεὸν καὶ διαστείλασθαί μοι ἃ ποιητέον καὶ μὴ ποιητέον,
κατειργάσατο ἐν ἐμοὶ τὴν ἐπιθυμίαν ὁ διάβολος. ἡ γὰρ παραίνεσις 4
τοῦ θεοῦ καὶ παραγγελία ἡ δοθεῖσά μοι αὕτη εἰς ζωὴν καὶ ἀφθαρσίαν, ἵνα πειθόμενος αὐτῇ καὶ κατ᾽ αὐτὴν βιοὺς ἀπήμονα καὶ μακαριστότατον δι᾽ αἰῶνος καὶ ἀεὶ θάλλοντα πρὸς ἀθανασίαν βίον ἔχω καὶ χαράν, ἀθετήσαντί ⟨μοι⟩ αὐτὴν εἰς θάνατον ἀπέβη καὶ καταδίκην, ἐπειδὴ ὁ διάβολος, ὃν ἁμαρτίαν νῦν οὗτος ἐκάλεσε διὰ τὸ δημιουργὸν

6 Röm. 7, 8 — 9 Röm. 7, 9. 10 — 13 vgl. De res. I, 36, 3. 37, 6. 38, 5. De autex. 18, 5. 19, 9 — 15 vgl. De res. II, 4. I, 41, 1. 53, 1 — 15f Xenoph. Memor. II, 1, 33

1 τόπον καὶ < S Ph | ἀφορμεῖν U | εἰσελθ. εἰς τὸ < S, εἰσελθ. < Ph | εἰς] πρὸς U **1f** καὶ παρατρέψασθαι < S Ph **3** δοθήσεις U | ἔσχε — ἐντολῆς < V | διὰ τῆς ἐντολῆς < S **4** παρορμήσας — κεκωλυμένων Z. 5 < Ph | καὶ παρορμ. w. e. sch. S **4f** καὶ προσκαλ. ἐντέχνως < S: U 150ᵛ **5** καταπεσεῖν: »zu kommen« S **6** ἡ < V | οἷον < S **6f** οὐδὲ οὔσης < S: auch οὐδέπω Ph **8** ἀμ. S 102: (ἄμεμπτον Ph a) nach ἐντολῆς Ph | διορισμ. καὶ < S Ph | διαταγὴν V U S: ἐπιταγήν Ph Jh **9** ἔδει: ἐμοὶ S | πολιτεύσασθαι U | ἧς καὶ διολ. ἁμαρτ. < Ph | ὀλισθήσας U **10** εὑρέθη U Ph **11** ἡ vor εἰς < U | αὕτη < S **12** καὶ διαστείλ. — μὴ ποιητέον < S | μοι ἃ] ὃ V U | κ. μὴ ποιητέον < V **13f** παραίν. τ. θ. καὶ παραγγ.] ἐπαγγελία τ. θ. Ph: παραγγελία τ. θ. S **14** αὕτη < S **15** καὶ κατ᾽ — αἰῶνος Z. 16 < Ph | ἀπήμονα — θάλλοντα Z. 16 < S **15f** μακαριστὸν V Dd, aber Jh vergleicht Xenoph. ἀεὶ θάλλουσι .. ἔξεστι .. τὴν μακαριστοτάτην εὐδαιμονίαν κεκτῆσθαι **16f** καὶ χαράν < S **17** ἀθετ. δὲ καὶ U, ἀθετ. δέ μοι S | αὐτὴν — καταδίκην] »sterblich und traurig das Leben werde« S | αὐτὴν U: αὐτὸν V | θάνα|τον V 376ᵛ | καὶ καταδίκην < Ph **18** καὶ ἐπειδὴ S | ὁ διάβ. ὃν] τοῦ διαβόλου S | ἁμαρτία V | οὕτως V S

αὐτὸν ἁμαρτίας ὑπάρχειν καὶ εὑρετήν, διὰ τῆς ἐντολῆς ἀφορμὴν
λαβὼν πρὸς παρακοὴν ἐξηπάτησέ | με καὶ ἀπατήσας ἀπέκτεινεν, ὑπεύ- 583
θυνον τῷ »ᾗ δ' ἂν ἡμέρᾳ φάγητε ἀπ' αὐτοῦ, θανάτῳ ἀποθανεῖσθε«
κατακρίματι γενέσθαι κατεργασάμενος. »ὥστε ὁ μὲν νόμος ἅγιος καὶ 5
ἡ ἐντολὴ« τοῦ θεοῦ »ἁγία καὶ δικαία καὶ ἀγαθή«, ὅτι μὴ ἐπὶ τῷ βλάψαι,
ἀλλ' ἐπὶ τῷ σῷσαι ἐδόθη. μὴ γὰρ οἰώμεθα ὅλως ἀνωφελές τι ποιεῖν
ἢ βλαβερὸν τὸν θεόν. τί οὖν; »τὸ ἀγαθὸν ἐμοὶ ἐγένετο θάνατος«, ὃ 6
τοῦ μεγίστου ἐμοὶ ὡς αἴτιον ἐσόμενον ἀγαθοῦ νομοθέτημα ἐδόθη;
»μὴ γένοιτο«, ὅτι μὴ ἡ ἐντολὴ τοῦ θεοῦ εἰς τὸ καταδουλωθῆναί με
ἐγένετο τῇ φθορᾷ καὶ ἐναπομάξασθαι κῆρας ὀλέθρου αἰτία· ἀλλὰ ὁ
διάβολος, ἵνα φανερωθῇ διὰ τοῦ ἀγαθοῦ τὸ κακὸν ἐμοὶ κατασκευάσας,
ἵνα γένηται καὶ ἐλεγχθῇ καθ' ὑπερβολὴν ὁ εὑρετὴς καὶ τέκτων τῆς
ἁμαρτίας ἁμαρτωλός, καὶ διορισθῇ ἀπὸ τοῦ καλοῦ ὁ τἀναντία τῆς
ἐντολῆς τοῦ θεοῦ ἐπιτροπεύσας. »οἴδαμεν γὰρ ὅτι ὁ νόμος ἐστὶ πνευ- 7
ματικός«, διὸ καὶ οὐδὲν αἴτιος βλάβης οὐδενί· πόρρω γὰρ ἐπιθυμίας
ἀλόγου καὶ ἁμαρτίας ἐσκήνωται τὰ πνευματικά. »ἐγὼ δὲ σάρκινός
εἰμι, πεπραμένος ὑπὸ τὴν ἁμαρτίαν«. οἷον, ἐγὼ δὲ »σάρκινος« ὢν
καὶ ἐν μέσῳ τοῦ πονηροῦ καὶ ἀγαθοῦ κατασταθεὶς ὡς αὐτεξούσιος,
ἵν' ἐπ' ἐμοὶ ⟨τὸ⟩ ἑλέσθαι ὃ βούλομαι ᾖ (»τέθεικα« γάρ φησι »πρὸ προσ-

3 Gen. 2, 17 — 4 Röm. 7, 12 — 7. 9 Röm. 7, 13 — 10 vgl. Plato Legg. XI, 937 D — 14 Röm. 7, 14 — Plato Pol. X, 610 E — 18 De res. I, 38, 3. 57, 6 — 19 Deut. 30, 5

1 καὶ εὑρετήν < S Ph 2 πρ.] καὶ Ph^b | ἐξηπ. με καὶ < S: ἀπατῆσαί τε Ph 2 f ὑπεύθ. nach κατακρίματι Z. 4 Ph: καὶ ὑπεύθ. w. e. sch. S 3 τῷ] »dem Worte, welches er sagte: Und« S 4 κατακρίμ. γεν. < S | κατειργάσατο schwerl. S (i . . stvori wohl aus i . . stvoriv) 5 δικ. κ. ἁγία U | καὶ δικαία < S | ἐπὶ] ἐν U 5 f τὸ . . τὸ Ph^b 6 ἀλλὰ U | μὴ γὰρ U 152 | οἰόμεθα V Ph^b | ὅλως < Ph 6 f ἀνωφελές . . ἢ < S 6 ποιεῖν nach βλαβ. Z. 7 Ph 8 μοι ὡς Ph: ὁμοίως U S 102^v | ἐσόμενον < S 9 εἰς καταδούλωσιν ὥστε καταδουλωθῆναι w. e. sch. S 10 ἡ φθορᾶς corr. Ph^a | κ. ἐναπ. κῆρας ὀλέθρου < Ph: »und . . Unreinheit zu empfangen« S | αἰτίας U Jh | ἀλλ' Ph 11 φανερωθῇ] ἐλεγχθῇ S | τὸ κακὸν = zlo: zělo S 12 γέν. καὶ < S | εὑρετὴς καὶ < S | κ. τέκτων < Ph 13 κ. διορισθῇ — ἐπιτροπ. Z. 14 < Ph | καὶ διολισθῇ V, ἵνα διορισθῇ S | ὁ τἀναντία U Holl Kl, τὰ ἐναντία V 14 καὶ ἐπιτροπ. las schwerl. S | γὰρ < S 15 οὐδὲν αἴτιος] κατ' οὐδὲν αἴτιον U 16 ἀλόγου] »böser« S | καὶ ἁμαρτ. < S | ἐσκήνηνται Ph: ἐστὶ S 17 τὴν < V 18 ἀγαθοῦ καὶ πονηροῦ Ph | ὡς αὐτεξ.] αὐτεξούσιος ὢν? S 19 ἵνα Ph | τὸ + Kl (S?) | ὃ βούλ.] »des Guten und Bösen« S | φησὶν nach σου S. 333, 1 Ph^b

ὅπου σου τὴν ζωὴν καὶ τὸν θάνατον«), νεύσας πρὸς τὸ παρακοῦσαι
μὲν τοῦ πνευματικοῦ νόμου, οἷον τῆς ἐντολῆς, ὑπακοῦσαι δὲ τοῦ
ὑλικοῦ, οἷον τοῦ ὄφεως τῆς συμβουλίας. »πέπραμαι«, διὰ τὴν τοιαύτην
αἵρεσιν πεσὼν »ὑπὸ τὴν ἁμαρτίαν«, τῷ διαβόλῳ. ὅθεν ἐντεῦθεν πολιορ-
κῆσάν με τὸ κακὸν καὶ ἐνιζάνει καὶ ἐμπολιτεύεται εἰσοικισθὲν ἐν τῇ
σαρκί μου, καθάπερ κηφὴν ἐν κηρίῳ μελίσσης περιποτώμενος πολλάκις
περὶ αὐτὸ καὶ βομβῶν, δίκης ἐπιτεθείσης μοι τὴν ἐντολὴν ἀθετήσαντι
πραθῆναι τῷ κακῷ. διὸ καὶ »οὐ γινώσκω ὃ κατεργάζομαι«, λογιζό- 8
μενος ὃ μὴ θέλω. τὸ γάρ »ὃ κατεργάζομαι οὐ γινώσκω« καὶ »ποιῶ ὃ
μισῶ« λεγόμενον οὐκ ἐπὶ τοῦ τελεσιουργῆσαι τὸ φαῦλον καὶ δρᾶσαι
παραληπτέον, ἀλλ᾽ ἐπὶ τοῦ μόνον ἐνθυμηθῆναι, λογισμῶν ἀνοικείων
ἡμῖν προσιπταμένων πλεονάκις καὶ ἐμφανταζόντων ἡμᾶς πρὸς ἃ μὴ
θέλομεν, τῆς ψυχῆς τοῖς λογισμοῖς περὶ πολλὰ περιαγομένης. |
III. Οὐ γὰρ ἐφ᾽ ἡμῖν ὅλως τὸ ἐνθυμεῖσθαι ἢ μὴ ἐνθυμεῖσθαι 584
κεῖται τὰ ἄτοπα, ἀλλὰ τὸ χρῆσθαι ἢ μὴ χρῆσθαι τοῖς ἐνθυμήμασι.
κωλῦσαι μὲν γὰρ μὴ ἐμπίπτειν εἰς ἡμᾶς τοὺς λογισμοὺς οὐ δυνάμεθα,
πρὸς δοκιμὴν ἡμῶν ἔξωθεν εἰσπνεομένους, μὴ πεισθῆναι μέντοι ἢ μὴ
χρῆσθαι αὐτοῖς δυνάμεθα. ἐπεὶ πῶς ὁ ἀπόστολος τὸ μὲν κακὸν οὐχ 2

3 Röm. 7, 14 — 6 Plato Pol. VIII, 552 C — 8 Röm. 7, 15

1 νεύσας] »mich abkehrend« S, am Rd. »wandte mich«, wohl in d. Vorlage als Correctur von »abkehrend« 2 ἐπακοῦσαι Ph: ὑπακούσας δὲ ὑποκοῦσαι S, ὑπακούσας am Rd., vgl. Z. 1 3 ὑλικοῦ] σαρκικοῦ S | τὴν συμβουλίαν U | οὕτως διὰ S | τοι. V 377 4 αἵρεσιν] »guter freier Wahl« S 103 | τὴν < VU | τῷ διαβ. = dijavolju: dijavolj S | ὅθεν — σαρκί μου Z. 6 < S 5 καὶ vor ἐνιζ. < U Ph | εἰσοικῖσθαι UPh[b], εἰσοικίσθαι Ph[b] 6 καθάπερ — βομβῶν Z. 7 < Ph | κηφήν τις S | περὶ ἱπτάμενος U | πολλάκις — βομβῶν Z. 7 < S 7 αὐτὸν VU | μου V 8 καὶ τὸ οὐ Ph 8f λογιζόμενος — οὐ γινώσκω Z. 9 < Ph 9 θέλω: »liebe« S | ὃ γάρ φησιν S | ὃ[1] < V 9f ὃ μισῶ] νομίσω V 10 λεγόμενόν ἐστιν S | τελεσ. — δρᾶσαι] δρᾶσαι τὸ φαῦλον Ph: δρᾶσαι τὸ ἐνθυμηθῆναι (am Rd. noch »der Begierde«) τὸ φ. S 11 παραληπτέον < S | ἀλλὰ V | μόνον < S | λογισμῶν — περιαγομένης Z. 13 < Ph 11f λογισμῶν .. ἡμῖν — πλεονάκις Z. 12 < S 12 ἐνφανταζόντων V: φαντασίας S | ἡμᾶς] καὶ S 13 θέλωμεν VU | περὶ πολλὰ < S 14 ὅλως < Ph: τοῦτο S | ἢ μὴ ἐνθυμ. < S 15 χρῆσθαι ἢ — ἐνθυμήμασι] »Vollbringen oder Nichtvollbringen« S 16 μὲν < S | γὰρ πίπτειν Ph 17 πρὸς δοκ.] προσδεχομένων Ph | μὴ πεισθῆναι — χρῆσθαι αὐτοῖς Z. 18] »aber sie nicht vollbringen oder vollbringen« S 18 αὐτοῖς < Ph | ἐπεὶ — ἐμπιμπλάντα S. 334, 14 < Ph | ἐπεὶ — αἰτίας S. 334, 3 < S | οὐκ V

ἥκιστα, ᾧ ἀπηρέσκετο, ἐποίει, τὸ δὲ καλόν, ᾧ ἠρέσκετο, ἥκιστα, εἰ
μὴ περὶ τῶν ὀθνείων ἐνθυμημάτων ἔλεγεν, ἃ ἐνθυμούμεθα ἔσθ᾽ ὅτε
καὶ μὴ βουλόμενοι, ἐξ οἵας οὐ γινώσκοντες αἰτίας; ἃ ἀνατρέπεσθαι
χρὴ καὶ ἐπιστομίζεσθαι, ἵνα μὴ εὐρυνόμενα τῶν περάτων κρατήσωσι
τῆς ψυχῆς. ἀμήχανον γὰρ τούτων ἐνευκαιρούντων ἐν ἡμῖν ἐπανα-
τεῖλαι ⟨ἐν τῇ ψυχῇ ἡμῶν⟩ τὸ ἀγαθόν. ὀρθῶς ἄρα »ὃ γὰρ κατεργά-
ζομαι οὐ γινώσκω« ἔλεγεν· »οὐ γὰρ ὃ θέλω, ⟨τοῦτο⟩ πράσσω, ἀλλ᾽ 3
ὃ μισῶ, τοῦτο ποιῶ«. θέλομεν γὰρ τὰ μὴ προσήκοντα καὶ ἃ μὴ θέμις
μηδ᾽ ἐνθυμεῖσθαι, ἐπειδὴ τοῦτο ἀγαθὸν τέλειον, μὴ μόνον τοῦ ποιῆ-
σαι αὐτὰ ἐγκρατεύεσθαι, ἀλλὰ καὶ τοῦ ἐνθυμηθῆναι, καὶ ὃ θέλομεν,
τοῦτο ἀγαθὸν οὐ γίνεται, ἀλλ᾽ ὃ οὐ θέλομεν, πονηρόν. ἐπιφοιτῶσι
γὰρ ἐπὶ τὴν καρδίαν ἡμῶν καὶ ἐπιβαίνουσι, καὶ μὴ βουλομένων ἡμῶν,
πολλάκις μυρία τε περὶ μυρίων, περιεργίας ἡμᾶς καὶ φιλοπραγμοσύνης
ἀλόγου ἐμπιπλάντα. διὸ τὸ μὲν θέλειν αὐτὰ μὴ ἐνθυμεῖσθαι πρά- 4
κειται, τὸ δὲ κατεργάζεσθαι εἰς τὸ ἀφανίσαι, ἵνα μὴ καὶ αὖθις περὶ
τὸν λογισμὸν ἀνέλθωσιν, οὔ, ὅτι μὴ κεῖται τοῦτο ἐφ᾽ ἡμῖν, ὡς ἔφην,
ἀλλὰ τὸ χρήσασθαι μόνον αὐτοῖς πως, ἢ μὴ χρήσασθαι. ὡς εἶναι τὸν
νοῦν τοιοῦτον τοῦ ῥητοῦ »οὐ γὰρ ὃ θέλω ποιῶ ἀγαθόν«· θέλω γὰρ 5
μὴ ἐνθυμεῖσθαι ἃ βλάπτει με, ἐπειδὴ τοῦτο τὸ ἀγαθὸν πανάμωμον,
κατὰ τὸ λεγόμενον

»ἄνευ ψόγου τετυγμένον χερσί τε καὶ νόῳ τετράγωνον«,

καὶ τοῦτο μὲν »ὃ θέλω ἀγαθὸν οὐ ποιῶ, ὃ δὲ μὴ θέλω πράσσω κακόν«·

6 Röm. 7, 15 — 18. 22 Röm. 7, 19 — 21 Plato Prot. 339 B (Simonides)

21 vgl. Antonius Mel. PGr 136, 805 C

1 ἥκιστα] ἣν ἕκαστα V 2 ἃ] ὅσα V: »daher« vor ἃ + S 4 εὐρυνόμεθα U: τὰ κακὰ ἡμῖν πάντων S 5 ἐνευκ.: »indem . . . sind« S 6 ἐν τῇ ψ. ἡμ. + S 103ᵛ 7 θέλω: »liebe« übersetzt stets S | τοῦτο + S, vgl. S. 339, 2 7 f ἀλλ᾽ ὁ μισῶ < V 8 μισῶ] »nicht liebe« S | θέλω γὰρ S | ἃ μὴ θέμις < S 9 μηδ᾽—ἐνθυμηθῆναι κ. Z. 10: »nicht nur nicht tun, sondern auch nicht begehren, und wenn« S | μηδ᾽: μὴ VU | τέλ. U 152 10 αὐτὸ V U | ἐγκρ. V 377ᵛ | καὶ εἰ ὃ θέλω S 11 τοῦτο οὐ γίνεται τουτέστιν τὸ ἀγαθὸν S 12 ἐπὶ] περὶ U | τ. καρδίαν: τὸν νοῦν S | ἡμῶν < V: ἡμῖν S (ny: no S) | καὶ ἐπιβαίνουσι < S | καὶ] κἂν S 13 πολλάκις—τοῦ ῥητοῦ Z. 18] »viele Begierden« S | καὶ περὶ φ. U 14 πιμπλάντα V, πιμπλόντα U | μὲν] μὴ V | μὴ] μηδὲ U 14 f ἐνθυμηθῆναι παρακεῖσθαι Ph 15 ἀφανῆσαι V 15 f μὴ vor ἀν. Phᵇ 15 καὶ < Phᵃ 16 οὐ < VU 17 ἀλλὰ—μὴ χρήσασθαι < Ph 18 γὰρ < V 19 ἃ βλάπτει με < S | τὸ < U | πανάμ.] καὶ ἄμωμον U: < S 20 κατὰ—τετράγωνον Z. 21 < Ph | τὸ ἄνευ w. e. sch. S 21 νῶ V | εἰς τετράγωνον S 22 τοῦτο οὐ ποιῶ S | μὴ θέλω: »hasse« S | κακὸν πράσσω V | πράσσω < S

οὐ θέλω ἐννοεῖσθαι, καὶ ἐννοοῦμαι ὅσα μὴ θέλω. καὶ ἐπισκέψασθαι 6
⟨δεῖ⟩, εἰ μὴ διὰ ταῦτα αὐτὰ καὶ ὁ Δαυὶδ ἐνετύγχανε τῷ θεῷ, δυσχε-
ραίνων ἐπὶ τῷ λογίζεσθαι καὶ αὐτὸν ἃ μὴ ἤθελεν· »ἀπὸ τῶν κρυφίων
μου καθάρισόν με, καὶ ἀπὸ ἀλλοτρίων φεῖσαι τοῦ δούλου σου. ἐὰν
μή μου κατακυριεύσωσι, τότε ἄμωμος ἔσομαι καὶ καθαρισθήσομαι ἀπὸ
ἁμαρτίας μεγάλης«. καὶ αὐτὸς δὲ ὁ ἀπόστολος ἐν ἑτέρῳ· »λογισμοὺς
καθαιροῦντες καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ 585
θεοῦ | καὶ αἰχμαλωτίζοντες πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ«.

IV. Εἰ δέ τις ὁμόσε τῷ λόγῳ ἰέναι τολμῶν ἀποκρίνοιτο ὡς ἄρα
διδάσκει ὁ ἀπόστολος ὡς οὐ μόνον ἐν τῷ λογίζεσθαι τὸ κακὸν ὃ
μισοῦμεν καὶ ὃ οὐ θέλομεν πράσσομεν, ἀλλὰ καὶ ἐν τῷ ποιεῖν αὐτὸ
καὶ κατεργάζεσθαι, διὰ τό »οὐ γὰρ ὃ θέλω ποιῶ« λελέχθαι »ἀγαθόν,
ἀλλ᾿ ὃ οὐ θέλω κακόν, τοῦτο πράσσω«, ἀξιώσομέν που, εἰ ἀληθῆ
λέγει ὁ ταῦτα λέγων, διασαφῆσαι τί ἦν τὸ κακὸν ὃ ἐμίσει ὁ ἀπόστολος
καὶ ὃ οὐκ ἐβούλετο μὲν ποιεῖν, ἐποίει δέ, καὶ τὸ ἀγαθὸν ὃ ἐβούλετο
μὲν ποιεῖν, οὐκ ἐποίει δέ, ἀλλ᾿ ἀντιστρόφως, ὁσάκις μὲν ἤθελε ποιῆσαι
τὸ ἀγαθόν, τοσαυτάκις, οὐ τὸ ἀγαθὸν ὃ ἤθελεν, ἀλλὰ τὸ πονηρὸν
ὃ μὴ ἤθελεν ἐποίει. ἆρά γε οὐ θέλων εἰδωλολατρεῖν, ἀλλὰ θεολα- 2
τρεῖν, ὃ μὲν ἤθελε θεολατρεῖν οὐκ ἠδύνατο, ὃ δὲ μὴ ἤθελεν εἰδωλο-

3 Psal. 19, 13. 14 — **6** II Kor. 10, 4. 5; vgl. S. 338, 14 — **9. 13** Plato Pol. 610 C — **12** Röm. 7, 19

1 *οὐ θέλω ἐνν.* < S | *θέλων* Ph | *ἐνν. οσα*] *ἐννοούμενος ἃ* Ph | *μὴ ἤθελεν* S | *ἐπισκέψασθε* Ph Ausgg. **2** *δεῖ* + S | *διὰ ταῦτα αὐτὰ*] »von diesen« S | *αὐτὰ* < V | *καὶ . . ἐνετ. τ. θεῷ* < S **2f** *δυσχαιραίνων* U **3** *τὸ λογίζ.* V | *καὶ αὐτὸν* < S | *ἃ μὴ θέλων ἃ μὴ ἤθελεν* S (wahrsch. die Verdoppelung bei der Übers.) **4** *ἐὰν — ἔσομαι καὶ* Z. 5] »und bald darauf« S **6** *ὁ αὐτὸς δὲ* S | *ἐν ἑτέρῳ*] *ἑτέρους δὲ* S **7** *καθαιρ.* S 104: *φησί* + S | *καὶ πᾶν — θεοῦ* Z. 8] »und bald darauf« S **9** *ὁμόσαι* V: < Ph^{a} | *ὁμόσε τ. λ. ἰέναι* < S | *τῷ λόγῳ*] U 152^{v} | *τολμᾷ ἀποκρίνεσθαι (εἰπεῖν?)* S **10** *διδάσκοι* V Ph: »redet« S | *ὡς — ἀξιώσομεν* Z. 13] »nicht nur von Gedanken, sondern vom (*o* am Rd. in S^{a}: na »auf« S) Tun habe dies der Apostel geredet« S **10f** *ὁ* (< Ph) *μισ.*] *νομιοῦμεν* V **11** *πράττομεν* Ph^{b}: < U | *ποιεῖν κ.* < Ph **11f** *αὐτὸ* nach *κατ.* Ph **12** *καὶ* < V Ph | *τὸ* Ph: *τοῦ* U: *τοῦτο* V | *ἀγ. λελέχθαι* Ph **13** *ἀλλὰ* U | *ἀξιώσωμεν* U Ph^{b}: V 378 | *εἰ*] *γὰρ* übersetzt S **14** *μὲν* schon nach *ἐμίσει* Ph: < S **15** *ὃ* vor *οὐκ* < U Ph | *ἠβούλετο* V U | *ἐποίει δέ*] *καὶ τοῦτο ἐποίει* S | *καὶ τὸ — ἐποίει δὲ* Z. 16 < Ph^{a} S | *τὸ* < U **16** *ἀλλὰ* U **17f** *ἤθελεν ἐποίει, ἀλλὰ* Ph | **18** *ἆρά γε — κορυφαιότατον* S. 336, 14 < Ph | *ἆρά γε* Jh: *ἄρα γὰρ* V U: *ἄρα γοῦν*? S **18f** *ἀλλὰ θεολατρεῖν* < V **19** *ἐδύνατο, ἢ* V

λατρεῖν ἠδύνατο, ἢ σωφρονεῖν μὲν ὃ ἤθελεν οὐκ ἐποίει, ἀκολασταίνειν
δὲ ὃ ἤχθετο ἐποίει; καὶ συλλήβδην κραιπαλᾶν, ἀσωτεύεσθαι καὶ
θυμοῦσθαι, ἀδικεῖν καὶ τὰ ἄλλα ὅσα πονηρίας ἔργα, ἃ μὴ ἤθελε μὲν
ἐποίει, ἃ δὲ ἤθελε, δικαιοσύνην καὶ ὁσιότητα, οὐκ ἐποίει; καὶ μὴν αὐτὸς 3
ἐν ταῖς ἐκκλησίαις προτροπάδην ἐξεγείρων πάντας εἰς τὸ μὴ ἀνομεῖν
οὐ μόνον τοὺς ποιοῦντας καὶ ἐπιτηδεύοντας τὰ ἄτοπα ὀλέθρῳ τηρεῖ-
σθαι καὶ ὀργῇ παρεγγυᾷ, ἀλλὰ καὶ τοὺς συνευδοκοῦντας αὐτοῖς εἰς
ταῦτα, ἀμιγὲς ἁμαρτίας ἐν ἡμῖν τὸ δίκαιον ἀσκεῖσθαι διαμιλλώμενος.
πᾶν γὰρ ἁμάρτημα καὶ ἐπιτήδευμα τὸ συμπέρασμα κτᾶται διὰ τῆς
σαρκός. πολλάκις γοῦν ἐν ταῖς ἐπιστολαῖς ἀναφανδὸν αὐτὰ δὴ ταῦτα 4
διδάσκων ἡμᾶς ὑπεκτρέπεσθαι καὶ μισεῖν »μὴ πλανᾶσθε· οὔτε πόρνοι«
βοᾷ »οὔτε εἰδωλολάτραι οὔτε μοιχοὶ οὔτε μαλακοὶ οὔτε ἀρσενοκοῖται
οὔτε κλέπται οὔτε πλεονέκται οὔτε μέθυσοι, οὐ λοίδοροι, οὐχ ἅρπαγες
βασιλείαν θεοῦ κληρονομήσουσι«. καὶ τὸ κορυφαιότατον, εἰς τὸ παν-
τάπασιν ἡμᾶς ἐκ παντὸς ἀποδρᾶναι καὶ ἀποτινάξασθαι τὸ ἁμαρτάνειν
προτρέπων »μιμηταί μου« ἀποφαίνεται »γίνεσθε καθάπερ κἀγὼ
Χριστοῦ«. οὕτως οὐ τῷ ποιεῖν ἃ μὴ ἤθελε καὶ πράττειν ὑπέθετο 5
τὰ προειρημένα, ἀλλὰ τῷ μόνον λογίζεσθαι· ἐπεὶ πῶς ἂν ἦν μιμητὴς
ἀκριβὴς τοῦ Χριστοῦ; | νυνὶ δὲ ἐπειδήπερ ἐπιπίπτουσι θηριώδεις 586

7 Röm. 1, 32 — 11 I Kor. 6, 9. 10 — 16 I Kor. 11, 1

1 θέλων σωφρονεῖν S | ἐποίει . . ἐποίει Z. 2] ἠδύνατο beidemale S | ἀκολασταίνειν < S 2 καὶ συλλ. — οὐκ ἐποίει Z. 4] »so auch bei dem übrigen« S | καὶ κραιπαλᾶν V | ἀλλὰ ἀσωτεύεσθαι U | καὶ² < V 3 ὅσα] τῆς U 3f ἤθελεν ἐπ. μὲν U 4 καὶ μὴν — διαμιλλώμενος Z. 8] »Aber treibt nicht er selbst alle Gemeinden an (viell. »antreibend«) zum Guten, die Bösen der Plage und dem Zorn übergebend, nicht nur die Sündigenden, sondern verwirft auch, die mit daran Gefallen haben?« S 8 ταῦτα] αὐτὰς U | ἀμιγαῖς ἁμαρτίαις V | ἀμιγγὲς U | διαμιλλώμενον V 9 πᾶν S 104ᵛ | καὶ ἐπιτήδευμα U 153: < S 10 γοῦν] οὖν V | ἀναφανδὸν < S | ταῦτα < V 11 ἡμᾶς < S | κ. μισεῖν < S | μισεῖν φησὶν U 12 βοᾷ < U: »sprach er« S | οὔτε μοιχοὶ — ἅρπαγες Z. 13] »noch alle Übeltäter« S 13 οὐκ ἅρπ. V 14 βασιλ. θ. οὐ κληρ.] »werden des Reiches Christi würdig sein« S | οὐ κληρ. V; vgl. S. 324, 14 | τὸ κορυφαιότατον < S | εἰς — παντὸς Z. 15] πῶς δὲ καὶ ἡμᾶς εἰς τὸ παντάπασιν Ph 15f ἀποδρ. . . τὸ ἁμαρτ. προτρ.: »reinigend von der Sünde« S 15 ἀποδρ. καὶ < Ph | κ. ἀποτεινάξασθαι V: < S 16 προτρεπόμενος Ph | γίνεσθαι V | καθάπερ] καθὼς Ph 17 οὕτως] οὐ Phᵇ | οὐ τὸ U Bo¹ | κ. πράττειν < Ph S 18 προ|ειρ. V 378ᵛ | ἀλλὰ τὸ Bo¹ Phᵇ | ἢ U 18f μιμ. Χριστοῦ ἀκριβής Ph 19 νυνὶ — ψυχῆς αὐτοῦ S. 338, 1 < Ph | νυνὶ — νεύοντας S. 337, 6 < S | ἐμπίπτουσι U

πολλάκις λογισμοί, ἐπιθυμίας ἡμᾶς ἄλλοτε ἄλλως ἐμπιπλάντες καὶ
περιεργίας ἀλόγου,

ἠΰτε μυιάων ἀδινάων ἔθνεα πολλά,

ἔφη »τὸ γὰρ ὃ οὐ θέλω, τοῦτο ποιῶ«. ἃ χρὴ τῆς ψυχῆς εὐθαρσῶς 6
ἀποσοβεῖν, μηδὲν ὅλως εἰς τὸ ποιῆσαι τὰ ὑπ' αὐτῶν ὑπηχούμενα
νεύοντας. ἵνα γὰρ ἐγκριθῶμεν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἐν
πάσαις ἡδοναῖς καὶ λύπαις δοκιμασθέντες εἰ μὴ μεταβαλλοίμεθα, ἀλλὰ
πανταχοῦ καθάπερ ἀκήρατος χρυσὸς διὰ πυρὸς βασανιζόμενος οὐκ ἐξι-
στάμεθα τῆς οἰκείας ἀρετῆς, συμβαίνει τοῦτο, ⟨τὸ⟩ διοχλεῖσθαι τὸν νοῦν
ὑπὸ πολλῶν. ὅθεν δὴ γενναίως ὥσπερ στρατιώτας ἀρίστους ἀντι- 7
παρατάσσεσθαι δεῖ, οἳ ἐπειδὰν ὑπὸ τῶν ἐχθρῶν αἴσθωνται πολιορκού-
μενοι, τοξείας οὐδὲν φροντίσαντες καὶ τῶν ἄλλων αὐτῶν ἀκοντι-
σμάτων, ὑπὲρ τοῦ σῶσαι τὴν πόλιν προθύμως ἐπ' αὐτοὺς ἵενται,
μηδὲν ἐλλείποντες σπουδῆς, ἔστ' ἂν τὸ στῖφος αὐτῶν εἰς φυγὴν ἀνα-
τρέψαντες ἀπώσωνται τῶν ὅρων ἔξω. ὁρᾷς γὰρ ὡς οἱ λογισμοὶ διὰ 8
τὴν ἐνοικοῦσαν ἁμαρτίαν ἐν ἡμῖν ἔξωθεν ἐπισυνίστανται, καθαπερεὶ
